I. ЕВТИМИЙ ОТ АКМОНИЯ

Единствен извор за живота на монаха Евтимий от Акмония се явяват твърде оскъдните автобиографични данни от полемичното му съчинение. Той е роден в края на X или в началото на XI в. и произхожда от епархийския град Акмония, който бил разположен в темата Опсикион в Северозападна Мала Азия. Прекарал живота си в цариградския манастир „Богородица Периблепта", който, основан или подновен от император Роман III (1028—1034), бил известен като опора на чистото православие. Макар не дотам образован и слабо осведомен по църковната и антиеретическата литература, презвитер Евтимий бил монашески учител и наставник. От личния си досег и разговори с малоазийските богомили той добил непосредствени впечатления за техните възгледи и за религиозния им живот. Известно време бил на поклонение в Ерусалим и отсъствувал от манастира. Когато се завърнал оттам, отправил две послания (от които едното е загубено) до православните си събратя в своята малоазийска родина, за да ги предпази от еретическите възгледи на тамошните богомили и да им посочи как да им се противопоставят. Запазеното му послание, което даваме по-долу в превод, въпреки разводнеността на изложението, наивните обяснения и известни противоречия е важен извор за учението на малоазийските богомили. Написано е около 1050 г.

РЪКОПИСИ: Cod. Vindob. Theol. Graec. 307 (s. XIV), Cod. Vindob. Theol. Graec. 193 (s. XIV), Cod. Graec. 3 universitatis Rheno-Traiectinae (s. XIII), Cod. Vindob. Theol. Graec. 306 (s. XIV), Cod. Vatic. Graec. 840 (s. XV). Първите два са почти напълно запазени, а останалите са във фрагментарен вид.

ИЗДАНИЯ: G. Ficker, Die Phundagiagiten, Leipzig, 1908, S. 3—86 (по това издание е направен нашият превод), Migne, PGr. 131 (1864), col. 48—58.

КНИЖНИНА: D. Angelov, Der Bogomilismus auf dem Gebiete des byzantinischen Reiches — Ursprung, Wesen und Geschichte, II (ГСУ, Ист.-фил. фак. XLVI, 1949/1950); D. Obolensky, The Bogomils, The Eastern Churches Quarterly, vol. VI, No 4, London, 1945; Д. Ангелов, Богомилството в България, София, 1969; А. Соловјев, Фундајајити, патерини и кудугери у византиским изворама. Зборник радова XXI Византолошког института САН, кн. 1, Београд, 1952, с. 121—145; Д. Ангелов, Б. Примов и Г. Батаклиев, Богомилството в България, Византия и Западна Европа в извори, София, 1967; N. Garsoyan, The Paulician heresy, Hagues — Paris, 1967; P. Lemerle, L'histoire des Pauliciens d'Asie Mineure d'après les sources grecques, Travaux et mémoires, v. 5. ; M. Loos, Dualist Heresy in the Middle Ages, Prague, 1974.

EUTHYMII MONAHI COENOBII PERIBLEPTAE EPISTULA INVECTIVA CONTRA PHUNDAGIAGITAS SIVE BOGOMILOS HAERETICOS

Ἐπιστολὴ Εὐθυμίου μοναχοῦ τῆς περιβλέπτου μονῆς σταλεῖσα ἀπὸ Κωνσταντινουπόλεως τῆς εἰρημένης μονῆς· πρὸς τὴν αὐτοῦ πατρίδα στηλιτεύουσα τὰς αἱρέσεις τῶν ἀθεωτάτων καὶ ἀσεβῶν πλάνων τῶν τε Φουνδαγιαγιτῶν ἤτοι Βογομίλων καὶ Μασσαλιανῶν λεγομένων· καὶ τὴν τῶν Ἀρμενίων βέβηλον καὶ βδελυρὰν αἵρεσιν· καὶ τὰς λοιπὰς καὶ ἀθέσμους καὶ παμβεβήλους αἱρέσεις: —

Βούλομαι ὑμᾶς, ἀδελφοί μου συγγενεῖς καὶ φίλοι, ὡς διὰ σμικροτάτης καὶ εὐτελοῦς μου γραφῆς προεδήλωσα ὑμῖν τὰ περὶ τῶν ἀθέων καὶ ἀσεβῶν καὶ μιαρῶν κακῶν πλάνων, τῶν Φουνδαγιαγιτῶν, καὶ πάλιν διὰ τῆσδέ μου τῆς γραφῆς ὑπομνῆσαι τὴν ὑμετέραν ἀγάπην καὶ ἐπιστηρίξαι ὑμᾶς, τοῦ φυλάττειν ἑαυτοὺς ἐξ αὐτῶν· ὅτι κατὰ πολὺ εἰσιν ἐπιβλαβεῖς καὶ χωρισμὸς ἀπὸ τοῦ θεοῦ. Συμφέρει γάρ τινα συνοικῆσαι καὶ συνεστιαθῆναι μετὰ Ἰουδαίου, ἢ μικρὸν συναναστραφῆναι μετὰ ἀσεβοῦς Φουνδαγιαγίτου. Ἀπὸ γὰρ τοῦ Ἰουδαίου πάντως βλαβήσεται ὀλίγον, εἰ τάχα καὶ παντελῶς | οὐδέν· καὶ γὰρ εἰ καὶ ἀκάθαρτός ἐστι(ν), θεὸν τέως ὁμολογεῖ· γνωρίζει δὲ καὶ αὐτὸς οἷός ἐστι(ν) καὶ ὡς φρονεῖ. Οὗτοι δὲ παντελῶς ἄθεοι καὶ τοῦ διαβόλου λατρευταὶ καὶ μύσται καὶ πάσης ὑποκρίσεως γέμοντες καὶ ἑαυτοὺς ἐπιφημίζοντες Χριστιανοὺς καὶ τὰς θείας γραφὰς ἐπὶ στόματος πάσας φέροντες. οὐχὶ πίστει, ἀλλ᾽ ὡς δέλεαρ· καὶ γὰρ ἀπὸ τῶν θείων καὶ γνωρίμων γραφῶν, παρερμηνεύοντες αὐτάς, ἐξαπατῶσι τοὺς ἀμαθεῖς καὶ ὀλιγοπίστους καὶ περὶ τὰ γήϊνα ἐπτοημένους καὶ τὴν τοῦ προβάτου δορὰν εἰς ἑαυτοὺς περιθέμενοι καὶ ἔσωθεν ἔχοντες ἐγκεκρυμμένον τὸν λύκον· οἳ καὶ δυσδιάγνωστοί εἰσιν· ὅθεν οὐδὲ δύναταί τις ἐπιγνῶναι αὐτούς. Καὶ διὰ τοῦτο πάλιν ἐγὼ ὁ ἐλάχιστος μοναχὸς κηδόμενος ὑμῶν ὑπομιμνήσκω καὶ παρακαλῶ καὶ διὰ ταύτης τῆς εὐτελοῦς μου γραφῆς, τοῦ γρηγορεῖν ὑμᾶς καὶ προσέχειν καὶ φεύγειν πάντα ἐξ αὐτῶν, ὡς φεύγει τὶς ἀπὸ ὄφεως· ὅτι πολλή ἐστιν ἡ ἐξ αὐτῶν βλάβη καὶ εἰς κόλασιν αἰώνιον παραπέμπει τὴν ψυχὴν ἐκείνην. Καὶ γὰρ οἱ λεγόμενοι ἔνσαρκοι δαίμονες οὗτοί εἰσιν οἱ τῆς αὐτῆς αἱρέσεως συμπράκται. Πληροφορῶ δὲ ὑμᾶς, ἀδελφοί μου ἀγαπητοί, ὅτι καὶ τὸ μικρὸν συναναστραφῆναί τινι ἐξ αὐτῶν ἢ κἂν ὅλως συμπεριπατῆσαι, οὐ τὴν τυχοῦσαν φέρει τινὰ ἐξ αὐτῶν βλάβην. Ἐμοῦ δὲ τοῦ εὐτελοῦς λαχόντος συνοδεῦσαι μετά τινος τῶν τοιούτων ἀγνώστως, ὕστερον δὲ ἀνερωτήσαντος αὐτόν, τίς ἐστι καὶ ποῦ πορεύεται καὶ μαθόντος τὰ περὶ αὐτοῦ καὶ πῶς φρονεῖ, οὐδὲ γὰρ ἤμην

ПИСМО НА МОНАХА ЕВТИМИЙ ОТ МАНАСТИРА ПЕРИБЛЕПТА, НАСОЧЕНО СРЕЩУ ФУНДАГИАГИТИТЕ ИЛИ ЕРЕТИЦИТЕ БОГОМИЛИ

Писмо на монаха Евтимий от манастира Периблепта, изпратено от същия манастир в Константинопол до неговия роден край, за да изобличи ересите на най-безбожните и най-нечестиви измамници, наричани фундагиагити, или богомили, и масалиани, също и нечистата и безсрамна ерес на арменците и останалите грешни и напълно безчестни ереси.

Желая, мои родни братя и приятели, както вече ви открих чрез предишното си кратко и просто писмо учението на безбожните, нечестни и престъпни зли измамници фундагиагитите, и сега отново чрез настоящото си писмо да ви припомня за вашата любов и да ви поощря да се пазите от тях. Защото те са извънредно вредни и довеждат до отклонение от бога. Случва се някой да бъде и да се храни заедно с някой евреин или за малко да общува с някой безбожен фундагиагит. От евреина той ще има съвсем малка вреда, а дори и почти никаква, защото, макар и нечестив, все пак признава бог и сам дава да се разбере какъв е и какво мисли. А онези са напълно безбожни слуги на дявола, посветени в тайнствата му и изпълнени с всяко лицемерие, зоват себе си християни и на езика им е цялото божествено писание, но не поради вяра, а за примамка. Като извращават божествените ясни писания, те заблуждават неуките, неукрепналите във вярата и привързаните към земните неща. Те са си надянали овча кожа, а под нея крият вълка. Мъчно може да ги разпознае човек, затова никой не може да ги разбере. Затова отново аз, най-нищожният човек, загрижен за вас, ви припомням и ви призовавам също и с това просто писмо да бодърствувате и да бъдете внимателни, да избягвате всичко, което иде от тях, така както човек бяга от змията — защото голяма е вредата, която иде от тях и тласка душата към вечно наказание. Носителите на тази ерес са, както се казва, въплътени дяволи. Уверявам ви, мои обични братя, че краткото общуване и дори само среща с някого от тях не донася само краткотрайна вреда.

На мене, нищожния, се случи да пътувам с един от тях, без да го зная. След време го запитах кой е и накъде пътува и научих тогава какъв е и какво мисли, защото преди διαγνοὺς τότε τὴν μυσαρὰν αὐτῶν πλάνην καὶ ἀσέβειαν οἷα ἐστίν· — Ψευδοπρεσβύτερος δὲ ἦν ὡς ἐμοὶ ἔλεγεν καὶ ἀπὸ τοῦ χωρίου Γοζοὺς ἦν κάτοικος· ὁ δὲ δράκων ὄφις μικρὰν τινὰ στιγμὴν οὐκ ἀνέμεινεν συμπεριπατῆσαι ἀμφοτέροις· ἀλλὰ αὖθις ἐξέχεε(ν) τὸν ἰὸν καὶ τὴν κακίαν αὐτοῦ· καὶ εἶπέ(ν) μοι, ὅτι „ἀνάστασις νεκρῶν οὐκ ἔστιν“, προβαλλόμενος τοίνυν ὁ τοιοῦτος καὶ γραφικὴν μαρτυρίαν ἀπὸ τῶν τοῦ ἁγίου Παύλου ἐπιστολῶν· ἐξ ἧς μᾶλλον ἠλέγχετο | κακῶς λέγων. Τοσαύτη γάρ ἐστιν αὐτῶν ἡ ἀναισχυντία καὶ ἡ ἀναισθησία. Καὶ πάντως εἰ μὴ ἐγίνωσκον αὐτὸν ἀνταποκριθῆναι καὶ ἐπιστομῆσαι καὶ καταισχῦναι αὐτὸν καὶ παρεδεξάμην τὸ αὐτοῦ βλάσφημον ῥῆμα, πόσα καὶ ἄλλα εἶχε(ν) προσενεγκεῖν τὸ μυσαρὸν αὐτοῦ στόμα καὶ εἰς πόσην ἂν ψυχικὴν βλάβην εἶχον περιπεσεῖν; Καὶ γὰρ καὶ εἰς χωρικὸν εὔλογα λέγειν ἐδόκει, προβαλλόμενος ὡς εἶπον καὶ ἀποστολικὴν μαρτυρίαν. Ἰουδαῖος δὲ ἐὰν ἐσυνόδευσέ(ν) μοι, ἴσως ἢ Σαμαρίτης ἢ ἕτερός τις τῶν λοιπῶν ἀπίστων καὶ γνωρίμων ἐθνῶν, οὐδὲν εἶχον ἐξ αὐτῶν βλαβῆναί ποτε. Διὰ τοῦτο τοίνυν παρακαλῶ οὖν ὑμᾶς, ἀγαπητοὶ ἀδελφοί, τοῦ ὑπὲρ Σαμαρίτας καὶ ὑπὲρ Ἑβραίους μυσάττεσθαι αὐτοὺς καὶ φεύγειν πάντας ὑμᾶς ἐξ αὐτῶν καὶ μὴ συναναμίγνυσθαι· ὅτι πολλή ἐστιν ἡ ἐξ αὐτῶν βλάβη. Καὶ γὰρ μόνον τὸ καὶ μικρὸν συναναστραφῆναί τινι ἐξ αὐτῶν, χωρισμός ἐστιν ἀπὸ τοῦ Θεοῦ· πόσῳ γε μᾶλλον τὸ συνεσθιασθῆναι καὶ συμφιλιωθῆναι τοιούτῳ δαίμονι.

Εἴπωμεν καὶ περὶ τοῦ ἀθέου καὶ ἀσεβοῦς καὶ τοῦ διαβόλου ἐργάτου τοῦ ἀθέου Γουζηνοῦ τοῦ ῥηθέντος ἄνωθεν, τοῦ ἀνιέρου ἱερέως, τοῦ μικρὰν ἡμῖν συνοδεύσαντος. Καὶ γὰρ ἠγνόουν κἀγώ, ὅτι λύκος ἦν· ἐνδεδυμένον αὐτὸν ἑώρων τὴν τοῦ προβάτου δορὰν καὶ ὑπέλαβον, ὅτι ἴσως ἐξ ἀμαθείας καὶ ἀφελείας τοιοῦτον βλάσφημον ῥῆμα ἐξεῖπεν, καὶ ἔσκωψα αὐτὸν δριμέως· καταργήσας καὶ ἐπιτιμήσας αὐτόν. Ἀναγκαῖον δὲ εἰπεῖν, καὶ ὅσα πρὸς νουθεσίαν καὶ διόρθωσιν αὐτοῦ ἐξεῖπον· καὶ ἴσως τινὲς ὠφεληθήσονται οἱ κατ᾽ ἐμὲ ἀμαθεῖς καὶ ἄγροικοι, εἰ καὶ ἰδιωτικά τινα τὰ ῥήματα κατὰ τὴν ἐμὴν γνῶσιν. Εἶπον τοίνυν τῷ ἀσεβεῖ· σὺ λέγεις, ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν καὶ μαρτυρίαν περιφέρεις ἀποστολικὸν ῥητὸν διεφθαρμένον, μηδὲν ἐπιστάμενος βλάσφημα λαλῶν. Προσδοκῶν δέ, ὅτι πιστὸς ἦν, καὶ βουλόμενος αὐτὸν διορθώσασθαι· καὶ ἐκστηρίξαι καὶ ὠφελῆσαι αὐτὸν εὐθυμιστικῶς εἶπον πρὸς αὐτόν· σὺ οὔτε γνωστικώτερος οὔτε ἁγιώτερος εἶ, ἀδελφέ, παρὰ τοὺς φωστῆρας τοὺς ἐκλάμψαντας τῇ οἰκουμένῃ πάσῃ, τοὺς τριακοσίους δέκα καὶ ὀκτὼ θεοφόρους πατέρας τοὺς ἐν Νικαίᾳ· οἵτινες καὶ τὸ ἅγιον σύμβολον ἐξέθεντο καὶ ἐβεβαίωσαν τὴν ὀρθόδοξον πίστιν, οἳ καὶ τὰ δόγματα καὶ τὸ ἔκθεμα τῆς πίστεως ἐβεβαίωσαν οἰκείαις χερσίν·

това не знаех каква е тяхната нечиста измама и безчестие. Той бил, както ми каза, псевдопрезвитер и жител на селището Гозус[1]. Змията ни за миг не ни остави да се движим двамата заедно, но веднага изля отровата и злината си: заяви ми, че „няма възкресение на мъртвите“, като дори приведе за писмено свидетелство Посланието от светия Павел. Но това свидетелство по-скоро го изобличаваше в злословие. Наистина много голямо е тяхното безсрамие и тъпота! Ако изобщо не бях съумял да му възразя, да му затворя устата и да го засрамя и ако бях приел богохулното му слово, какви още други неща можеше да изрече неговата нечиста уста и каква душевна вреда щях да си навлека! За прост човек би изглеждало, че говори убедително, тъй като се позоваваше, както казах, и на апостолско свидетелство. А ако с мене вървеше евреин, самарит или друг някой от познатите ни неверни народи, никак не щях да пострадам от тях. Затова ви призовавам, обични братя, да се отвращавате от тях повече, отколкото от самаритите и от евреите и вие да бягате от всички тях и да не общувате с тях, защото вредата от тях е голяма — дори само за кратко време човек да се е срещнал с някого от тях, това означава, че се е откъснал от бога. А колко повече — да е на една трапеза и да е приятел с такъв демон!

Нека кажем сега нещо и за безбожния и нечестив слуга на дявола гозинец, споменат по-горе, нечестив свещеник, който ни беше придружавал за малко — а аз не бях разбрал, че е вълк. Видях го надянал кожата на овца и помислих, че може би от незнание и наивност беше изрекъл такова богохулно слово. Аз го изгледах строго, порицах го и го укорих. Трябва да ви кажа какво му рекох, за да го поуча и изправя — може би някои, неуки и прости като мен, ще извлекат полза, макар и думите ми по мое мнение да бяха някак обикновени. И тъй казах на нечестивеца: „Ти твърдиш, че няма възкресение на мъртвите, и привеждаш за свидетелство преиначени апостолски думи, без да разбираш, че богохулстваш!“ Очаквах, че е вярващ, и желаех да го поправя. За да го укрепя и подпомогна, му казах доверено приятелски: „Ти, брате, нима си по-умен, нима си по-благочестив от блесналите по цялата вселена светила, от 318-те пратени от бога никейски отци, които изложиха светия символ и утвърдиха догмите и изложението на вярата със своите собствени ръце?“… Също

---

[1] Селище в Мала Азия с неустановено местоположение.

Ὁμοίως οὐδὲ . . . παρὰ τοὺς χλʹ τοὺς ἐν Καλχηδόνι, οἵτινες καὶ αὐτοὶ τὸ ἑαυτῶν δόγμα ἐπέθεντο ἐν τῷ στήθει τῷ λειψάνῳ τῆς ἁγίας τοῦ Χριστοῦ μεγαλομάρτυρος Εὐφημίας ἅμα μετὰ καὶ τοῦ τῶν αἱρετικῶν συγγράμματος· Ὑπερήσπιζε γὰρ ὁ τότε βασιλεύων τῆς τῶν αἱρετικῶν μοίρας· Καὶ ποιήσαντες οἱ ὀρθόδοξοι παννύχιον δοξολογίαν, ὁμοίως καὶ οἱ αἱρετικοὶ ἀπὸ πρωὶ ἐπορεύθησαν μετὰ τὴν ὀρθρινὴν δοξολογίαν ἐν τῇ τῆς ἁγίας λάρνακι· καὶ ἐκτενεῖν ἐκεῖσε ποιήσαντες καὶ πλεῖστα μετὰ δακρύων τὸ κύριε ἐλέησον κράξαντες καὶ τὴν τῆς ἁγίας λάρνακα ἐπανοίξαντες· ὢ τοῦ θαύματος· εὗρον τὴν ἁγίαν ὡς ἀποζῶσαν τῇ δεξιᾷ χειρὶ δραξαμένην τοῦ τῶν ὀρθοδόξων τόμου· καὶ παρ᾽ ἑαυτῇ σφοδρῶς κατέχουσαν· καὶ εἰς μηδένα τοῦτον ἐπαπολύουσαν, εἰ μὴ ἐν ταῖς τοῦ βασιλέως χερσίν· Τὸ δὲ τῶν αἱρετικῶν σύγγραμμα μόλις εὑρεῖν ἠδυνήθησαν, εἰς τοὺς τῆς ἁγίας πόδας ἐρρι⟨μ⟩μένον καὶ ὡς δῆθεν καταπατοῦσαν αὐτὸ . . . Καὶ οὕτως κἀκεῖ διὰ τῆς αὐτοῦ ἁγίας θαυματουργήσας ὁ θεὸς κατῄσχυνε τὴν αἵρεσιν καὶ ἐκράτυνε τὴν ὀρθοδοξίαν. Οἶδα δέ, ὅτι καὶ τὸ ἐπὶ τοῦ μακαρίου καὶ μεγάλου Βασιλείου γεγονὸς θαῦμα οὐ μὴ ἀγνοεῖς. Καὶ γὰρ τοῖς πᾶσι τὸ τοιοῦτον θαῦμα κατάδηλόν ἐστιν· ὅπως κἀκεῖ διὰ μίαν νύκτα δέησιν μετὰ τοῦ ὀρθοδόξου λαοῦ ποιήσας ὁ ἅγιος Βασίλειος, συνετρίβησαν αἱ κλεῖδες σὺν τῶν ῥομανησίων καὶ αὐτομάτη ἠνοίγη αὐτοῖς ἡ ἐκκλησία· οἱ δὲ αἱρετικοὶ τρεῖς ὅλας ἡμέρας καὶ νύκτας ἀγρυπνήσαντες, πρὸ τῶν τοῦ ναοῦ πυλῶν ψάλλοντες, μὴ ἀνοιχθείσης αὐτοῖς τῆς ἐκκλησίας, ἐστράφησαν μετ᾽ αἰσχύνης μεγάλης. Ἐγένοντο δὲ καὶ ἐν ἑτέροις ναοῖς ἄλλ. καὶ ἅγιαι καὶ μεγάλαι σύνοδοι ἔν τε Βλαχέρναις, ἐν Ἐφέσῳ, ἐν Σαρδικῇ . Ἤγουν ἡ δευτέρα καὶ οἰκουμενικὴ ἁγία σύνοδος, ἐν ᾗ ὑπῆρχον ἐν αὐτῇ ἑκατὸν πεντήκοντα ἅγιοι πατέρες· ὡσαύτως καὶ ἐν τῇ τρίτῃ ἁγίᾳ οἰκουμενικῇ συνόδῳ ὑπῆρχον διακόσιοι ἅγιοι πατέρες· ἐν τῇ τετάρτῃ οἰκουμενικῇ συνόδῳ, ἐν ᾗ ὑπῆρχον ἑξακόσιοι τριάκοντα ἅγιοι πατέρες· ἐν δὲ τῇ πέμπτῃ ἁγίᾳ οἰκουμενικῇ συνόδῳ, ἐν ᾗ ὑπῆρχον ἑκατὸν ἑξήκοντα πέντε ἅγιοι πατέρες· ἐν δὲ τῇ ἕκτῃ συνόδῳ ὑπῆρχον τριακόσιοι ἑξήκοντα ἑπτὰ ἅγιοι πατέρες· ἐν δὲ τῇ ἑβδόμῃ συνόδῳ ὑπῆρχον τριακόσιοι ἑξήκοντα ὀκτὼ ἅγιοι πατέρες· καὶ ἐν ἄλλαις ἐκκλησίαις ἐγένοντο τοπικαὶ σύνοδοι ὑπὸ ἁγίων πατέρων καὶ μεγάλων φωστήρων, ἃς ἐπὶ μνήμῃ οὐ φέρω διὰ τὴν ἰδιωτίαν καὶ ἀμαθίαν μου. Καὶ οὐδαμοῦ ἀφῆκεν ὁ θεὸς τοὺς δούλους αὐτοῦ, τοὺς ὀρθοδόξως αὐτῷ λατρεύσαντας, ἡττηθῆναι ἢ αἰσχυνθῆναι παρὰ τῶν βλασφήμων αἱρετικῶν, καίπερ οἱ πλείονες τῶν αἱρετικῶν ἔχοντες καὶ τὴν βασιλικὴν συνεργοῦσαν αὐτοῖς δυναστείαν· ἀλλ᾽ ἐν παντὶ ἐδόξασεν αὐτοὺς ὁ θεὸς διὰ τοιῶνδε θαυμάτων. Οὗτοι γὰρ πάντες οἱ ἅγιοι καὶ οἰκουμενικοὶ φωστῆρες καὶ διδάσκαλοι ἐβεβαίωσαν καὶ ἐπεκύρωσαν τῇ πίστει τὸ ἅγιον σύμβολον, ἐν τῷ γεγραφηκέναι· προσ-

така нима [си по-умен] от 630-те от Халкедон, които сами вложили своето учение върху мощите на светата в Христа великомъченица Евфимия наред с писанието на еретиците, защото тогавашният император държал страната на еретиците. Православните устроили всенощно бдение, също и еретиците отрано дошли след утринната служба при ковчега на светицата. Там те извършили молебствия и силно крещели през сълзи „Господи, помилуй!“, а като отворили ковчега на светицата — о, чудо! — намерили светицата сякаш жива, стиснала в дясната си ръка книгата на православните. Тя я придържала здраво към себе си и не я давала на никого освен на ръцете на императора. А писанието на еретиците едва могли да намерят, то било захвърлено при краката на светицата, като че ли тя го тъпче.- - - Така и при този случай бог извършил чудо чрез своята светица, посрамил ереста и укрепил православието.

А зная, че си добре запознат и със станалото чудо на блажения и велик Василий. Защото това чудо е известно на всички — как и при този случай, когато свети Василий произнасял молитви една нощ заедно с православния народ, се разтрошили ключовете заедно с мандалото и църквата се разтворила пред тях от само себе си. А еретиците цели три дни и нощи били прекарали в бдение, пеейки псалми пред вратите на храма, но църквата не им се разтворила и те се върнали силно посрамени. Ставали са и в други храмове други свещени и велики събори — и във Влахерните[2], и в Ефес, и в Сердика. Например Вторият вселенски събор, в който участвували 150 свети отци. Също и Третият свещен вселенски събор, в който участвували 200 отци. В Четвъртия вселенски събор участвували 630 свети отци. В Петия вселенски събор участвували 165 свети отци. В Шестия събор участвували 367 свети отци. В Седмия събор участвували 368 свети отци. И в други църкви са ставали местни събори, ръководени от свети отци и велики светила, които не помня поради невежеството и незнанието си. И никъде бог не е позволил, щото неговите роби, които му служат като православни, да бъдат победени или опозорени от богохулствуващите еретици, макар и повечето от еретиците да са имали в помощ императорската власт. Всякога бог ги е прославял чрез такива чудеса. Защото всичките тези светци, вселенски светила и учители укрепиха и утвърдиха с вярата си свещения символ, в който е пиδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Δοκεῖ σοι τούτους πάντας ἁγίους εἶναι καὶ σοφούς, ναὶ ἢ οὔ; Δέχει τὴν μαρτυρίαν αὐτῶν, ἢ οὐ βούλει; Ὁ δὲ τοῦ διαβόλου ἐργάτης καὶ πρόδρομος τοῦ ἀντιχρίστου πάλιν ἀνταπεκρίθη· Ἀλλὰ τὸ τοῦ ἀποστόλου ῥητὸν δυνατώτερόν ἐστι· καὶ πῶς, ἄνθρωπε, ὑπολαμβάνεις; Εἶπον ἐγώ· οὗτοι πάντες οἱ ἅγιοι ἀμύητοι ἦσαν τοῦ ἀποστολικοῦ τούτου ῥητοῦ; Ἦν δὲ τὸ λεγόμενον ῥητὸν τοιοῦτον· ὅτι σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ κληρονομῆσαι οὐ δύναται καὶ τὰ ἑξῆς. Ἀλλ' ὡς οἶμαι· ἢ αἱρετικοῖς συντετύχηκας ἢ τάχα καὶ σὺ ἐξ αὐτῶν εἶ, ἐπεὶ οὐκ ἂν εἶχες προσθήσειν λόγον ὑπὲρ τοῦ τοιούτου βλασφήμου ῥήματος ἀντιλέγων. Καὶ εὐθέως ἤρξατο ὀμνύειν καὶ καταθεματίζειν, ὅτι· οὐκ εἰμὶ ὡς λέγεις. Τοιοῦτον γὰρ ἔχουσιν ἔθος οἱ ἀεὶ ψεῦσται καὶ δόλιοι ὑποκρίνεσθαι ἔμπροσθεν τῶν Χριστιανῶν, σπουδάζοντες κρύπτειν τὸν ἐμφωλεύοντα εἰς τὰς ἑαυτῶν καρδίας ὄφιν. Ἀλλ' ὠφελείας χάριν εἰπεῖν, ἐπερωτῶ. Εἶπον δὲ κἀγὼ πρὸς αὐτόν· καὶ ἐπεὶ οὕτως ἔχει καὶ ἐξ ἀμαθείας καὶ ἀπειρίας εἴρηκας ζητῶν ὠφέλειαν, οὐκ ὀκνήσομεν εἰς τοῦτο οὐδὲ φθονήσομεν τὴν σωτηρίαν σου· ἀλλ' οὖν εἴ σοι θέλομεν τὸ τοῦ ἀποστόλου ῥητόν, ὃ εἴρηκας, ἑρμηνεῦσαι καὶ ἐξ αὐτοῦ ὠφελῆσαί σε, (δ) κακῶς τοῦτο συνεργείᾳ τοῦ κακομηχάνου διαβόλου ἐκλαβόμενος καὶ νοήσας καὶ ἴσως οὐκ ὠφεληθήσῃ, ἀλλὰ δυσπιστήσεις· ὅμως πληροφορήσομέν σοι ἀπὸ ἑτέρων ἐπιστολῶν τοῦ αὐτοῦ ἁγίου ἀποστόλου Παύλου, καὶ ἐξ ἑτέρων διαφόρων ἁγίων γραφῶν, | τῶν τε προφητικῶν λογίων καὶ αὐτοῦ τοῦ εὐαγγελίου, ὅτι ἔστι νεκρῶν ἀνάστασις· καὶ τότε καὶ αὐτὸ ἁρμοζόντως ἑρμηνεύσαντες, ὠφεληθήσῃ μὴ ἔχων ἐν σεαυτῷ δισταγμόν.

---

[2] Предградие на Цариград, разположено вън от стените му.

Πείθουσίν σε τὰ ὄπισθεν τῆς ἐπιστολῆς καὶ τὰ ἔμπροσθεν τοῦ αὐτοῦ ἁγίου ἀποστόλου, ὅτι καὶ αὐτὸ τὸ ῥητόν, ὃ κακῶς παρὰ κακοῦ ἑρμηνεύθης, περὶ ἀναστάσεως λέγει νεκρῶν, καὶ ἔστιν ἀνάστασις νεκρῶν, ἢ ἔτι ἐμμένεις τῇ ἀπιστίᾳ; καὶ εἰ ἀπιστεῖς, ἄκουσον καὶ μάθε ἀκριβῶς· ὡς ὅτι ὁ θεὸς τοὺς δικαίους σάρκας οὐκ ὀνομάζει· ἀλλὰ πνευματικοὺς καὶ δικαίους καὶ ἁγίους· τοὺς δὲ κατ' ἐμὲ ἁμαρτωλούς, τοὺς τὰ σαρκικὰ φρονοῦντας λέγει σάρκα καὶ αἷμα· καὶ ὅτι βασιλείαν θεοῦ κληρονομῆσαι οὐ δύνανται· καὶ ἄκουσον περὶ τούτου τῆς θείας γραφῆς λεγούσης· Εἶπεν ὁ θεός· οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου | ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας. Μὴ οὐκ ἦσαν ὅ τε Ἐνὼχ καὶ Νῶε ἄνθρωποι καὶ εἶχον σάρκας, ἀλλὰ πλείονα πρόνοιαν ποιοῦντες τῆς ψυχῆς ὑπὲρ τὴν σάρκα ἐλέγοντο δίκαιοι καὶ ἅγιοι; Ἐκείνους δὲ λέγει ἡ γραφὴ σάρκας, οἵτινες ἀφέντες

сано: „Очаквам възкресението на мъртвите и живота на бъдещия век.“ Смяташ ли, че всички тези светци са и мъдреци — да или не? Приемаш ли тяхното свидетелство или не?“ А слугата на дявола и предтеча на антихриста отново възрази. Но словото на апостола е по-силно. „А как мислиш, човече — го попитах аз, — всички тези светци непосветени ли бяха в това апостолско слово? А казаното слово е такова: „Плътта и кръвта не могат да наследят царството божие и т.н.“[3] Но, както мисля: или си попаднал между еретици, или може би и ти си от тях, щом не смееш да възразиш нищо против такива богохулни думи.“ А той веднага почна да се кълне и да проклина: „Не съм такъв, какъвто казваш“ — такъв нрав имат вечните лъжци и измамници — да лицемерят пред християните, стремейки се да скрият притаилата се в сърцето им змия. „Но аз — каза той — питам, за да ми се помогне.“ А аз му казах: „Щом е така и от незнание и неопитност си говорил, търсейки помощ, няма да се бавим и няма да откажем помощта. Но ако ще ти тълкуваме словото на апостола, за което ти спомена и чрез което ще те подпомогнем, това нещо със съучастието на svзломислещия дявол можеш да схванеш и да разбереш зле. И може би не ще ти се помогне и ти няма да ни вярваш. При все това ще се опитаме да те убедим напълно с други писания на самия свети апостол Павел и с другите различни свети писания, както и с пророческите предсказания на самото евангелие, че има възкресение на мъртвите. И тогава, след като го разтълкуваме правилно, ти ще бъдеш подпомогнат и няма да се съмняваш в себе си.---

Не те ли убеждават последните редове на посланието и първите на същия свети апостол, че и самото слово, което ти е разтълкувано зле от лош тълкувател, говори за възкресението на мъртвите? Наистина има възкресение на мъртвите или ти още постоянствуваш в неверието си? Но дори и да не вярваш, чуй и научи добре — бог не нарича справедливите хора плътски същества, но духовни, справедливи и свети. А грешните според мене, тия, които мислят за плътското, нарича плът и кръв и [казва], че не могат да наследят царството божие. Чуй във връзка с това божието писание, което гласи: „Рече бог: Да не остава духът ми в тези хора, понеже те са плът.“[4] Не бяха ли Енох и Ной хора и нямаха ли плът, но те се грижеха повече за душата, отколкото за тялото и затова се наричаха справедливи и свети. А Писанието нарича плът онези хора, които τὰ πνευματικὰ παντελῶς πᾶσαν τὴν σπουδὴν ἔχουσιν εἰς τὰ σαρκικά. Καθὰ δὴ γέγονεν καὶ πρὸ τοῦ κατακλυσμοῦ καὶ ἐπὶ τῶν Σοδόμων· ἐπὶ μὲν τοῦ κατακλυσμοῦ, πῶς πάντες οἱ τὰ σαρκικὰ φρονοῦντες ἀπώλοντο ὑπὸ τοῦ ὕδατος· ὁ δὲ δίκαιος Νῶε τὰ πνευματικὰ ἐργαζόμενος διεσώθη ἐκ τῆς ἀπειλῆς ἐκείνης πανοικί, ὡσαύτως καὶ οἱ ἐπὶ τῶν Σοδόμων· οἱ τὰ σαρκικὰ φρονοῦντες, πῶς πάντες ὑπὸ τοῦ πυρὸς ἀπώλοντο, ὁ δὲ δίκαιος Λώτ, μὴ φρονῶν τὰ ἑαυτοῦ, διεσώθη ἐκ τῆς θεηλάτου ὀργῆς ἐκείνης. Ἔστιν οὖν καὶ ἄλλο(ν) δεινὸν πάθος· τὸ πλουτεῖν ἐκ πλεονεξίας καὶ ἁρπαγῆς καὶ ποιεῖν ἑαυτοῖς θησαυροὺς ἐκ τοῦ μαμωνᾶ, ἥτις καλεῖται δευτέρα εἰδωλολατρεία. Πρὸς οὓς καὶ ὁ Χριστὸς ἔλεγεν, ὅτι· εὐκοπώτερόν ἐστιν κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ· οὐ τὸν πλοῦτον διαβάλλων, ἀλλὰ τοὺς προτιμῶντας τὸν πλοῦτον τῆς ἰδίας ψυχῆς. Ὅτι δὲ οὕτως | ἔχει, μαρτυρεῖ ὁ Ἰὼβ καὶ πλούσιος ὢν καὶ δίκαιος· καὶ ὁ Δαυὶδ καὶ βασιλεὺς καὶ προφήτης ὤν· ὁμοίως καὶ ὁ ἐν ἁγίοις Κωνσταντῖνος καὶ βασιλεὺς ὢν καὶ ἅγιος· καὶ ἄλλοι πολλοί, ὧν οὐκ ἔστιν ἀριθμός· οἵτινες οὐ μόνον οὐκ ἐνεποδίσθησαν ὑπὸ τοῦ πλούτου, ἀλλὰ μᾶλλον καὶ ἐβοηθήθησαν εἰς τὸ εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. Ὁ δὲ προτιμῶν τὸν πλοῦτον τῆς ἰδίας ψυχῆς, ὅσῳ μᾶλλον ἐπιτυγχάνει αὐτοῦ, τοσούτῳ μακρὰν ἀπὸ τοῦ Θεοῦ γίνεται, καὶ ἔστιν ὁ τοιοῦτος ἄθλιος καὶ τρισάθλιος, ὅτι κληρονομίαν εὑρήσει τὸ πῦρ τὸ αἰώνιον

---

[3] I Кор. 15, 50. [4] I Мойс. 6, 3.

Καὶ ταῦτα οὕτως διεξελθόντος μου καὶ τὸ ζητούμενον ὅση δύναμις φράσαντός μου τῷ στόματι μὲν ὁ πεπλανημένος καὶ πλάνος ὡμολόγησε πιστεύειν· τῇ δὲ γνώμῃ ἔμεινεν ὁ ἄπιστος ἄπιστος καὶ ὁ τὸ φῶς μὴ βλέπων ἐσκοτισμένος· τὸ δὲ μετὰ ταῦτα συμβὰν ἡμῖν περὶ τὸν μαθητὴν τὸν ἐμὸν δι᾿ εὐτελοῦς μου γραφῆς καὶ ὑμῖν προεδήλωσα· καὶ ὡς οἶμαι τὸ τοῦ λυττῶντος κυνὸς συνάντημα τῆς συμφορᾶς, ἧς περὶ τὸν μαθητὴν ἔμελλον εὑρεῖν, προμήνυμα ἦν, εἴτε θεϊκὸν πρὸς τὸ διεγεῖραι τὸν νοῦν μου εἰς περι(σ)σοτέραν ἐγρήγορσιν, εἴτε διαβολικόν, εἰπεῖν οὐκ οἶδα. Πῶς αὐτὸν ἀπεπλάνησαν οἱ ἄθλιοι καὶ εἰς τὸ ἑαυτῶν ἔφερον θέλημα, μᾶλλον δὲ φρόνημα; Ἀγράμματος γὰρ ἦν ὁ τοιοῦτος παντελῶς καὶ τὴν τελείαν ἰδιώτης· καὶ οὐ θαῦμα, ὅπουγε καὶ τοὺς δοκοῦντας γράμματα γινώσκειν ἀποπλανῶσιν.

Εἴπωμεν δὲ περὶ αὐτῶν τῶν ἀθέων Φουνδαγιαγιτῶν, τὴν μιαρὰν καὶ ἀκάθαρτον καὶ ἐβδελυγμένην καὶ τὸ ὅλον πλήρη

са изоставили съвсем духовното и се стремят изцяло към плътското. Така беше и преди потопа, и в Содом: по време на потопа всички, които са мислили само за плътта, загинали във водата. А справедливият Ной, който се грижел за духовното, се спасил от тази заплаха наедно с целия си род, както е станало и в Содом: тия, които мислели за плътта, загинали всички от огъня, а справедливият Лот, който не мислел за своята плът, се спасил от онова божие наказание. А има и една друга страшна страст — забогатяването от алчност и грабеж и натрупването на богатства от мамона, което се нарича второ идолопоклонство. За такива Христос е казвал, че е „по-лесно камила да мине през иглени уши, отколкото богат да влезе в царството божие“[5]. Той не хули богатството, но тия, които предпочитат богатството пред собствената си душа. Че [това] е така, свидетелствува Йов, който е бил и богат, и справедлив. Също и Давид, който е бил и цар, и пророк; а също така и [причисленият] към светците Константин, който е бил и император, и светец, и много други, които не могат да се изброят. На тях богатството не само не им е попречило, но по-скоро ги е подпомогнало да влязат в царството божие. А който предпочита богатството пред собствената си душа, колкото повече го увеличава, толкова повече се отдалечава от бога. Такъв човек е нещастен и триж нещастен, защото ще наследи вечен огън.“ - - -

След като изложих всичко това, така и казах какво е значението на нашия разговор, заблуденият и измамен човек на думи се съгласи, че вярва. Но неверникът в мисълта си остана неверник и не виждайки светлината, си остана в мрак. Това, което щеше да се случи след това с моя ученик, разкрих и на вас в моето просто писмо. Както мисля, срещата с онова бясно куче беше предзнаменование за нещастието, което щеше да се случи с ученика ми. Дали това предзнаменование беше от бога, за да насочи вниманието ми към по-голяма бдителност, или пък беше от дявола, не мога да кажа. Как са го заблудили проклетниците и са го подчинили на своята воля или по-скоро на своята мисъл? Той беше съвсем неграмотен и пълен невежа. И не е чудно, щом като те понякога могат да заблуждават и тия, които смятат, че знаят Писанието.

Нека кажем сега какво сме разбрали и за самите безбожни фундагиагити — престъпната, нечиста и отвратителна ерес, цялата δαιμονιώδους καὶ τοῦ ἀντιχρίστου πρόδρομον αἵρεσιν πῶς ταύτην διεγνώκαμεν. Ἐπανελθόντος μου τοίνυν ἀπὸ τῆς ἐπιδημίας εἰς τὴν μονὴν καὶ ὁ μαθητὴς εὐνοϊκῶς τὰ εἰς ἐμὲ διακείμενος διηγεῖτό μοι τὰ τῶν ἀθέων βλάσφημα ῥήματα ὡς δῆθεν ὠφελείας χάριν. | Ἐγὼ δὲ ταῦτα ἀκούσας καὶ τὸ δρᾶμα συνεὶς καὶ πρόσωπον χαρίεν αὐτῷ ἐπιδείξας τοὺς διδασκάλους τοὺς τὰ τοιαῦτα φθεγγομένους παρ' αὐτοῦ ἐπεζήτουν ἰδεῖν, εἰρωνικῶς πρὸς αὐτὸν εἰπών· ὅπως κἀγὼ ὠφελείας τῆς ἐξ αὐτῶν τύχω· σοὶ γὰρ μαθητῇ ὄντι πιστεύειν οὐ δύναμαι. Ὅπερ καὶ ἐποίησεν μετὰ περιχαρίας ὅσης, τούτους προσαγαγών μοι. Καὶ ὅλως καὶ εἰς αὐτοὺς ὡς ἐν ὑποκρίσει γενόμενος, ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, τὸ τοῦ ἀποστόλου ἐπιμνησθείς, ὅπως δι' αὐτῶν πάλιν τῶν πλάνων δυνηθῶ τὸν μαθητὴν ἐκ τῆς πλάνης ἀναῤῥύσασθαι· ὅπερ καὶ γέγονεν θεοῦ εὐδοκίᾳ καὶ χάριτι. Καὶ τοῦ σκοποῦ οὐ διήμαρτον. Καὶ ἦν ἰδεῖν θαῦμα, ἀδελφοί, εἰς τὸν ἀσεβῆ, τὸν αὐτῶν πρωτοδιδάσκαλον. Οὐ μόνον γὰρ τὰ τοῦ ἁγίου εὐαγγελίου ῥητὰ καὶ τῶν ἐπιστολῶν τοῦ ἁγίου ἀποστόλου Παύλου ἔφερεν ὁ πλάνος ἐπὶ στόματος, ἀλλὰ καὶ θεολογικὰ καὶ Χρυσοστομικὰ καὶ ἀπὸ τοῦ Ψαλτηρίου καὶ ἀπὸ τοῦ Πατερικοῦ λόγους τῶν ἁγίων γερόντων καὶ ἁπλῶς ἀπὸ πασῶν τῶν γραφῶν, ὡς ὕστερον καὶ μὴ βουλόμενος καθωμολόγησεν, ὅτι μετὰ τὸ πλανῆσαι ἄνθρωπον διδάσκει λέγων μὴ πιστεύειν ὡς ἁγίας γραφὰς μηδὲ προσέχειν, ἃς πρῶτον προβάλλονται εἰς διδασκαλίαν. Καὶ οὐ θαῦμα· οὐ γὰρ αὐτὸς ἦν ὁ πονήσας καὶ μαθὼν τὰς γραφάς, ὡς παρ' αὐτοῦ τοῦ πλάνου ὕστερον ἐπληροφορήθημεν, ἀλλ' ὁ διάβολος ἦν ὁ λαλῶν ταῦτα ἐν αὐτῷ, ὁ ἐνοικῶν ἐν τῇ αὐτοῦ μυσαρᾷ καρδίᾳ. Καὶ τοῦτο μὴ ἀπίστει· καὶ γὰρ καὶ ἡμεῖς γραφικῶς εὑρίσκομεν οὕτως ἔχειν. Γράφει γὰρ εἰς τὸ Πατερικόν, ὅτι δαίμονες πολλάκις ὑπεκρίθησαν τὸν μοναχόν, καίπερ πνεῦμα ὄντες, καὶ ἐπεισῆλθον εἰς τὰς κέλλας τῶν μοναχῶν καὶ συνηύχοντο καὶ συνέψαλλον αὐτοῖς, στιχολογοῦντες· μετ' αὐτῶν τὸν ἄμωμον καὶ τοὺς λοιποὺς ψαλμούς, τοῦτο δὲ ποιοῦντες, οὐχ ἵνα τοὺς μοναχοὺς διεγείρωσι καὶ συμπονήσωσιν εἰς τὰς εὐχάς· πῶς γάρ; ἐχθροὶ καὶ ἀντικείμενοι ὄντες· ἀλλ' ἵνα, οἷς ἐπίστανται πονηρίαις, αὐτοὺς δελεάσωσι καὶ ἀπολέσωσι. Καὶ ὁ πατὴρ αὐτῶν ὁ διάβολος τοιαῦτα ὑποκρίνεται καίπερ πνεῦμα ὢν πρὸς τὸ | ἀπολέσαι ψυχάς, ποῖα οὐκ ἂν ποιήσει διὰ τῶν αὐτοῦ μύστων καὶ δούλων, τῶν ἐνσάρκων δαιμόνων, λέγω δὴ τῶν Φουνδαγιαγιτῶν; Καὶ γὰρ ὕστερον ἐμπεσόντες εἰς χεῖρας, οἷς οὐ προσεδόκησαν, ἅπασαν τὴν αὐτῶν μανίαν καὶ πλάνην ἐξεῖπον καὶ μὴ βουλόμενοι· τέσσαρες γὰρ ἦσαν οἱ

---

[5] Лука 18, 25.

напълно демонска и предвестница на антихриста. Когато се завърнах от посещението си в манастира, моят ученик с искреност към мен ми предаде клеветническите думи на безбожниците, убеден, че те са от полза. Аз, като чух това и разбрах станалото, се показах благоразположен към него и поисках да видя учителите, които говорят чрез неговата уста. Казах му иронично, че „и аз желая да получа полза от тях, защото на тебе като на ученик не мога да вярвам“. Това и той стори с толкова голяма радост и ми ги доведе. Също и пред тях аз се преструвах изцяло, станах за евреите евреин,[6] спомняйки си словото на апостола, за да мога чрез самите измамници да избавя ученика от измамата. Така стана с благоволението и милостта на бога. И не сгреших в намерението си. И можеше да се види нещо забележително във връзка с нечестивеца, техния първоучител. Измамникът знаеше наизуст не само цитати от светото евангелие и от посланията на апостол Павел, но и цитати на богослови и на Златоуст, и от псалтира, и от Патерика[7] на светите старци и, накратко казано, от всички писания. А по-късно, без да иска, си призна, че след като измами някого, му говори и го учи да не вярва и да не обръща внимание на светите писания, които най-напред той е препоръчвал да се изучават. И не е чудно, защото не беше този, който се беше мъчил да изучава писанията, както после разбрахме със сигурност от самия измамник, но този, който говореше тези нещо в него, беше дяволът, заселил се в неговота нечисто сърце. Повярвай ми в това, защото и ние имаме писмено доказателство, че това е така: писано е в Патерика, че дяволите често се престрували на монаси, ако и да са духове, и навлизат в килиите на монасите, молят се и пеят, нареждайки заедно с тях псалома на невинността и други псалми. Те правят това не за да пробудят монасите и да ги подкрепят в молитвите — и как може да е така, като са врагове и противници?,— но за да ги примамят и погубят с каквото коварство могат. И техният отец — дяволът, макар че е дух, се представя като такъв, за да погуби душите. Какво ли той не би успял да извърши чрез своите мисти и роби, въплътените дяволи, т.е. фундагиагитите! А и онези, които по-късно са попадали, дори без да подозират, в ръцете им, са изказвали целия им бяс и заблуда, макар и неволно. Безбожниците бяха четирима. Като ги хванах-

---

[6] Срв. I Кор. 9, 20. [7] На църковнославянски ез. „отечник“. Наименование на сборници с избрани извори за църковни истории и догмати.

ἄθεοι. Καὶ τούτους κρατήσαντες διενοήθημεν τοῦ ἀπ' ἀλλήλων χωρίσαι· καὶ ἰδιαζόντως αὐτοὺς ἀποκλεῖσαι καὶ σιδηρῶσαι καὶ θάνατον αὐτοῖς ἀπειλῆσαι, εἰ μὴ πάντα τὰ τῆς ἑαυτῶν πλάνης καὶ αἱρέσεως φανερῶς ἐξείπωσιν· ὅπερ καὶ ἐποιήσαμεν. Καὶ εἷς καὶ εἷς ἐρωτώμενοι οὐδὲν παρέλειψαν ὡς οἶμαι τῆς αὐτῶν πλάνης, ὃ οὐκ ἐστηλίτευσα(ν). Ἐρωτώμενος δὲ ὁ πρῶτος αὐτῶν κακός, πόθεν αὐτῷ ἦν ἡ τῶν γραφῶν μάθησις· καὶ πῶς ἐπὶ στόματος τὰ τῆς γραφῆς φέρῃ, καίπερ μὴ πιστεύων αὐτά, ὡμολόγησεν ὁ κατάρατος εἰπών· ὅτι Πέτρου τινὸς αἱρετικοῦ καὶ δειλαίου τοῦ γναφέως, τοῦ ἐπονομασθέντος Λυκοπέτρου, ἔχομεν ἐπῳδὴν σατανικήν, ἣν καὶ λέγομεν ὅτι ἔστιν ἡ ἀποκάλυψις τοῦ ἁγίου Πέτρου· καὶ ὅταν πείσωμεν διὰ ποικίλης διδαχῆς ἀποστῆναί τινα ἀπὸ τοῦ θεοῦ καὶ φέρωμεν αὐτὸν εἰς τὸ ἡμέτερον θέλημα, μᾶλλον δὲ εἰς αὐτοῦ τοῦ διαβόλου, καὶ γνῶμεν, ὅτι ἀπέστη ἀπ' αὐτοῦ ἡ χάρις τοῦ ἁγίου πνεύματος, ἣν ἔλαβεν ἐν τῷ ἁγίῳ βαπτίσματι· τότε ἔχομέν φησι τύπον ἐπαναγινώσκειν τὴν αὐτὴν σατανικὴν ἐπῳδὴν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ· καὶ ταύτης ἀναγινωσκομένης παρευθὺς ὡς ἐξελθούσης ἀπ' αὐτοῦ τῆς τοῦ ἁγίου πνεύματος χάριτος, ἣν λαμβάνει ἀπὸ τοῦ ἁγίου βαπτίσματος, καὶ γίνεται ἐνέργεια σατανικὴ εἰς τὸν πλανηθέντα· καὶ ἔκτοτε εἴ τι θέλει λαλεῖ. Ἐρωτώμενος δὲ εἰπεῖν, εἰ γινώσκει ὁ πλανηθείς, ὅτι ἐπῳδὴ ἀναγινώσκεται ἐπάνω αὐτοῦ, εἶπε μὴ γινώσκειν· ἀλλὰ δελεάζομεν αὐτὸν λέγοντες, ὅτι τὸ τετραευάγγελόν σοι θέλομεν ἐπαναγνῶναι· καὶ τίθεμεν τὸ βιβλίον ἐπάνω τῆς κεφαλῆς αὐτοῦ καὶ ἀρχόμεθα ἀπὸ τοῦ ἁγίου εὐαγγελίου γνωρίμους λόγους πρὸς τὸ λαθεῖν αὐτόν· καὶ οὕτως λανθανόντως σὺν τοῖς εὐαγγελικοῖς ῥητοῖς | ἐπαναγινώσκομεν καὶ τὴν ἐπῳδὴν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ. Τούτου δὲ γινομένου καὶ τῆς χάριτος τοῦ ἁγίου πνεύματος ἐξ αὐτοῦ ὑποχωρούσης λαμβάνει τὴν σφραγῖδα τοῦ διαβόλου καὶ ὑπεισέρχεται καὶ ἐμφωλεύει εἰς τὴν καρδίαν αὐτοῦ πνεῦμα πονηρόν· καὶ τοῦ λοιποῦ οὐδεὶς τὸν τοιοῦτον δύναται ἐξελεῖν ἐκ τῶν τοῦ διαβόλου χειρῶν· | οὐκ οἶδα, εἰ μὴ αὐτὸς ὁ θεός· ὅπερ καὶ αὐτὸς ὁμολογεῖ παθεῖν διηγούμενός πως καὶ καταρώμενος τὸν διδάσκαλον αὐτοῦ. Εἴπομεν δὲ ἡμεῖς πάλιν πρὸς τὸν ἄθεον· ἐπεὶ σὺ ἑαυτοῦ καταμαρτυρεῖς, ὅτι πεπλανημένος εἶ καὶ πλάνη ἐστὶν ἡ διδασκαλία σου καὶ τοιαύτη πάντων τῶν κακῶν μείζων, πῶς καὶ ἄλλους ἐξαπατᾶν σπουδάζεις; Καὶ ἀπεκρίθη ὁ κατάρατος, ὅτι οἱ ἐν γνώσει τοῦ κακοῦ γενόμενοι καὶ χειροτονηθέντες παρὰ τοῦ διαβόλου ἀπόστολοι καὶ διδάσκαλοι, εἰ μὴ τοῦτο μετὰ σπουδῆς ποιῶσι πολλῆς, ζωὴν μετὰ τῶν μιαρῶν δαιμόνων οὐκ ἔχουσιν. Ἐπερωτήσαντες δὲ πάλιν τοῦ εἰπεῖν· εἰ μετὰ τοῦτο ἐπιγινώσκει ὁ πλανηθεὶς τῆς ἐπῳδῆς τὴν ὑπόθεσιν, εἶπε μὴ γινώσκειν· ἀλλὰ μόνοι ταύτην γινώσκουσιν οἱ τοῦ κακοῦ διδάσκαλοι. Καὶ πάλιν πρὸς αὐτὸν εἴπομεν· καὶ ἐπεί, ὡς σὺ ἀνομολογεῖς, πάντα τὰ τοῦ διαβόλου καὶ φρονεῖτε καὶ πράττετε,

ме, ние решихме да ги отделим един от друг, поотделно да ги затворим и оковем и да ги заплашим със смърт, ако не изкажат открито цялата си заблуда и ерес. Това и направихме. Така разпитани един по един, те не пропуснаха нищо, както ми се струва, от своята заблуда. Запитан главният им злодей, откъде е научил Писанието и как го знае наизуст, макар че не го разбира, нечестивецът призна: „Някой си еретик и негодник тепавичар Петър, назоваван Ликопетър, ни е предал дяволското заклинание, за което казваме, че е откровението на свети Петър. А когато чрез изкусно поучение убедим някого да се откаже от бога и го поведем по нашата воля, по-скоро по волята на самия дявол, и разберем, че го е напуснала благодатта на светия дух, която е приел при светото кръщение, тогава, казва той, имаме за правило да слагаме и да прочетем над главата му същото дяволско заклинание. И след като го прочетем, сякаш веднага излиза от него благодатта на светия дух, която той е получил при светото кръщение, а в заблудения влиза дяволската сила. И оттогава той започва да приказва, каквото си иска.“ А запитан да каже дали заблуденият разбира, че над него се чете заклинанието, каза: „Не знае, но ние го заблуждаваме, като казваме, че ще му четем четириевангелието. И слагаме книгата над главата му и започваме с познати слова от светото евангелие, за да го заблудим. Така незабелязано заедно с евангелските слова му прочитаме над главата и заклинанието. Щом това стане и благодатта на светия дух излезе от него, той получава печата на дявола, а в сърцето му се промъква и притаява зъл дух. И занапред никой не може да изтръгне такъв човек от ръцете на дявола. Не зная дали това може и самият бог.“ Това и сам той потвърждава, че е изпитал, обяснявайки някак и проклинайки учителя си. А ние отново казахме на безбожника: „Щом сам свидетелствуваш против себе си, че си заблуден и че твоето учение е заблуда и тя е по-голяма от всички злини, защо се опитваш да мамиш и други?“ И нечестивецът отвърна, че за тези, които са приели злото и са ръкоположени от дявола като апостоли и учители, ако не вършат тия неща с голяма ревност, [за тях] няма живот от нечестивите дяволи. Запитахме го отново да каже дали заблуденият по-късно узнава съдържанието на заклинанието и отговори, че не го узнава, знаят го само учителите на злото. И отново му казахме: „А щом като, както сам признаваш, вие мислите и вършите всичко дяволско, защо се преструвате, че

πῶς ὑποκρίνεσθε πάντα τὰ τῶν Χριστιανῶν; Καὶ ἀπεκρίθη ὁ τρισάθλιος εἰπών· ὅτι λέγει ὁ ἀπόστολος, ὅτι πᾶν ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία ἐστίν· ἡμεῖς δὲ εἰ ποιοῦμεν πάντα, ἀλλ' οὖν πίστει οὐ ποιοῦμεν, οὔτε βάπτισμα, οὔτε ἱερωσύνην, οὔτε μοναχικὴν οὔτε ἄλλο τι τῶν Χριστιανῶν· ἀλλ' ἐπιδεικτικῶς, μᾶλλον δὲ καὶ ἐμπαικτικῶς πάντα ποιοῦμεν πρὸς τὸ λανθάνειν· καὶ γὰρ ὁ ἄρχων ἡμῶν προτρέπεται ἡμᾶς οὕτως ποιεῖν, λέγων, ὅτι· ἕνεκεν ἐμοῦ μηδεὶς κινδυνεύσει· ἀλλὰ πάντα ὑποκρίνεσθε· ἐγὼ γὰρ οὐκ εἰμὶ ὡς ὁ Χριστὸς ἄσπλαγχνος, ἵνα πρὸς τοὺς ἐμοὺς μαθητὰς ὡς ἐκεῖνος εἴπω, ὅτι· ὅστις δ' ἂν ἀρνήσεταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι κἀγὼ αὐτόν· ἀλλ' εἰς ἀνάγκην καὶ ἀρνεῖσθε καὶ ἀναθεματίζετέ με· καὶ πάντα κατ' ἐμοῦ καὶ ποιεῖτε καὶ λέγετε καὶ τὰ τῶν Χριστιανῶν ὑποκρίνεσθε | καὶ πρὸς ἐμὲ πάλιν ὑποστρέφετε καὶ μετὰ χαρᾶς πάλιν ὑμᾶς δέχομαι. Ἀλλὰ καὶ ἄλλον σκοπὸν εἴπω ὑμῖν, εἶπεν ὁ πλάνος ἐκεῖνος· ὅτι ὁ ὀρθόδοξος πρεσβύτερος εἰ σφάλλει μικρὸν εἰς τὴν αὐτοῦ λειτουργίαν, ἔχει ἑαυτὸν εἰς μέγα σφάλμα· ἐκ δὲ τῆς ἡμῶν θρησκείας, ἐὰν εἰσέλθῃ τοῦ λειτουργῆσαι καὶ ἐμπαίξῃ ὅλην τὴν λειτουργίαν καὶ μιάνῃ πάντας τοὺς σὺν αὐτῷ συνεισελθόντας συλλειτουργῆσαι ἢ συνεύξασθαι ὀρθοδόξους, πόσον ἐστὶν αὐτῷ εἰς καύχημα καὶ εἰς ἔπαινον παρὰ τοῦ ἀρχεκάκου ἐχθροῦ; Ὁμοίως καὶ εἰς τὰ λοιπὰ ἅπαντα τὰ τῶν Χριστιανῶν οὕτως διάκεινται· κτίζουσιν ἐκκλησίας οἱ ἀσεβεῖς καὶ ἄθεοι καὶ πλάνοι οὐ πίστει, ἀλλ' εἰς τὸ ἐμπαῖξαι καὶ ὀνειδίσαι καὶ ἐνυβρίσαι καὶ ἔχειν αὐτὰς καὶ ὡς κοινὰ οἰκήματα· καὶ οὐ ψεῦσμα τὸ τοιοῦτον· καὶ γὰρ ὡς οἰκείοις ὀφθαλμοῖς ἰδὼν ἀξιόπιστος καὶ πεπειραμένος ἄνθρωπος, μεθ' ὅρκου μοι διηγήσατο, ὅτι εἰσ τὴν τοποθεσίαν τοῦ Στενοῦ πρὸς τὸ ἱερὸν ἦν ἐκεῖσε ἐκ τῆς κακίστης θρησκείας ταύτης τὸ φαινόμενον μοναχὸς καὶ πρεσβύτερος, ὅπερ οὐκ ἦν, ἀλλὰ διάβολος καὶ πρόδρομος τοῦ ἀντιχρίστου, ἢ καὶ χείρων τούτου· ὁ τοιοῦτος καὶ ἔκτισεν ἐκκλησίαν, ζωγραφήσας καὶ καλλωπίσας αὐτῆς τὰ ἔσωθεν καὶ τὰ ἔξωθεν ποικίλως καὶ παγκάλως· συνέβη οὖν τὸν τοιοῦτον κακὸν ἀλιτήριον ψοφῆσαι· καὶ εὑρὼν ἐν τῇ κτισθείσῃ παρ' αὐτοῦ τῇ εἰρημένῃ ἐκκλησίᾳ ὄπισθεν τῆς τραπέζης — ἁγίαν γὰρ εἰπεῖν αὐτὴν οὐ δυνάμεθα· διὰ τὸ μιανθῆναι ταύτην παρὰ τοῦ ἀσεβοῦς, ὅτι ἐποίησεν λάκκον μέγαν καὶ ἔθηκεν ἐπάνω τοῦ λάκκου πλάκα(ν), ἀφεὶς μικρὰν ὀπὴν ὡς ὀμφάλιν ἔνθεν· καὶ ἐποίει ἐν αὐτῷ τῷ λάκκῳ τῷ ὄπισθεν τῆς τραπέζης τῆς ἐκκλησίας τὴν σωματικὴν χρείαν ὁ κατάρατος. Τοιαύτην ἔχουσι πίστιν οἱ παμμίαροι εἰς ἃς κτίζουσιν ἐκκλησίας· καὶ οὕτως καρποφοροῦσιν αὐτὰς λανθανόντως πάντας τοὺς Χριστιανούς· καὶ ἕνεκεν τούτου ἀνακαλύψας τοῖς πᾶσι τὸ παμ-

всичко това е християнско?“ И трижнещастният отвърна с думите: „Апостолът казва, че „всяко нещо, което не е от вярата, е грях.“[8] Ако ние вършим всичко — било кръщение, било богослужение, било монашеска служба, било някой друг християнски обред, то го вършим не с вяра, а само за показ или по-скоро вършим всичко това за подигравка, за да се прикрием. И наистина нашият ръководител ни насърчава да действуваме така, като ни казва: „Заради мене никой да не се излага на опасност, във всичко се преструвайте. Защото аз не съм като Христос немилосърден, за да кажа на моите ученици като него, че „ако някой се отрече от мене пред хората, и аз ще се отрека от него“[9]. Но вие при нужда и се отричайте от мене, и ме проклинайте! Всичко правете и говорете против мене и се преструвайте, че действувате като християни, и пак се връщайте към мен и аз отново ще ви приема с радост. Но да ви кажа и друга хитрост — ни каза измамникът: ако православният свещеник сбърка малко в службата си, смята, че е изпаднал в голям грях. А ако някой от нашата вяра влезе да служи и сгреши цялата служба и оскверни всички православни, които са се събрали да служат и да се молят заедно с него, каква хвалба и похвала заслужава от свръхзлия враг? Подобни са те и във всички останали християнски дела. Нечестивците, безбожниците и измамниците строят черкви не от вяра, но за да мамят, да хулят и да се подиграват, също и да ги имат като общи свърталища. И това не е лъжа.“ На мене ми разказа под клетва достоверен и осведомен човек, който е видял със собствените си очи, че в околностите на Проливите към светилището имало привиден монах и свещенослужител на тази най-лоша ерес. Такъв той не е бил, но е бил дявол и предвестник на антихриста или дори по-лош от него. Той построил църква, като я изписал и украсил отвътре и отвън изкусно и прекрасно. И така се случило, гласът на такъв пагубен злодей да прокънти там. И измислил в построената от него споменатa църква зад олтара, който ние не можем да наречем свят поради това, че е бил осквернен от нечестивеца, и издълбал голяма яма и поставил отгоре на ямата плоча и оставил малка дупка, подобна на пъп, и нечестивецът извършвал естествените си нужди в самата яма зад олтара на църквата. Такава е вярата на безбожниците към църквите, които строят. Те ги обсебват така тайно от всички християни. И затова,

---

[8] Римл. 14, 23. [9] Мат. 10, 33.

3343/81

μίαρον καὶ ἄθεον καὶ μισόχριστον καὶ παμβέβηλον τοιοῦτον δραματούργημα πάντας παραινῶ· φεύγετε, ἀδελφοί, ἀπὸ τῶν τοιούτων καὶ ἐκ τῶν παρ' αὐτῶν κτιζομένων ἐκκλησιῶν, ὅτι μιαίνουσιν αὐτὰς οἱ ἀκάθαρτοι καὶ παμβέβηλοι· ὁμοίως καὶ ἀπ' αὐτῶν δεῖ τῶν πλάνων τῶν φαινομένων ψευδομοναχῶν διδασκάλων καὶ ἀνιέρων ἱερέων . . . καὶ μὴ ἐκ πίστεως ὀρθῆς ἀπέρχεσθαι εἰς αὐτούς· ἢ πιστεύετε αὐτοῖς ἄχρι καὶ ψιλοῦ ῥήματος; ἀλλὰ κἂν κατὰ σάρκα συγγενής ἐστιν καὶ πάνυ γνωστός, τὴν ἀγάπην αὐτῶν ἐκκόψατε ἀφ' ὑμῶν, ἵνα μὴ παγιδευθῆτε διὰ τῆς φιλίας καὶ τοῦ σαρκικοῦ σπλάγχνου, εἰ βούλεσθε σῶσαι τὰς ψυχὰς ὑμῶν, καὶ μὴ ἐν γεέν⟨ν⟩ῃ τοῦ πυρὸς κολασθῆτε μετ' αὐτῶν καὶ τοῦ πατρὸς αὐτῶν τοῦ διαβόλου αἰωνίως, ἐπεὶ ὡς εἴπομεν οἱ πρὸς αὐτοὺς καὶ τὰς τούτων ἐκκλησίας εἰσερχόμενοι Χριστιανοὶ οὐ μικρῶς μιαίνονται καὶ ἀντὶ εὐλογίας ἐπισπῶνται κατάρας καὶ τὸ ἀνάθεμα. Καὶ γὰρ ὅπου οἱ δόλιοι οὗτοι καὶ ἄθεοι καὶ μιαροὶ ἐνδιατρίβουσιν, ἐκεῖ θεὸς οὐκ ἐπισκοπεῖ οὐδὲ χάρις ἁγίου πνεύματος· ἀλλ' ὁ πατὴρ αὐτῶν ὁ διάβολος, | ᾧ λατρεύουσιν καὶ ᾧ προσκυνοῦσιν. Κτίζουσιν γὰρ ἐκκλησίας ὡς εἴρηται οἱ ἀσεβεῖς καὶ ὡς αὐτοὶ εἶπον καὶ ἀνωμολόγησαν οὐχὶ πίστει, ἀλλ' εἰς τὸ μιαίνειν αὐτάς· ζωγραφοῦσιν εἰκόνας καὶ ποιοῦσι σταυρούς, οὐ πίστει, ἀλλ' ἐμπαικτικῶς καὶ ὑβριστικῶς πρὸς ἔνδειξιν καὶ ἀπάτην ποιοῦσιν αὐτά, ὅπως, ὅτε θέλουσιν καὶ εἴτι βούλονται, εἰσπράττωσιν εἰς αὐτὰ κρυφίως, καὶ καταπατοῦσι λανθανόντως· βαπτίζονται οὐ πίστει· ἀλλ' ἐμπαίζοντες τὸ ἅγιον βάπτισμα, μὴ ποιοῦντες μηδὲ φρονοῦντες τὰ τοῦ βαπτίσματος· ἀλλὰ βλασφημοῦσιν οἱ ἄθεοι περὶ τὸ ἅγιον βάπτισμα λέγοντες πρὸς τοὺς αὐτῶν μαθητάς· ὅτι ὕδωρ ἐστὶν καὶ ἔλαιον καὶ οὔτε βλάπτει οὔτε ὠφελεῖ. Ὁμοίως καὶ περὶ τοῦ ἁγίου καὶ ἀχράντου καὶ ζωοποιοῦ σώματος καὶ αἵματος Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, ὅτι κοινὸς ἄρτος ἐστὶ καὶ οἶνος· καὶ σπουδάζει πάντοτε ὁ τοιοῦτος ἔμπροσθεν τῶν Χριστιανῶν τῶν ὀρθοδόξων μεταλαμβάνειν ἐν ὑποκρίσει καὶ εἰ λάθῃ πτύει αὐτὰ εἰς τὴν γῆν καὶ καταπατεῖ· καὶ εἰ οὕτως ποιήσῃ, ἔχει τοῦτο εἰς μέγα καύχημα· εἰ δ' ἴσως οὐ λάθῃ, ἀλλὰ γνωσθῇ ὁ τοιοῦτος, ἐσθίει καὶ καταπίνει αὐτά, οὐχ ὡς ἅγια, ἀλλ' ὡς κοινά· καὶ τότε οὐ νῆστις, ἀλλὰ κεκορεσμένος βρωμάτων· λέγοντες καὶ περὶ αὐτῶν, ὅτι οὔτε βλάπτει, οὔτε ὠφελεῖ· καὶ ἁπλῶς πάντα ὡς εἰρήκαμεν τὰ τῶν Χριστιανῶν ὑποκρίνονται δολίως οἱ δόλιοι· οὐ μόνον διὰ τὸ λανθάνειν, ἀλλ' ἵνα καὶ τὰ ἅγια ἐνυβρίζωσιν· καὶ τοὺς ἀνθρώπους εὐκόλως ἀποπλανῶσιν εἰς τὴν ματαίαν καὶ βδελυρὰν αὐτῶν ἀσέβειαν καὶ θρησκείαν.

след като съм разкрил пред всички тази всенечестива, безбожна, христоомразна и безчестна деятелност, призовавам ви всички: „бягайте, братя, от тия хора и от строените от тях църкви, понеже ги оскверняват нечестивците и богохулниците. Също така трябва [да бягате] и от самите измамници, които са лъжемонаси, учители и безбожни свещенослужители, и не отивайте вие от чистата вяра при тях. Или вие им вярвате и на празните думи? Но дори и някой да ви е кръвен родственик и съвсем близък, изтръгнете от вас любовта си към тях, за да не бъдете впримчени чрез приятелството и кръвното родство, ако искате да спасите душите си и да не бъдете наказани навеки в огъня на ада заедно с тях и с техния отец дявола, защото, както казахме, тези християни, които отиват при тях и в техните църкви, биват опетнявани немалко и вместо слава си спечелват проклятия и анатема. И където се намират тези лъжци, безбожници и нечестивци, там не бди нито бог, нито благодатта на свети дух. Техен отец е дяволът, комуто те служат и когото почитат, защото нечестивците, както бе споменато, строят църкви, както те сами казаха и признаха, не от вяра, но за да ги оскверняват. Те изписват икони и правят кръстове не от вяра, но ги правят за присмех и за похулване, за показ и измама, та ако искат и каквото искат, да го слагат тайно в тях и скришно да се гаврят с него. Те се кръщават не защото вярват, а да се надсмиват над светото кръщение, без да извършват обреда на кръщението и да мислят за него. Но безбожниците богохулстват срещу светото кръщение, като казват на учениците си, че то е вода и масло и нито вреди, нито помага. Също така казват и за светата чиста и живителна плът и кръв на Христа, истинния наш бог, че е обикновен хляб и вино. Пред православните християни такъв всякак се старае да приема [причастието] лицемерно, а ако някой не го вижда, го изплюва на земята и го стъпква. И ако наистина постъпи така, се гордее много с това. Ако пък такъв не успее да се скрие и бъде забелязан, той го изяжда и изпива, но не като свято, а като обикновено нещо. И тогава той не е постил, но се е натъпкал с храна. И за него казват, че нито е вредно, нито е полезно. И накратко, както казахме, лъжците хитро се преструват, че приемат всички християнски обреди, и то не само за да остават незабелязани, но и за да се подиграват със светите неща. Така те лесно привличат хората към пустото си и отвратително безбожие и вяра.

Εἴπω δὲ ὑμῖν, ἀδελφοί, καὶ σκοπὸν παραδείγματος, πλὴν εἰ καὶ ἰδιωτικῶς, ἀλλ' οἷον ἀναγκασθεῖσα ἡ ἰδιωτία μου ἐχορήγησεν. Ὥσπερ γὰρ οἱ θηρευταὶ οἱ τὰς ἐλάφους κρατεῖν πειρώμενοι ἐν ταῖς τῶν ὀρέων ὁδοῖς, ὅθεν καὶ τὰ ζῶα ἐξ ἔθους ἔχουσι τοῦ πορεύεσθαι, κρύπτουσιν ἐν ταῖς αὐτῶν ὁδοῖς ὑπὸ τὴν γῆν τὰς ἑαυτῶν παγίδας, τὰ ἐπάνω δὲ τῶν παγίδων ὁμαλίζουσι, καὶ καλλωπίζουσιν· οὐχ' ἵνα τὴν τῶν ζώων ὁδὸν εὐθείαν ποιήσωσιν, ἀλλ' ἵνα αὐτὰ διὰ τῆς κεκαλλωπισμένης ὁδοῦ δελεάσωσιν, καὶ ἐν τῇ παγίδι ἐμβάλωσιν. Τὸ δὲ αὐτὸ ὁμοίως καὶ ὁ τοὺς ἰχθύας ζωγρῶν ἁλιεύς· τίθησι καὶ αὐτὸς εἰς τὸ ἑαυτοῦ ἄγκιστρον βρῶμα, ὅπερ ἐξ ἔθους ἔχει τρέφεσθαι ὁ ἰχθύς, καὶ ῥίπτει αὐτὸ ἐν τῇ θαλάσσῃ· οὐχ ἵνα τὸν ἰχθὺν θρέψῃ, ἀλλ' ἵνα διὰ τοῦ γνωρίμου βρώματος τοῦτον δελεάσας ἀγρεύσῃ καὶ ἀπολέσῃ. Ὁμοίως τὸ αὐτὸ ποιεῖ καὶ ὁ τοῖς ὀρνέοις τιθεὶς παγίδα· τίθησι καὶ αὐτὸς ἐν τῇ παγίδι κόκκον σίτου, οὐχ ἵνα τὸν ὄρνιν θρέψῃ, ἀλλ' ἵνα διὰ τοῦ γνωρίμου κόκκου δελεασθεὶς πέσῃ καὶ ἀποθάνῃ. Κατὰ τὸν αὐτὸν οὖν σκοπὸν καὶ τρόπον ἐμηχανήσατο ὁ διάβολος καὶ ποιεῖ διὰ τῶν αὐτοῦ μύστων καὶ δούλων, τῶν ἀκαθάρτων λέγω Φουνδαγιαγιτῶν· περιφέρουσι γὰρ καὶ αὐτοὶ οἱ μιαροὶ συνεργείᾳ σατανικῇ ἐπὶ στόματος τὰς τῶν ἁγίων γραφῶν ῥήσεις, οὐχ ἵνα διδάξωσιν ἀσυνέτους καὶ σώσωσιν, ἀλλ' ἵνα διὰ τῶν γνωρίμων γραφῶν δελεάσωσιν καὶ εἰς παγίδα τοῦ πατρὸς αὐτῶν τοῦ διαβόλου ἐνθήσωσι καὶ ἀπολέσωσι. Καὶ γὰρ οἱ ἄνθρωποι βλέποντες εἰς αὐτοὺς σχῆμα μοναχικὸν καὶ ὄνομα καὶ πρᾶξιν Χριστιανοῦ καὶ ἦθος ἥσυχον καὶ ταπεινὸν καὶ τὰς ἁγίας καὶ γνωρίμους γραφὰς ὡς κόκκον ἐν παγίδι ἐπὶ στόματος φέροντας, τὴν ἐνδομυχοῦσαν ἐν αὐτοῖς κακίαν καὶ ἀσέβειαν μὴ ἐπιστάμενοι εὐκόλως ἐν τῇ τοῦ διαβόλου παγίδι ἐμπίπτουσι καὶ εἰς αἰωνίαν καταντῶσιν ἀπώλειαν. Οὐδὲ γὰρ αὐτοὶ οἱ παρὰ τῶν ἀθέων μαθητευόμενοι δύνανται συντόμως ταύτην τὴν μιαρὰν καὶ κακίστην ἀσέβειαν κατανοῆσαι, ἀκούοντες εἰς αὐτοὺς ὄνομα πατρὸς, καὶ υἱοῦ καὶ ἁγίου πνεύματος καὶ Πέτρου καὶ Παύλου, τῶν μεγάλων κηρύκων καὶ ἀποστόλων, καὶ τὰς δεσποτικὰς καὶ ἀποστολικὰς ῥήσεις, εἰς διδασκαλίαν αὐτοῖς προτιθέντες καὶ διὰ [illegible] μαγγανείας ὡς εἰρήκαμεν οἱ ἄθεοι . . . Καὶ ὅταν γνῶσιν [illegible] ὅτι ἀπέστη ἀπ' αὐτῶν τὸ πνεῦμα τὸ ἅγιον καὶ ἀλλοτριωθέντες τοῦ ἁγίου βαπτίσματος καὶ πνεῦμα ἀκάθαρτον εἰς αὐτοὺς ἐνοικῆσαν διὰ τῆς μιαρᾶς ἐπῳδῆς, καὶ τότε ἀσφάλειαν καὶ ὅρκους αὐτοὺς ἀπαιτήσαντες, τότε ἄρχονται τοῦ θαῤῥεῖν αὐτοῖς τὴν μιαρὰν τοῦ διαβόλου μυσταγωγίαν καὶ τὰ αὐτοῦ μυστήρια· πλὴν οὐ πάντα ὁμοῦ θαῤῥοῦσιν, ἀλλ' ἓν μόνον· καὶ ὅτ' ἂν ἴδωσι τὸν ἐλεεινὸν ἐκεῖνον παγιωθέντα εἰς τὸ ἓν ἐκεῖνο καὶ πρῶτον κακόν, πάλιν λέγουσιν αὐτῷ ἕτερον· καὶ οὕτως ἐκ τοῦ κατὰ μικρὸν ὡς ἐπὶ χρόνον ἢ καὶ δύο μόλις αὐτῷ πᾶσαν τὴν αἵρεσιν καὶ μανίαν αὐτῶν ἀποκαλύπτουσιν εἰς αὐτόν. Καὶ τοῦ λοιποῦ φέρουσιν αὐτὸν καὶ προσκυνεῖ αἰσθητῶς τὸν διάβολον καὶ οὕτως εἰς τὸν μαθητὴν, ὃν πλανῶσιν, ἐργασά-

Присъствували 200 свети отци. Те се събрали срещу нечестивия Несторий, човекопочитател, патриарх, както казахме, на Константинопол, който разделил и раздвоил Христос. Защото казвал, че [той] бил обикновен човек и не въплътен бог, и твърдял, че имало двама сина на бога вместо един Христос и две същности. Освен това наричал света дева Мария не Богородица, а Христородица, понеже родила него — господа бога наш Исус Христос. Заради това този свети събор смъкнал човекопочитателя Несторий, понеже като юдействуващ упорствувал в такава клевета, и [съборът] обявил, че пресвета дева Мария е действително и истински Богородица, и прогласил родения от нея незаченат господ наш Исус Христос за син на бога и истинен бог. А Несторий бил заточен в Оасис[30]. И след заточаването станало разследване относно него, да разкаже за тези брътвежи, които говорел. Императорът изпратил да го въведат. А тия, които щели да го водят при императора, като отишли в килията, в която се намирал, тя била затворена отвсякъде. И като удряли, очаквали, че е заспал дълбоко. И след като блъскали продължително, никой не се обаждал. Те разбили вратата, влезли и го намерили бездиханен клекнал, както става, когато се ходи по телесна нужда. Защото целият му живот преминал, както на всенечестивия му учител Арий. След това призовали прислужващите при него и узнали как станало това. Те разказали: „След като ние сме излезли от него, затворил отвсякъде така, както го намерихте, и отишъл по нужда, обърнат към Богородица. Защото тя била изписана на стената с господа наш Исус Христос на ръце. Казал, показвайки с пръст към нея: „Посочих ти, Мария, че наистина си родила обикновен човек, а не бог, както твърдят тези, които ме отстраниха от трона.“ И като казал това, отишъл по нужда, след като ни остави навън.“ Това узнали и го занесли на императора. Този е животът на зломислещия Несторий, на Диоскор и на празноумеца Евтихий и на христоненавистника Петър окаяника, които накрая изхвърлили от светата православна църква и анатемосали заедно с техните съмишленици.

А четвъртият свети вселенски събор става 30 години след третия. Той бил свикан в Халкедон при благочестивия император Маркиан и при римския папа Лъв, константинополския архиепископ Анатолий, Максим Антиохийски и Ювелиан Ерусалимски. В Александрия стоял начело Диоскор, самохвалко ὁ ἀλαζὼν καὶ βέβηλος καὶ ἀσεβέστατος σὺν τῷ ὁμόφρονι αὐτοῦ Πέτρῳ τῷ δειλαίῳ. Ὑπῆρχον δὲ πατέρες ἅγιοι χ̅λ̅, οἵτινες καὶ συνῆλθον κατὰ τοῦ αὐτοῦ Διοσκόρου, Πέτρου τοῦ δειλαίου, Εὐτυχοῦς ἀρχιμανδρίτου καὶ τῶν συνομοφρονησάντων αὐτοῖς. Οὗτοι γὰρ τὴν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐνανθρώπησιν παρῃτοῦντο σχεδὸν παντελῶς, ἐν φαντασίᾳ γὰρ τὴν σάρκα μυθολογοῦντες, ὅθεν καὶ ἐν μιᾷ φύσ<ε>ι αὐτὸν ὑπάρχειν ἔλεγον, τῇ θεότητι δὲ πάθημα προσνέμοντες. Καὶ διὰ τοῦτο οὖν τούτους μὲν ἐμμ<ε>ίναντας τῇ πλάνῃ ἀναθέματι ἡ ἁγία σύνοδος ἅμα τοῖς ὁμόφροσιν αὐτῶν καθυπέβαλλεν, θεῖον δὲ ὅρον ἐξεφώνησεν· τέλειον θεὸν καὶ τέλειον ἄνθρωπον ἐν δύο φύσεσιν ἀσυγχύτως ἀδιαιρέτως τὸν κύριον καὶ θεὸν ἡμῶν κηρύξαντες.

---

[30] Селище в Мала Азия.

Οὕτως οὖν ὡς εἴρηται ἀπὸ τῆς ἁγίας καὶ οἰκουμενικῆς πρώτης συνόδου τῶν τ̅ι̅η̅ ἁγίων θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ μέχρι τῆς ἐν Χαλκηδόνι συνόδου αἱ προλαβοῦσαι οἰκουμενικαὶ σύνοδοι ὁμοφρονήσασαι καὶ πᾶσαν ἐναντίαν καὶ πονηρὰν αἵρεσιν ἀπεδ(ε)ίωξαν καὶ τῷ αἰωνίῳ ἀναθέματι παραδεδώκασιν. Ἐν οἷς ἦν ἐν τῇ πρώτῃ συνόδῳ καὶ ὁ ἅγιος θεοφόρος πατὴρ ἡμῶν Γρηγόριος ὁ τῆς μεγάλης Ἀρμενίας, χειροτονηθεὶς ἐν τῇ ἁγιωτάτῃ μητροπόλει Και(σ)αρείων· ὅρους τε καὶ κανόνας ἔθετο τοῦ μὴ ἔχειν ἐξουσίαν, ἀπὸ τῆς ἁγίας καὶ ζωαρχικῆς τριάδος θεὶς δεσμὸν ἀλλαχοῦ μὴ χειροτονεῖσθαι τὸν τῆς μεγάλης Ἀρμεν(ε)ίας ἀρχιερέα ἐκτὸς αὐτῆς τῆς ἁγιωτάτης ἐκκλησίας τῶν Και(σ)αρείων καὶ ἀπ᾿ αὐτοῦ δὲ τοῦ θεοφόρου πατρὸς ἡμῶν καὶ ἱερομάρτυρος Γρηγορίου ἕτεροι ἀρχιερεῖς ὅσοι ἐχειροτονήθησαν ἕνδεκα. Ὅτε δὲ ὡς προεί<ρ>ηται ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἐν πνεύματι ἁγίῳ συνηθροίσθη ἐν Χαλκηδόνι, ἀπεσχίσθησαν καὶ εἰς ἰδίας αἱρέσεις καὶ κενοδοξίας ἐχώρησαν ὅ τε Ἐχανέσιος ἐκεῖνος ὁ καὶ Μανδακούνιος καλούμενος, ὁ καὶ τῆς μεγάλης Ἀρμενίας πρῶτος ἀρχιερεύς, σὺν τῶν λοιπῶν ἀνιέρων ἱερέων τῆς μεγάλης Ἀρμενίας. Εὗρε δὲ ὁ ἀρχέκακος ὄφις διάβολος ὄργανα τῆς αὐτοῦ σκευωρίας, Διόσκορον τὸν Ἀλεξανδρέα, Πέτρον τὸν δείλαιον, | τὸν ἐν Ἀντιοχείᾳ, καὶ τὸν μονοθελήτην Εὐτυχέα, τοὺς ἀπελθόντας καὶ ἀναθεματισθέντας παρὰ τῶν ἁγίων καὶ οἰκουμενικῶν συνόδων. Καὶ συναθροισθέντες ἀμφότεροι ἐν πόλει τῇ καλουμένῃ Ἀνὴ τῆς Ἀρμενίας, καὶ ἐν ταύτῃ συνόδῳ, ὡς ἐκεῖνοι ἐνόμισαν, κροτήσαντες καὶ τὰ ἄθεα καὶ βλάσφημα συγγράψαντες δόγματα. Ἐκεῖθεν γὰρ καὶ τὴν τῶν Χαντζητζαρίων ἐπεκύρωσαν αἵρεσιν. Ἡ γὰρ τοιαύτη αἵρεσις τῶν Χαντζητζαρίων, ὡς ἐκεῖνοι λογίζονται καὶ ἔχουσιν, οὕτως ἑρμηνεύεται. Πάθος γὰρ ἐπιφέρουσιν ἐπὶ τὸ ἀπαθὲς τῆς θεότητος· τὸ γάρ· ἅγιος ἀθάνατος ὁ σταυρωθεὶς δι᾿ ἡμᾶς λι-

и бърборко, най-безчестен, заедно с единомишленика си Петър окаяника. Присъствували 630 свети отци, които се събрали срещу същия Диоскор, Петър окаяника и архимандрит Евтих и съмишлениците им. Защото те почти напълно оспорвали човешката природа на нашия спасител Исус Христос, като твърдели, че плътта му била въображаема, и затова казвали, че той се явявал в една природа, и отдавали на божествеността му страданието. И заради това съборът подхвърлил на анатема тези, които упорствували в измамата, заедно с техните съмишленици и изрекъл божествено определение — обявил, че нашият господ бог е съвършен бог и съвършен човек в две природи, неслети и неразделни.

Следователно така, както се каза, от светия Първи вселенски събор на 318-те свети богоносни отци в Никея и до събора в Халкедон [всички] състоялите се вселенски събори единодушно са преследвали всяка противна и опасна ерес и са я предавали на вечна анатема. На тях присъствувал в Първия събор и светият богоносен наш отец Григорий от велика Армения, ръкоположен в светейшата митрополия на Кесария. [Той] предложил решения и постановления да няма възможност, туряйки забрана от името на светата животоначална троица, да не се ръкополага на друго място архиерей на велика Армения извън самата светейша църква на Кесария. И от самия наш богоносен отец и свещеномъченик Григорий бяха ръкоположени други архиереи, каквито бяха ръкоположени единадесет. А когато, както се каза, се събрал светият вселенски събор в светия дух в Халкедон, се отцепили и отстъпили в собствени ереси и тщеславия и оня Еханезий, наричан още Мандакуний, и първият архиерей на велика Армения заедно с останалите нечестиви йереи на велика Армения. Змията дявол, източникът на бедствия, намерил оръдия за коварството си Диоскор Александриеца, Петър Окаяника — от Антиохия, и монотелита Евтих, откъснали се и анатемосани от светите вселенски събори. И като се събрали и едните, и другите в арменския град, наречен Ани, в този събор, както те си искали, изковали и записали безбожни и клеветнически догми. Освен това одобрили и ереста на ханджижарите. Защото тази ерес на ханджижарите, както онези смятат и мислят, се тълкува така: Обясняват „страданието“ с лицата на чувствителност на боγουσιν ἐν τῷ τρισαγίῳ καὶ φυρμὸν καὶ σύγχυσιν εἰσάγουσιν καὶ μίαν εἶναι φύσιν τὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀσεβῶς δογματίζουσιν· οἷα τοίνυν καὶ ὁ Εὐτυχὴς καὶ Διόσκορος καὶ ὁ δείλαιος Πέτρος φέρουσιν. Σὺν αὐτοῖς καὶ ἡ τοῦ ἀθέου Σευήρου αἵρεσις συντρέχει. Οὗτος οὖν ὁ Σευῆρος, ὁσάκις ἂν περιέπεσέν τις εἰς ἔγκλημα, τοσαυτάκις καὶ ἐβάπτιζε τοῦτον. Καὶ ἐξ αὐτῶν μετέχουσιν οἱ ἀκέφαλοι Σευηριανοὶ καὶ οἱ Ἰακωβῖται καὶ ὁ αὐτὸς ὁ πανάθλιος Εὐτυχής, μᾶλλον δὲ ἀτυχής, καὶ Διόσκορος καὶ Πέτρος ὁ δείλαιος καὶ ὁ ἀρχηγὸς τῶν Ἀρμενίων, ὁ Μανδακούνης. Λέγει δέ, ὅτι πρὸ τοῦ γεννηθῆναι ἐκ τῆς ἀειπαρθένου Μαρίας τὸν σωτῆρα καὶ θεὸν ἡμῶν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐξ οὐρανοῦ ἔλαβε σάρκα· τὴν γὰρ ὁμοιότητα ἡμῶν οὐ κατὰ ἀλήθειαν γενέσθαι ἄνθρωπον ἐκ τῆς παρθένου, ἀλλὰ φαντασικῶς καὶ οὔτε ψυχὴν οὔτε σῶμα ἔλαβεν ἐκ τῆς παρθένου καὶ οὔτε ἐννέα μῆνας ἐν τῇ γαστρὶ αὐτῆς ἐπέμεινεν, ἀλλ' ὥσπερ διὰ σωλῆνος διῆλθεν· ἐκ δύο φύσεων καὶ εἰς μίαν ἐγκραθῆ φύσιν. Καὶ διὰ τοῦτο οἱ Ἀρμένιοι τὸν εὐαγγελισμὸν οὐχ ἑορτάζουσιν ἑσπέρας τὴν ἑορτὴν τοῦ εὐαγγελισμοῦ καὶ διὰ τῆς αὐτῆς νυκτὸς ἑορτάζουσι τὰ Χριστοῦ γέννα καὶ παρατρέχουσιν ἑπτὰ ἡμέρας, καὶ εἶθ' οὕτως ἑορτάζουσι τὰ φῶτα, μηδόλως δὲ ποιοῦντες τὴν μν⟨ε⟩ίαν τῆς περιτομῆς καὶ κατὰ τοὺς Ἰουδαίους καὶ αὐτοὶ ἰουδαΐζουσιν. Καὶ ἐν τῷ καιρῷ τοῦ πάσχα θύουσι τὸν ἀμνὸν καὶ ἐκ τοῦ αἵματος αὐτοῦ χρίουσιν τὰς φλιὰς τῶν θυρῶν καὶ ὀπτὰ πυρὶ ποιοῦσι καὶ ἐσθίουσιν· καὶ τὴν προσφορὰν αὐτῶν ἄζυμον ποιοῦντες καὶ ἕνωσιν τοῦ ὕδατος σὺν τῷ οἴνῳ οὐ ποιοῦσιν, ἀλλὰ μόνον οἶνον κατὰ τὸ τῶν Ἰουδαίων ἔθιμον, μὴ συνιέντες τῶν θείων εὐαγγελίων καὶ τοῦ ἀποστόλου, ὅτι τὰ ἀρχαῖα παρῆλθεν· ἤγουν ἡ σκιὰ τοῦ νόμου· ἐλθούσης γὰρ τῆς ἀληθείας, τουτέστιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ σάρκα πρὸς ἡμᾶς ἐπιδημήσαντος ἐκ τῆς ἀειπαρθένου Μαρίας κατὰ τὰς ῥήσεις τῶν θεοκηρύκων προφητῶν πεπλήρωκεν πᾶσαν νομικὴν λατρείαν. Τὸ δὲ σημεῖον τοῦ ζωοποιοῦ σταυροῦ οὔτε προσκυνοῦσιν οὔτε ἀσπάζονται οὔτε θείαν δύναμιν λέγουσιν ἔχειν, εἰ μὴ πρότερον βαπτίζουσιν αὐτὸν ὡς ἄνθρωπον καὶ πήξουσιν ἧλον ἐν μέσῳ αὐτοῦ, οὐ τιμῶσι· πρὸ γὰρ τοῦ βαπτίσαι αὐτὸν καταπατοῦσιν καὶ ἀντ' οὐδενὸς λογίζονται· λέγουσιν δὲ καὶ περὶ τοῦ ἥλου, οὗ κατὰ τὸ μέσον καρφοῦσιν, ὅτι εἰ μὴ κατὰ καρδίας αὐτὸν ἐκάρφωσαν, οὐκ ἂν ἠδυνήθη ὑπὸ τεσσάρων ἥλων κρατεῖσθαι. Οἱ δὲ Ἀρμένιοι πατροπαράδοτον ἔχουσιν τοῦ δαιμονίζεσθαι ὡς ἀπὸ τοῦ Τηριδάτου· εἴ τις οὖν ἐκ τούτων ὑπὸ δαίμονος ἐνοχληθῇ, ποιοῦσιν εἰς ὄνομα τοῦ δαιμονιζομένου σταυρὸν καὶ βαπτίζουσιν ὡς προείρηται τοῦτον καὶ καρφοῦσιν αὐτὸν καὶ λέγουσιν, ὅτι τὸν δαίμονα καρφώνομεν ἐν τῷ σταυρῷ· καὶ οὐ μὴ ἐξέρχεται τοῦ πολεμεῖν τοῦτον· ἐπὶ τοῦτο γὰρ καὶ ἀντικαινοῦ τοῦτον, ὡς δῆθεν μὴ ἐκλείψῃ ὁ δαίμων. Ποιοῦσι δὲ σταυροὺς τρεῖς

и твърдят светотатствено, че една е природата на нашия господ Исус Христос. Това същото впрочем разправят Евтих и Диоскор и Петър Окаяника. С тях се схожда също ереста на Север. И този Север, колчем някой изпадне във вина, толкова пъти го кръщавал. И от тях заемат безначалните севериани и яковитите, и същият всенечестив Евтих, по-скоро нещастник, и Диоскор, и Петър Окаяника, и главата на армените Мандакун. Той твърди, че преди да се роди от приснодева Мария спасителят, нашият бог и господ Исус Христос, получил плът от небето. Че по подобие с нас не станал човек от девицата, а по въображение, и не взел нито душа, нито плът от девицата, нито стоял девет месеца в нейната утроба, но излязъл като през тръба. От две природи се смесил в една природа. И заради това армените не празнуват благовещението вечерта като празника Благовещение, а през същата нощ празнуват рождество Христово и прескачат седем дни и след това празнуват утрото; изобщо не правят възпоминание за обрязването, а сами юдействуват като юдеите. През време на пасхата принасят в жертва агнето и с кръвта му мажат гредите на вратите и го пекат на огън и ядат. Правят си просфората безквасна и не смесват виното с вода, но [си служат с] чисто вино според обичая на юдеите, без да разбират божественото евангелие и апостола, че „отмина старото“[31], т.е. сянката на закона. Защото като дойдѐ истината, т.е. като дойде нашият господ Исус Христос в плът при нас от приснодева Мария, според словата на боговестителите пророци той изпълни цялото съдържание на закона. Не тачат знака на животворния кръст, нито му се кланят, нито казват, че има божествена сила, и не го почитат, ако предварително не го кръщават като човек и ако не заковат гвоздей в средата му. Преди да го кръстят, го тъпчат и не го смятат за нищо. Казват и за гвоздея, който коват по средата, че ако не го забият в сърцето, не може да бъде заместен от четири гвоздея. А арменците смятат завет от бащите да беснеят като от Тиридат. Прочее, ако някой от тях бъде обхванат от дявола, правят на името на обхванатия от злия дух кръст и го кръщават, както се каза погоре, и го приковават, като казват, че „приковават“ дявола на кръста. И да не излезе да враждува срещу него, той го и преобразява, та дяволът да не може наистина да излезе оттам. Правят три кръста и ги съединяват помежду им. Двата правят еднакво

---

[31] II Кор. 5, 17.

καὶ ζωγραφοῦσιν ἀμφοτέρους· καὶ τοὺς μὲν δύο ποιοῦσιν ἰσομήκεις καὶ ὁμοίους, τὸν δὲ ἕτερον ἔλαττον καὶ σμικρότατον, καὶ ὀνομάζουσιν τούτους ἁγίαν τριάδα. Τὸ δὲ τοιοῦτον ἔργον ἔχει μεγάλην αἵρεσιν· τὸ μέν, ὅτι τὴν ἁγίαν τριάδα οὐ χρὴ εἰς ὑλικά τινα χαρακτηρίζειν, καὶ φανεροῦσιν ὑπόστασιν ἔχειν ἐπὶ τῆς γῆς· τὸ δέ, ὅτι τὴν ἁγίαν τριάδα ἐλαττονοῦσιν, ἤγουν τὸ ἅγιον πνεῦμα. Τὰς δὲ σεπτὰς καὶ ἁγίας εἰκόνας τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς αὐτοῦ μητρὸς τῆς ἁγίας θεοτόκου οὐ προσκυνοῦσιν, ἀλλὰ εἴδωλα ταύτας ἀποκαλοῦσιν, ἐπιφερόμενοι εἰς μαρτυρίαν τὸ ἔμπαλιν, τὸ τοῦ ψαλμοῦ ῥητὸν τὸ φάσκον· τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων καὶ τὰ ἑξῆς· καίπερ ἐν τοῖς βιβλίοις αὐτῶν ἔχουσιν τοῦ ἁγίου Σιλβέστρου, ὅτι ὁ μέγας Κωνσταντῖνος διὰ τῶν ἁγίων εἰκόνων Πέτρου καὶ Παύλου ἔγνω τὴν ἀληθῆ σωτηρίαν. Καὶ Γρηγόριος ὁ τῆς μεγάλης Ἀρμενίας γράφει οὕτως· ὅτι εἰδὼς ὁ θεὸς τοὺς ἀνθρώπους εἰκονολάτρας καὶ εἰδωλολάτρας οὐκ ἠθέλησεν αὐτοὺς ἐκ τῆς συνηθείας αὐτῶν ἀποκόψαι, ἀλλὰ ἀντὶ τῶν εἰκόνων ἐκείνων ἔδωκεν τὴν ἑαυτοῦ εἰκόνα καὶ τῆς θεοτόκου καὶ τῶν ἁγίων καὶ ἀντὶ τῶν εἰδώλων τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν.

Καὶ ἐπάγει· εἴ τις οὐ προσκυνεῖ τὸν τίμιον σταυρὸν καὶ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τὴν εἰκόνα καὶ τῆς ἁγίας θεοτόκου καὶ πάντων τῶν ἁγίων ἐγγράφως, ἔστω ἀνάθεμα, ἀνάθεμα, ἀνάθεμα. Τὸ δὲ ἀνάθεμα ἑρμηνεύεται οὕτως· ἀναθέσθω φησὶν ὁ ἀναθεματιζόμενος τῷ διαβόλῳ καὶ μὴ χώραν σωτηρίας ἐχέτω· ἀλλότριος γενέσθω ἀπὸ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Εἰς δὲ τὴν θυσίαν αὐτῶν φέρουσιν βοῦν ἢ κριὸν καὶ γραμμίζουσιν αὐτὸν μετὰ βαμμάτων κοκκίνων καὶ εἰς τὰ κέρατα αὐτῶν κρεμῶσιν ὀπώρας παντοίας καὶ φέρουσιν αὐτὸν εἰς τὴν θύραν τῆς ἐκκλησίας αὐτῶν καὶ μετὰ βουτύρου ἀλείφουσιν τὰ μέλη τοῦ τοιούτου ζώου καὶ θυσιάζουσιν αὐτὸ εἰς τὴν θύραν τῆς ἐκκλησίας καὶ καλοῦσιν ταύτην δεσποτικὴν θυσίαν. Τὸ αὐτὸ τοίνυν ποιοῦσιν καὶ ἐπὶ τῶν προαπελθόντων ψυχῶν αὐτῶν· λέγουσιν δέ, ὅτι, ἐὰν μὴ γίνηται σφαγὴ καὶ χύσις αἵματος, ἤγουν περιστερῶν, προβάτων καὶ βοῶν ὑπὲρ τῶν τεθνεώτων, οὐ γίνεται ἀνάπαυσις τῶν ψυχῶν αὐτῶν οὐδὲ ἐνεργεῖ ἡ ἀναίμακτος θυσία, ἐὰν μὴ γένηται σφαγὴ τοιούτων ζώων. Ὦ ἀγνώμονες καὶ ἀνόητοι καὶ πεπωρωμένοι τῇ καρδίᾳ· ἐν αἱμάτων θυσίαις χαίρεται ὁ θεός; μὴ γένοιτο· οὐκ εἰσὶ γὰρ καὶ παρ' ὑμῶν αἱ τῶν μεγαλοφωνοτάτων προφητῶν φωναί; Ἡσαΐας μὲν τοῖς Ἰσραηλίταις ὡς ἐξ αὐτοῦ τοῦ κυρίου λέγει· τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει κύριος· πλήρης εἰμὶ ὁλοκαυτωμάτων καὶ κριῶν καὶ στέατος ἀρνῶν· καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι· οὐ γὰρ ἔρχεσθε ὀφθῆναί μοι· τίς γὰρ ἐξεζήτησεν ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; πατεῖν τὴν αὐλήν μου οὐ προστίθεσθαι· ἐὰν φέρητέ μοι σεμίδαλιν, μάταιον·

дълги и еднакви на вид, а останалия по-къс и по-малък и ги наричат света троица. В това нещо се съдържа голяма ерес. Първо, защото света троица не бива да се изобразява в някаква материя, а те показват, че [тя] има вещественост на земята. Второ, защото омаловажават света троица, т.е. свети дух. Не тачат почитаните образи на нашия господ, бог и спасител Исус Христос и на майка му света Богородица, но ги наричат идоли, като привеждат за доказателство противното, а именно словото на псалма, което казва: „Идолите на езичниците са злато и сребро, дело на човешките ръце“[32] и пр., макар и в книгите им от свети Силвестър да стои, че Константин Велики чрез светите икони на Петър и Павел е познал истинското спасение. И Григорий от велика Армения пише така: „Бог, знаейки, че хората са иконопочитатели и идолопочитатели, не искал да ги отблъсне от навика им, но вместо техните икони им дал своята икона и на Богородица, и на светците и вместо идолите честния и животворен кръст.“ - - - И прибавя: „Ако някой не тачи честния кръст и образа на господа бога нашия спасител Исус Христос и на света Богородица, и на всички светци в образ, нека бъде анатема. А анатемата се произнася така: Да бъде оставен, казва, анатемосваният на дявола и да няма място за спасение; да стане чужд на господа бога нашия спасител Исус Христос.“ За жертвата принасят вол или овен и го нашарват с червена боя, а на рогата му закачват всякакви плодове и го водят до вратата на църквата си и намазват с масло тялото на такова животно, и го принасят в жертва пред вратата на църквата и наричат тази жертва господня. Прочее същото правят и за душите на починалите. А казват, че ако не се извърши заколване и кръвоизлияние, именно на гълъби, овце или волове за покойниците, няма покой за душите им, нито има сила неопетнената с кръв жертва, ако не се заколят такива животни. О неразумни, безразсъдни и с безчувствени сърца! На кръвните жертви ли се радва бог? В никакъв случай. Не чувате ли и вие гласовете на гръмогласните пророци? Исая говори на израилтяните като от името на самия господ: „Защо ми са многото ваши жертви? — казва господ. — Преситен съм от всеизгарянията и на овни, и на лойта на овци; и кръв на волове и кози не искам. Защото не идвате, за да ви видя. Кой е поискал това от ръцете ви? Не се налага да тъпчете моите двори. Ако ми принасяте θυμίαμα, βδέλυγμά μοί ἐστιν· τὰς νεομηνίας ὑμῶν καὶ τὰ σάββατα καὶ ἡμέρας μεγάλας οὐκ ἀνέχομαι | νηστείαν καὶ ἀργίαν καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου· ἐγενήθητέ μοι εἰς πλησμονήν· οὐκέτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν· ὅτ' ἂν τὰς χεῖρας ὑμῶν ἐκτείνητε πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις. Καὶ ὁ θεοπάτωρ Δαυὶδ λέγει· οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους οὐδὲ ἐκ τῶν ποιμνίων σου χειμάρρους, ὅτι ἐμά ἐστι πάντα τὰ θηρία τοῦ ἀγροῦ. Καὶ πάλιν· θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου. Καὶ πάλιν· ῥῦσαί με ἐξ αἱμάτων, ὁ θεός, ὁ θεὸς τῆς σωτηρίας μου· καὶ αὖθις· ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἂν ὁλοκαυτώματα· οὐκ εὐδοκήσεις· θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουδενώσει. Ἑορτάζουσιν οἱ παμβέβηλοι Ἰαννουαρίῳ εἰς τὰς Θ' καὶ ἄλλον εὐαγγελισμὸν καὶ ψάλλουσιν τοῦ εὐαγγελισμοῦ καὶ λέγουσιν καὶ τὸ εὐαγγέλιον τῷ ἕκτῳ μηνί. Καὶ ἐὰν θέλῃ τις ἀκριβῶς μανθάνειν, ἔστιν ὑπὲρ ἀνθρωπίνην φύσιν, ἅπερ πράττουσι· δώδεκα γὰρ μῆνες πληροῦνται ἀπὸ τὸν ὃν εὐ⟨α⟩γγελισμὸν ... αὐτῶν, ἕως τὰ Χριστοῦ γέννα ὁμοίως αὐτῶν. Καὶ ταῦτα μὲν οὕτως· τὸν δὲ ἀσεβέστατον Ὠριγένην, ὅστις διαφόρως καὶ πολλὰς συνεγράψατο αἱρέσεις, μέρος μέντοι ἀναθεματίζουσι, μέρος δὲ ἀναφέρουσι τὸν τοιοῦτον εἰς τὰς αὐτῶν λειτουργίας καὶ μυσαρὰς τελετὰς καὶ ὡς μέγαν καὶ ἅγιον ἔχουσι διδάσκαλον, καὶ ὅτε ἐρωτηθῶσι παρὰ ὀρθοδόξων καὶ ἁγίων ἱερέων, ἀναθεματίζουσιν αὐτόν τε τὸν Ὠριγένην, Διόσκορον καὶ Εὐτυχέα, τὰς δὲ αἱρέσεις αὐτῶν κατέχουσι καὶ σέβονται. Ἀναγινώσκουσι δὲ καθ' ἑκάστην τοῦ ἁγίου καὶ θεοφόρου πατρὸς ἡμῶν Κυρίλλου τὰς βίβλους· (τὸ) πῶς λεπτομερῶς στηλιτεύει τὰς αἱρέσεις καὶ μίαν καὶ ἑκάστην ἰδίαν καὶ κεχωρισμένην ἀναθεματίζει. Καὶ αὐτὰς μὲν τὰς αἱρέσεις ἀναθεματίζουσιν· τὰς δὲ παραδόσεις αὐτῶν καὶ τοὺς αἱρεσιάρχας κατέχουσι καὶ σέβονται, τὰς τοιαύτας λοιπὸν ἀθεμίτους καὶ παμβεβήλους καὶ παμμιάρους αἱρέσεις ἐκθέμενοι οἱ προαναγεγραμμένοι παμμίαροι αἱρεσιάρχαι. Ἡμεῖς δὲ ἐκπληρώσομεν κατὰ δύναμιν ὥσπερ ὑπεσχόμεθα τῇ ὑμετέρᾳ ἀγάπῃ περὶ Πέτρου τοῦ δειλαίου· καὶ ἐκ τῶν πολλῶν εἴπωμεν ὀλίγα τινά, τὰ δὲ λοιπὰ ὡς μυσαρώτερα καὶ ἀνάξια γραφῆς παραλείψομεν.

---

[32] Пс. 134, 15.

Οὗτος ὁ δείλαιος αἱρετικὸς ὢν ἐλάνθανε τοὺς ὀρθοδόξους καὶ διὰ τὴν ψευδοταπείνωσιν καὶ ὑπουλίαν αὐτοῦ καὶ τὴν ἐγκεκρυμμένην ἐν αὐτῷ μανίαν καὶ αἵρεσιν. Ἀγνοοῦντες οἱ ἄνθρωποι ἐψηφίσαντο αὐτὸν ἀρχιεπίσκοπον, καὶ ἀναξίως ὁ λύκος | ἀντὶ ποιμένος ἐπέβη εἰς τὸν ἀποστολικὸν θρόνον· μᾶλλον δὲ λῃστρικῶς ἐπέβη τῆς ἀρχιερωσύνης καὶ οὐκ ἐπαύσατο διδασκαλίας ἐκθέμενος μυσαρὰς ἐγγράφως καὶ ἀγράφως διδάσκων

пшеничено брашно, суета е. Тамянът ми е отвратителен. Не търпя новолуния и съботи и велики дни. Душата ми мрази пости и леност и вашите празници. Създадени сте ми за бреме. Вече не ще изпълнявам вашите заблуди. Когато простирате ръцете си към мен, ще отвърна очите си от вас. Защото ръцете ви са потънали в кръв."[33] И богоотецът Давид казва: „Не ще приема от дома ти козли, нито от стадата ти потоци [кръв], защото са мои всички животни от полето."[34] И още: „Принеси на бога благодарствена жертва и въздай на всевишния молитвите си."[35] И още: „Избави ме, о боже на спасението ми."[36] И още: „Защото ако искаш жертва, аз бих ти дал всеизгаряне. Не би бил доволен. Жертвата пред бога е дух съкрушен. Сърце съкрушено и смирено бог не ще презре."[37] Празнуват всенечестивците на 9 януари и друго благовещение и възпяват благовещението и казват и благата вест на шестия месец. И ако някой поиска да разбере точно, това, което правят, е свръх човешката природа. Защото по такъв начин се изпълват дванадесет месеца от тяхното благовещение до тяхното рождество Христово. И това става така. Безбожника Ориген, който описал различно много ереси, те отчасти анатемосват, а отчасти го издигат до литургиите си и нечестивите си тайнства и го признават за велик и свещен учител; и когато бъдат запитани от православни и свети йереи, те анатемосват и самия Ориген, и Диоскор, и Евтих, а ересите им пазят и тачат. Признават всяка от книгите на светия наш богоносен Кирил: как опозорява изтънко ересите и анатемосва всяка една поотделно. И анатемосват самите ереси, а приемат и почитат ученията и ересиарсите им, като прочее споменатите нечестиви ересиарси излагат тия беззаконни, всенечестиви и всеопетнени ереси. А ние по силите си, както обещахме на ваша любезност, ще разкажем за Петър окаяника. И от многото нека кажем нещо малко, а останалото, като по-гнусно и недостойно за писмо, ще изоставим.

Този окаяник като еретик се криел от православните чрез мнимото си смирение и престореността си и като прикривал в себе си своята лудост и ерес. Поради неведение хората го избрали за архиепископ и вълкът под вида на пастир се възкачил недостойно на апостолския престол. По-скоро той получил разбойнически архиерейството и не се отказал от поучения, като излагал писмено гнусотии и назидавал устно народа, поква-

---

[33] Исая, 1, 11—15. [34] Пс. 49, 9, 10. [35] Пс. 49, 14. [36] Пс. 50, 16. [37] Пс. 50, 18, 19.

τὸν λαὸν καὶ τὰς τῶν ἁπλουστέρων ψυχὰς διαστρέφων καὶ κοινοὺς ποιῶν αὐτοὺς τῆς ἰδίας αὐτοῦ ἀπωλείας, τὸ κρίμα τοῦ θεοῦ κατὰ νοῦν μὴ λαμβάνων τὸ σύνολον. Καταφρονήσας δὲ παντελῶς τοὺς ἱεροὺς καὶ θείους κανόνας καὶ τὰς εὐαγγελικὰς καὶ ἀποστολικὰς διδασκαλίας καὶ τὰς τῶν θείων καὶ ἁγίων πατέρων καὶ οὐκ ἐπαύσατο ὁ δείλαιος τὸ ποίμνιον τοῦ Χριστοῦ διαστρέφων, παρασυνάξεις τε καὶ παραβαπτίσματα καὶ μοναστήρια ποιῶν καὶ τῆς μιαρᾶς αὐτοῦ αἱρέσεως καὶ κοινων(ί)ας μεταδιδούς. | Ἀλλ' οὐκ ἔλαθεν εἰς τέλος ὁ ἀσεβής, ἀλλ' ἐγνώσθη ἐπὶ συνόδου ἡ μανία αὐτοῦ. Καὶ μαθὼν περὶ τῆς ἀσεβείας αὐτοῦ ὁ βασιλεὺς Μαρκιανὸς καὶ ἡ βασίλισ(σ)α Πουλχερία, καὶ σφόδρα ἠγανάκτησαν κατ' αὐτοῦ καὶ ἀπέστειλαν τοῦ κρατῆσαι αὐτόν. Γνοὺς δὲ ὁ δείλαιος τὴν κατ' αὐτοῦ βασιλικὴν ἀγανάκτησιν καὶ ὅτι ἐπὶ ξυροῦ ὁ κίνδυνος, ταχέως μετά τινος συμμύστου αὐτοῦ προσέδραμεν εἰς μάγον τινά, τοῦ διαβόλου ὑπουργὸν καὶ γνήσιον φίλον καὶ συνήθη αὐτοῦ, τὴν κατ' αὐτοῦ βασιλικὴν ἀγανάκτησιν καὶ τὸν ἐπικείμενον κίνδυνον ἀπαγγέλλων αὐτῷ καὶ βοήθειαν τὴν παρ' αὐτοῦ ἐξαιτούμενος. Ταῦτα ὁ μάγος ἀκούσας λέγει πρὸς τὸν δείλαιον· μὴ ἀθύμει, δέσποτα, ἐμὲ ἔχων φίλον· γνωρίζεις γάρ, ὅτι οὐδέποτε πέπονθάς τι λυπηρόν, ἀφ' οὗ με ἐγνώρισας. Ὁ δὲ δείλαιος ἔφη· οὐδέποτε καὶ τούτου χάριν καὶ αὖθις τῆς σῆς βοηθείας καὶ ἀντιλήψεως αἰτοῦμαι. Καὶ ὁ μάγος· εἰπέ μοι μόνον, ποῦ βούλει προσφυγεῖν, καὶ ταχὺ ἀπαγάγω σε ἐκεῖ. Καὶ λέγει αὐτῷ ὁ δείλαιος· εἰς τὴν τῶν Ῥωμαίων ἐπικράτειαν οὐ χώρα μοι· θέλω δέ, ἵνα ἀπέλθω εἰς τὴν μεγάλην Ἀρμενίαν· ἐπεὶ καὶ τὴν τῶν Ἀρμενίων γλῶσσαν ἐπίσταμαι ἀκριβῶς. Καὶ ὁ μάγος ἔφη· ἄπελθε, δέσποτα, καὶ ἡλίου δύναντος εὑρέθητι ἐν τῇ οἰκίᾳ μου, ἔχων μετὰ σοῦ ἀνθρώπους, ἄλογα πράγματα, καὶ ἄλλο εἴ τι ἂν βούλῃ τοῦ ἔχειν μετὰ σοῦ· καὶ ποιῶ τὰ τῆς ἐπιστήμης μου· καὶ ὄρθρου βαθέος εὑρεθήσῃ μετὰ πάντων ἐν τῇ Ἀρμενίᾳ. Ὅπερ καὶ ἐποίησεν, ὡς οἱ αὐτῷ ὑπηρετήσαντες καὶ οἰκείοις ἰδόντες ὀφθαλμοῖς ὕστερον διηγήσαντο λέγοντες, ὅτι· μετὰ τὸ δῦναι τὸν ἥλιον ἀπήλθομεν ἐν τῇ οἰκίᾳ τοῦ μάγου καὶ ἐγέμισεν ὁ μάγος λεκάνην ὕδατος καὶ ἐποίησεν ἐν αὐτῇ τὰς μαγικὰς αὐτοῦ καὶ διαβολικὰς ἐπαοιδὰς καὶ ἐπῳδὰς καὶ ἐνεργείας καὶ τότε προσκαλεσάμενος τὸν δείλαιον Πέτρον δέδωκεν αὐτῷ ὑέλινον ἄγγος μεστὸν μύρου σατανικοῦ, μᾶλλον δὲ βορβόρου, καὶ ἐπῳδὴν ὁμοίως καὶ ταύτην σατανικὴν γεγραμμένην ἐν χάρτῃ, καὶ εἶπεν πρὸς αὐτόν· λάβε ταῦτα, ὅσα σοι δίδωμι· ἀναγκαῖα γάρ εἰσι· καὶ ταχὺ αὔριον εὑρεθήσῃ εἰς τὴν μεγάλην Ἀρμενίαν. Καὶ ἡνίκα ἡμέρα γένηται, κέλευσον τοὺς σοι ὑπηρετοῦντας ἀνθρώπους ἐξελθεῖν καὶ κηρύξαι εἰς ἅπασαν τὴν τῶν Ἀρμενίων χώραν, λέγοντας, ὅτι· μέγας ἀπόστολος τοῦ θεοῦ καὶ διδάσκαλος ἐπιδεδήμηκεν σήμερον ἐν τῇ ἡμῶν χώρᾳ. Ἔρχεσθε πάντες εἰς θέαν καὶ προσκύνησιν αὐτοῦ. Καὶ ἐρχομένου τοῦ λαοῦ εἰς τὴν προσκύνησιν, χρῖε τὴν τῆς δεξιᾶς σου

рявал душите на по-простите и ги приобщавал към собствената си гибел, без изобщо да държи сметка за божия съд. Съвсем презирал йереите и божествените канони, евангелските и апостолските поучения и [поученията] на божествените и свети отци и не преставал окаянникът да развращава Христовото стадо, като уреждал лъжесъбрания и лъжекръщения и монастири, и предавал нечистата си ерес и общност. Но не останал скрит до края нечестивецът и неговото безумие било изобличено на събора. Като научили за безчестието му, император Маркиан и императрица Пулхерия страшно се разгневили и изпратили да го задържат. Щом научил за императорския гняв срещу него и че го заплашва опасност, окаянникът веднага избягал заедно с един свой съслужител при някакъв маг, помощник на дявола и негов верен приятел и близък, съобщил му за императорския гняв срещу него и за надвисналата над него опасност и го помолил да му помогне. На това магът отговорил на окаяника: „Не падай духом, господине, щом съм ти приятел. Знаеш, че никога не си претърпявал някаква неприятност, откакто ме познаваш.“ А окаянникът казал: „Никога и затова пак те моля за твоята помощ и застъпничество.“ А магът: „Кажи ми само къде искаш да избягаш и веднага ще те отведа там.“ Окаянникът пък му казал: „В ромейската държава няма място за мене. Искам да отида във велика Армения, тъй като зная добре и арменски език.“ А магът казал: „Върви си, господине, и при залез слънце бъди у дома ми заедно с твоите хора и вещи и каквото друго искаш да вземеш със себе си. И аз ще направя това, което смятам за разумно, и рано призори ще се озовеш с всички в Армения.“ Това и направил, както разказали по-късно тези, които го придружавали и били очевидци: „След залез слънце отидохме в дома на мага и магът напълни леген с вода и в него извърши магическите си и дяволски заклинания и баяния и действия и тогава покани окаяника Петър, даде му стъклен съд, пълен с дяволско миро, по-скоро с кал, и също така заклинание, и то сатанинско, написано на лист, и му каза: „Вземи това, което ти давам. Нужно е. И утре веднага ще се озовеш във велика Армения. И когато настъпи денят, заповядай на служителите си да излязат и да съобщят на цялата арменска страна: Велик божи апостол и учител пристигна вчера в нашата страна. Елате всички да го видите и да му се поклоните. И щом се стече народът да ти се поклони, намажи отвътре и отвън китката

χειρὸς παλάμην ἀπὸ τοῦ μύρου, οὗ ἐν τῷ ὑελίῳ βαλὼν | σοι δέδωκα, ἔσωθεν καὶ ἔξωθεν· καὶ τοὺς μέλλοντας ἔρχεσθαι εἰς σὴν προσκύνησιν ποίει αὐτοὺς πρῶτον ἀσπάζεσθαι τὸ ἔξωθεν τῆς χειρός σου, ἐν ᾧ ἐστιν ἡ χρίσις τοῦ μύρου καὶ μετὰ τὸ ἀσπάσασθαι αὐτὴν πάλιν τίθει αὐτὴν τὴν κεχρισμένην χεῖρα ἐπάνω εἰς τὰς αὐτῶν κορυφὰς καὶ λάλει καθ' ἑαυτόν σου ταύτην τὴν ἐπῳδήν, ἥν σοι ἐγγράφως δίδωμι, ὡς δῆθεν ἐπευχόμενος καὶ εὐλογῶν αὐτούς· καὶ τούτων οὕτως γινομένων ἐγκατοικεῖ εἰς αὐτοὺς ὁ διάβολος· τὰς μιαρίας βδελυττομένου τοῦ ἁγίου πνεύματος καὶ ἀναχωρούσης ἐξ αὐτῶν | τῆς τοῦ ἁγίου βαπτίσματος ἐνεργητικῆς χάριτος· καὶ ἕξεις τοῦ λοιποῦ ἀμεταστρεπτὶ πάντας ἑπομένους τῷ σῷ δόγματι καὶ θελήματι· πλὴν οὖν μέλλεις καὶ σὺ καταστῆσαι καὶ ἀποστεῖλαι διδασκάλους τε καὶ ἀποστόλους· καὶ δίδαξον ταῦτα καὶ αὐτοὺς οὕτως ποιεῖν. Ταῦτα καὶ τὰ τοιαῦτα πρὸς τὸν δείλαιον ὁ μάγος εἰπὼν καὶ διδάξας ἐκέλευσεν εὐθὺς αὐτὸν ἔφιππον μετὰ καὶ τῶν συνόντων αὐτῷ ὑπηρετῶν αὐτοῦ διελθεῖν πλησίον τῆς μεμαγευμένης λεκάνης. Καὶ οὕτως ποιήσας ὁ δείλαιος ἡρπάγη ὑπὸ τῶν δαιμόνων μετὰ καὶ τῶν σὺν αὐτῷ ὑπηρετῶν αὐτοῦ καὶ ταχὺ εὑρέθη ὄρθρου βαθέος ἐξημερώσας ἐν τῇ μεγάλῃ Ἀρμενίᾳ. Καὶ τούτων οὕτως γενομένων καὶ ἃ παρὰ τοῦ μάγου ἐδιδάχθη ποιήσας ἀπέλυσεν κήρυκας ὁ δείλαιος κατὰ πᾶσαν χώραν τῶν Ἀρμενίων, καὶ ἐκήρυξαν ὡς προείπομεν, καὶ συνήχθησαν ἅπαντες πρὸς αὐτόν. Καὶ ἀπώλεσεν πλανήσας πάντας τοὺς Ἀρμενίους, οὐ μόνον τοὺς ἰδιώτας, ἀλλὰ καὶ τοὺς ἱερεῖς καὶ ἄρχοντας· καὶ αὐτὸν τὸν βασιλέα αὐτῶν. Καὶ μετὰ τὸ ἀποπλανῆσαι πάντας καὶ φέρειν αὐτοὺς εἰς τὸ ἴδιον θέλημα καὶ εἰς τὴν διδαχὴν τοῦ διαβόλου, ὁ βασιλεὺς τῶν Ἀρμενίων διὰ γραφῆς αὐτοῦ δεδήλωκεν καὶ τῷ τῶν Ἰβήρων βασιλεῖ, συγγενεῖ ὄντι αὐτοῦ καὶ φίλῳ γνησιωτάτῳ, τοιαῦτα πρὸς αὐτὸν γράψας, ὅτι· Γινώσκειν σε βούλομαι, κύριέ μου, ἀδελφὲ ἰσόψυχε, ὥς τις μέγας διδάσκαλος καὶ ἀπόστολος ἐπιδεδήμηκεν σήμερον ἐν τῇ ἡμῶν χώρᾳ. Καὶ μεγάλως ἡ τούτου παρουσία ἐφώτισεν καὶ ὠφέλησεν ἡμᾶς· καὶ εἰ κελεύει τὸ κράτος σου, ἀποστελῶ σοι τὸν τοιοῦτον, καὶ μεγάλως παρ' αὐτοῦ ὠφεληθήσῃ· οὐ μόνον σύ, ἀλλὰ καὶ πᾶσα ἡ ὑπὸ σὲ χώρα. Τὴν τοιαύτην οὖν γραφὴν δεξάμενος ὁ βασιλεὺς ὁ Ἴβηρ καὶ ἀποδεξάμενος εὐθὺς γράφει πρὸς αὐτὸν τοῦ μετὰ πάσης περιχαρ⟨ε⟩ίας ἐλθεῖν πρὸς αὐτόν. Καὶ συνταξάμενος αὐτὸν ὁ Ἀρμένιος ἀπέστειλεν τὸν δείλαιον εἰς Ἰβηρίαν μετὰ τιμῆς ὅσης. Ἀποδεξάμενος δὲ τοῦτον ὁ Ἴβηρ ἐκέλευσεν ἀναπαυθῆναι αὐτὸν καὶ προσκαλεσάμενος τοὺς γνωστικωτέρους τῶν ἐπισκόπων αὐτοῦ ἀπήγγειλεν αὐτοῖς τὴν τοῦ δειλαίου Πέτρου παρουσίαν καὶ ὅτι· ἀκριβῶς καὶ φιλον⟨ε⟩ίκως τὰ περὶ αὐτοῦ ἅπαντα ἐξετάσατε. Οἱ δὲ τὰ περὶ αὐτοῦ ἐπιμελῶς καὶ ἀκριβῶς ἐξετάσαντες οὐχὶ φωστῆρα καὶ ἅγιον ὡς ὁ τῶν Ἀρμενίων βασιλεὺς δεδήλωκεν εὗρον, ἀλλὰ καὶ διάβολον καὶ πλάνον καὶ ἀπατεῶνα καὶ ψυχοφθόρον καὶ πρόδρομον τοῦ ἀντιχρίστου. Τί δὲ λοιπὸν τὸ ἐντεῦθεν; λιθοβολεῖται ὁ πλάνος προστάξει

на дясната си ръка с мирото, което донесох в стъклото и ти го дадох. И нека най-напред тези, които дойдат да ти се поклонят, да ти целуват от външната страна китката, на която е намазано мирото, и след като я целуват, отново поставяй помазаната си ръка отгоре над главите им и си прошепвай това заклинание, което ти предадох писмено, като да се помолиш върху тях и да ги благословиш. Щом направиш това така, ще се заселва в тях дяволът. След като светият дух се погнуси и излезе от тях въздействената благодат на светото кръщение и занапред всички ще следват неотклонно твоето учение и желание. Освен това ще имаш грижата да назначаваш и изпращаш учители и апостоли. И научи и тях да правят същото.“ Магът каза тези и други подобни [думи] на окаяника, поучи го и нареди той заедно със съпровождачите си да мине на кон покрай съда с магиите. И като направи това окаяникът, беше грабнат от дяволите заедно със своите прислужници и бързо се намери рано сутринта приобщен във велика Армения. И след това станало така и като направил това, което научил от мага, окаяникът пратил глашатаи по цялата арменска страна и свикал всички, както разказахме, и те се стекли при него. И чрез измамата си погубил всички армени, не само обикновените хора, но и йереите и предстоятелите, и самия цар. След като измамил всички и ги повел по собствената си воля към учението на дявола, арменският цар писмено съобщил на царя на Иверия, който му бил родственик и най-верен приятел, и му писал такова нещо: „Искам да научиш, мой господарю и съндейни ми брате, че в нашата страна днес пристигна велик учител и апостол и неговото присъствие силно ни просветли и подпомогна. И ако твое господство нареди, ще ти го пратя и ще бъдеш подпомогнат силно от него. Не само ти, но и цялата страна под твоята власт.“ Като получил такова писмо и го одобрил иверийският цар, силно възрадван му написва да отиде при него. И арменянинът наредил и изпратил с големи почести окаяника в Иверия. Иверецът, щом го приел, наредил да си почине, а повикал по-учените от епископите си и им съобщил за присъствието на окаяника Петър следното: „Точно и най-ревниво разучете всичко за него.“ А те, като разузнали грижливо и точно битието му, намерили, че той не е светило и светец, както бил съобщил арменският цар, а [че е] дявол и измамник, прелъстител и душегубец и предтеча на антихриста. Какво става по-нататък? Замерват измамника с ка-

τοῦ | τῶν Ἰβήρων βασιλέως καὶ τοσοῦτον, ὥστε γενέσθαι ἐπάνω αὐτοῦ βουνὸν οὐ μικρὸν ταῖς τῶν λίθων βολαῖς πρὸς τὸ εἶναι τοῖς πᾶσι καὶ ἀπὸ μακρόθεν γνώριμον καὶ ⟨κα⟩τάδηλον τὸν τόπον. Τοῦτο μαθὼν ὁ τῶν Ἀρμενίων βασιλεύς, ὁ καὶ πλανηθεὶς παρ' αὐτοῦ, ἐβουλήθη τοῦ διδασκάλου αὐτοῦ ἐκζητῆσαι τὸ αἷμα καὶ ἐκστρατεύσας κατὰ τοῦ Ἴβηρος τοῦ πολεμῆσαι αὐτόν. Καὶ τοῦτο μαθὼν ὁ τῶν Ἰβήρων βασιλεύς, ὅτι κατ' αὐτοῦ ἐκστρατεύει ὁ τῆς μεγάλης Ἀρμενίας βασιλεύς, μηνύει αὐτῷ ὁ Ἴβηρ ταῦτα, ὅτι· Μάτην ἐχθραίνεις καθ' ἡμῶν, ἀδελφέ, καὶ βούλει ἐκχυθῆναι αἵματα πολλῶν ἀνθρώπων ἀναιτίως διὰ τὸν αἱρετικὸν ἐκεῖνον καὶ πλάνον ἄνθρωπον καὶ ἀπατεῶνα, ὡς ἀπεφάνθη κατὰ πρόσωπον ἀπελεγχθεὶς παρὰ τῶν ὀρθοδόξων καὶ ἁγίων ἐπισκόπων τῆς τῶν Ἰβήρων χώρας. Γνωστὸν γάρ σοι ἔστω, ὅτι ἀκριβῶς τὰ περὶ αὐτοῦ ἐξετάσαντες οὐχ ὡς ἔγραψας αὐτὸν εὕρομεν, ἀλλὰ μάγον, πλάνον καὶ ἀπατεῶνα καὶ τοῦ διαβόλου μύστην. Καὶ ἀλλότριον τῆς τῶν Χριστιανῶν πίστεως, καθὼς καὶ ὁ ἀπόστολος λέγει, ὅτι· παρ' ὃ ἐγὼ εὐηγγελισάμην ὑμῖν, κἂν ἄγγελος ἐξ οὐρανοῦ ᾖ, ὁ ἕτερα ὑμᾶς διδάσκων (ὀφείλει), ἔστω ἀνάθεμα. Ἀλλ' ὅμως ἡμεῖς οἱ χριστιανοὶ οὕτως πιστεύομεν, ὅτι ὁ ἀποθανὼν ὑπὲρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ὑπὲρ ἀληθινοῦ καὶ ὀρθοδόξου δόγματος ἅγιός ἐστιν καὶ θαυματουργεῖ καὶ μυρίζει τὸ ἑαυτοῦ λείψανον καὶ ἰᾶται τὰς νόσους καὶ ἀπελαύνει δαίμονας καὶ μύρα βλύζει καὶ ἕτερα πλ⟨ε⟩ῖστα ἐνεργεῖ ἡ χάρις τοῦ παναγίου πνεύματος διὰ τῶν αὐτῆς δούλων, λέγω δὴ τῶν μαρτύρων, οἵτινες τὰ ἑαυτῶν σώματα οὐκ ἐφείσαντο διὰ τὴν αἰώνιον ζωήν. Καὶ ὡς οἶμαι, ὅτι οὔτε σὺ ἀγνοεῖς ταῦτα, ἀλλὰ καὶ καλῶς ἐπίστασαι· καὶ εἴπερ θέλεις, ἐλθὲ μετ' εἰρήνης καὶ ἵνα ἀναχώσωμεν καὶ εὕρωμεν ἀμφότεροι τὸ τούτου λείψανον· καὶ εἰ οὕτως εὕρωμεν ἔχοντα ὡς εἴρηται, τιμήσομεν αὐτὸ ἁρμοζόντως, καθὼς πρέπει ἁγίοις, καὶ τὰ παρ' αὐτοῦ δογματισθέντα καὶ διδαχθέντα πιστεύσομεν ἀληθῆ εἶναι, καὶ τοὺς αὐτὸν ἐνδιαβάλλοντας ἐπισκόπους ὡς συκοφάντας ἐνδίκως τιμωρήσομεν· εἰ δὲ τοὐναντίον εὑρεθῇ, τί μάτην ἐχθραίνεις ἡμᾶς; Καὶ ἐλθὲ διὰ τὸν κύριον εἰρηνικῶς καὶ φιλοθέως· εἰ δέ τι πολλάκις ἐκ δαιμονικῆς συνεργ(ε)ίας ὀχληθῇς καὶ βούλῃ τοῦ ἔχειν ἡμᾶς πολεμίους καὶ πρὸς ἀλλήλους γίνεσθαι σφαγὰς καὶ ἀπώλειαν ψυχῶν, τὸ αἷμα τὸ μέλλον χυθῆναι ἐξ ἀμφοτέρων τῶν μερῶν ἀναιτίως ἐκ τῶν χειρῶν σου ἀπαιτήσει κύριος ὁ θεὸς ἡμῶν, ὥσπερ τοῦ Ἄβελ ἐκ τοῦ Κάιν· ἡμᾶς δὲ πάντως ὡς ἀναιτίους φυλάξει· ἔρρωσο. Ἤρεσεν οὖν ἡ τοῦ Ἴβηρος συμβουλὴ τῷ βασιλεῖ τῶν Ἀρμενίων. Καὶ ἀμφότεροι ἑνωθέντες οἱ βασιλεῖς μετὰ καὶ τῶν αὐτῶν προυχόντων καὶ πλήθους ἀναριθμήτου καὶ ἀπελθόντες καὶ ἀναχώσαντες τὴν ἐπάνω τοῦ πλάνου καὶ δολ(ε)ίου ἐπικειμένην λιθοσωρίαν· ὢ τῶν τοῦ θεοῦ μεγάλων θαυμασίων·

мъни по нареждане на иверийския цар, и то толкова, че да се образува върху него немалка грамада от хвърлените камъни, за да я забелязват отдалече и да познават мястото. Като узнал това, арменският цар, който бил измамен от него, поискал от учителя си да разследва убийството, да потегли срещу ивериеца и да воюва с него. Щом узнал, че е потеглил срещу него царят на велика Армения, иверийският цар му известява следното: „Напразно враждуваш срещу нас, брате, и искаш да се пролее невинно кръвта на много хора поради оня еретик и измамен човек, и прелъстител, както стана явно пред очите на православните и на светите епископи на иверийската страна. Защото трябва да ти бъде известно, че като разучихме всичко за него, го намерихме не такъв, какъвто ти го описа, но че е маг, измамник, прелъстител и слуга на дявола. И чужд на християнската вяра, както и апостолът казва: „За което аз ви поучих, дори ангел от небето да ви учи друго, да бъде анатема.“[38] И все пак ние християните вярваме така, че умрелият за нашия господ Исус Христос и за истината и православната догма е светец и неговите останки са чудотворни, благоухаят и лекуват болести, прогонват дяволи и леят миро и много други неща върши благодатта на всесветия дух чрез своите служители, имам пред вид мъчениците, които не са пощадявали собствените си тела заради вечния живот. И както ми се струва, това не само не ти е известно, но и добре ти е известно и ако желаеш, ела с мир, за да разровим и да намерим двамата неговите останки. И ако ги намерим така, както се каза, ще ги почетем съответно, както подобава за светците, и ще повярваме, че което е проповядвал и поучавал, е истина, и ще накажем епископите, които го клеветят като лъжливи клеветници. Но ако се открие противното, защо напразно враждуваш с нас? Ела заради господа в мир и обич. А ако, притискан често от дяволската воля, желаеш да ни имаш за врагове и да си причиним едни на други кръвопролития и погубване на душите, да се пролее занапред кръвта от двете страни безпричинно, ще потърси (сметка) от ръцете ти нашият господ бог, както за Авел от Каин: а нас ще пази всякак като невинни. Бъди здрав.“ Съветът на ивериеца се понравил на арменския цар. И двамата царе заедно със своите първенци и с безчислено множество отишли и разровили натрупаната върху измамника и хитреца каменна грамада. О, велики чудеса на ὢ τῆς ἀπείρου αὐτοῦ μακροθυμίας καὶ ἀνεξιχνιάστου ἀγαθότητος· εὗρον τὸ τούτου πανάθλιον καὶ παμμίαρον σῶμα μεταποιηθὲν παραδόξως εἰς εἶδος λύκου· καὶ τελείως αὐτοῦ τῶν λίθων ἀνακαλυφθέντων ἀναπηδήσας ὁ δείλαιος ὡς λύκος πάντων ὁρώντων φυγὰς ᾤχετο ἐν τοῖς ὄρεσιν. Ὅπερ γεγονὸς ἰδόντες παράδοξον καὶ φοβερὸν μυστήριον οἱ Ἀρμένιοι ἐστράφησαν μετ' αἰσχύνης μεγάλης εἰς τὴν ἰδίαν χώραν αὐτῶν μετανοοῦντες, ἐφ' οἷς ἐπλανήθησαν. Εἰ καὶ τελείως αὐτοῖς μετανοῆσαι οὐκ εἴασεν ὁ τοῦ δειλαίου τούτου μαθητής, Σέργιος ὁ πλάνος. Τοῦ λοιποῦ δὲ ἐπεκλήθη ὁ πλάνος οὗτος ἀπὸ τῆς ὥρας ἐκείνης οὐ μόνον δείλαιος, ἀλλὰ καὶ Λυκόπετρος. Καὶ οὗτός ἐστιν Πέτρος ὁ τῶν Φουνδαγιαγιτῶν ἀπόστολος καὶ αὕτη ἐστίν, ἣν λέγουσιν ἔχειν ἀποκάλυψιν τοῦ ἁγίου Πέτρου τοῦ ἀποστόλου | ἡ τοῦ μάγου σατανικὴ ἐπῳδή, ἣν ὁ μάγος δέδωκε τῷ Λυκοπέτρῳ. Καὶ ἐὰν φθάσωσιν οἱ πλάνοι ταύτην ἐπαναγνῶναι εἰς ἄνθρωπον, οἰκεῖ εἰς αὐτὸν ὁ διάβολος καὶ καταντᾷ εἰς τελείαν ἀπώλειαν. Οὐδὲ γὰρ δύναται ἔκποτε ὑποστρέψαι ὡς αὐτοὶ λέγουσιν οὐδὲ ἐμβατεύεται ἔτι λογισμὸς θεογνωσίας εἰς τὴν ἐκείνου ψυχήν, εἰ ὅλος ὁ κόσμος κατηχεῖ καὶ διδάσκει αὐτόν. Πάντα μὲν ὑποκρίνεται δολίως διὰ τὸν φόβον τῶν ἀνθρώπων· εἰς ἀλήθειαν δὲ μεταποιῆσαι ποιεῖ οὐδέν.

---

[38] Гал. 1, 8.

Εἴπωμεν δὲ καὶ περὶ Σεργίου τοῦ μαθητοῦ τοῦ δειλαίου Λυκοπέτρου ἐκ τῶν πολλῶν ὀλίγα τινά. Οὗτος τοίνυν ὁ παμμίαρος καὶ βέβηλος Σέργιος, ὡς προείρηκεν, κατελείφθη, ἀντὶ τοῦ δειλαίου ἐκείνου Πέτρου ἐν τῇ Ἀρμενίᾳ διδάσκαλος, διαπορουμένων δὲ τῶν Ἀρμενίων, ἰδόντων τὸ παμμίαρον σῶμα τοῦ πλάνου ἐκείνου μεταποιηθὲν εἰς εἶδος λύκου. Καὶ ἐπὶ τῇ γενομένῃ πλάνῃ ἐπ' αὐτοῖς ἐθαυμάζοντο καὶ διελογίζοντο τὸ τί ἄρα καὶ ὀφείλωσιν ποιεῖν. Ὁ δὲ τοῦ παρανόμου παρανομώτερος μαθητὴς Σέργιος χαριεντιζόμενος καὶ παραμυθούμενος αὐτοὺς ἔλεγε καὶ διεκώλυεν αὐτοὺς προσφέρων αὐτοῖς τεκμήρια σατανικὰ καὶ ῥήματα, ὅτι· εἰ μὴ ἦν ὁ τοιοῦτος ἅγιος καὶ μέγας ἀπόστολος, οὐκ ἂν ἀνέστη ζῶν ἐκ τῶν νεκρῶν, καὶ ἄλλα πολλὰ τοιαῦτα. Ἀντιλεγόντων δὲ αὐτῶν πρὸς αὐτόν, ὅτι· καὶ πῶς ὡς λύκου εἶδος ἐφάνη ἡμῖν; εἶπεν ὁ Σέργιος, ὅτι· μετὰ τὸ ἀποθανεῖν ὁ ἄνθρωπος (ἐὰν) ἐν ἁγίοις ὢν ὡς κελεύει καὶ θέλει φαίνεται τοῖς ἀνθρώποις· πλὴν διὰ τὴν ἀπιστίαν τῶν Ἰβήρων ἐφάνη ὡς λύκος· ὅμως μετὰ τριετῆ χρόνον μέλλει ἐλθεῖν καὶ ἐμφανισθῆναι ὑμῖν καὶ τὰ καθ' ὑμᾶς πάντα καλῶς διδάξει, καθὼς ἐμοὶ ἀπεκάλυψεν ἕνεκεν τούτου· καὶ περὶ αὐτοῦ ὑμεῖς μὴ φροντίζετε, ἀλλὰ καθὼς ἐδίδαξεν ὑμᾶς, οὕτως καὶ φυλάσσετε καὶ μήτε διστάζετε μήτε δηλανδρίζετε· ὁ θεὸς γὰρ ἀπεκάλυψεν καὶ ἀπέστειλεν αὐτὸν πρὸς ὑμᾶς, μέγα⟨ν⟩ διδάσκαλον καὶ εἰ παραβλέψητέ τι ἀπὸ τῆς διδαχῆς αὐτοῦ, καὶ ὁ θεὸς μέλλει ὀργισθῆναι καθ' ὑμῶν καὶ ἐξολοθρεύσει ὑμᾶς. Ταῦτα τοίνυν καὶ τὰ τοι-

бога! О, безкрайно негово великодушие и непостижима доброта! Намерили неговото пренещастно и омърсено тяло неочаквано преобърнато във вълк. И най-после, като разчистили камъните върху него, изскочил окаяникът като вълк пред очите на всички и избягал в планината. Като видели станалото неочаквано и страшно тайнство, арменците се завърнали крайно засрамени в собствената си страна, разкаяни за това, че били измамени. Ако и накрая те да се разкаяли, не отстъпил неговият ученик измамникът Сергий. От този момент занапред оня измамник бил наречен не само окаяник, но и Ликопетър. И този именно е апостолът на фундагиагитите и това е сатанинското заклинание на мага, за което казват, че съдържало откровението на апостол Петър, което магът предал на Ликопетър. И ако успеят измамниците да го прочетат пред човек, в него се поселва и пребивава до крайната му гибел дяволът. Защото, както те казват, не може вече да се върне и не влиза вече в неговата душа разумът на богопознанието, ако и целият свят да го поучава и учи. Във всичко лицемери измамно поради страх от хората, а нищо не прави да се обърне към истината.

Нека кажем и за Сергий, ученика на окаяника Ликопетър, нещичко от многото. Този прочее отвратителен и безчестен Сергий, както вече казахме, бил оставен вместо оня окаян Петър за учител в Армения, тъй като арменците били в нужда, след като видели отвратителното тяло на оня измамник, превърнат в образа на вълк. И след станалата измама спрямо тях се чудили и обмисляли какво трябва да направят. А Сергий, още по-непристоен от непристойния, като се пошегувал и ги предумвал, им казвал и ги възпирал, като им привел дяволското доказателство и слово: „Ако не е бил този свети и велик апостол, не би възкръснал от мъртвите" и много други подобни. А те му възразявали: „Но как се яви пред нас във вид на вълк?" Сергий отговорил: „Човек, който е светец, след смъртта си се явява пред хората, както реши и иска. Освен това той се яви като вълк поради неверието на неверийците. Все пак след три години ще дойде и ще се яви пред вас и ще ви поучава добре за всичко, което се отнася до вас, както ми разкри това. И за него вие не мислете, но както ви е учил, така и правете, и не се колебайте, нито се издавайте. Защото бог го откри и го изпрати при вас като велик учител и ако пренебрегнете нещо от неговото учение, и бог ще се разгневи против вас и ще ви погуби." Прочее тези и подобни са αὐτὰ ῥήματα τοῦ παρανομωτάτου καὶ δολίου Σεργίου πρὸς τοὺς πεπλανημένους Ἀρμενίους. Τῆς τριετίας οὖν διελθούσης καὶ τοῦ παμμιάρου ἐκείνου καὶ δειλαίου διδασκάλου αὐτῶν τοῦ Λυκοπέτρου μὴ φανέντος τί γίνεται; Κρατήσαντες γὰρ τὸν Σέργιον καὶ ἐνδύσαντες αὐτὸν γοῦναν ψηφιαρέαν βάλλουσιν αὐτὸν εἰς λάκκον ζοφώδη, ἕως οὗ τὴν ψυχὴν αὐτοῦ κἀκεῖσε κακὴν κακῶς ἀποῤῥήξας τῷ διαβόλῳ καὶ πατρὶ αὐτοῦ ταύτην παρέδωκεν, ὡς ἀριστεὺς τῶν θελημάτων καὶ ποιημάτων αὐτοῦ. Περὶ δὲ τὴν νηστείαν τοῦ Ἀρτζιβερίου, ἥνπερ νηστεύουν οἱ Ἀρμένιοι, οὕτως παρέλαβον αὐτήν. Οὗτος γὰρ ὁ παμβέβηλος καὶ παμμίαρος Σέργιος, ὡς προέφημεν, καταλειφθεὶς ἐν τῇ μεγάλῃ Ἀρμενίᾳ διδάσκαλος κυνάριον μικρὸν ἐσχηκὼς ἐκάλει τοῦτο ἀρτζηβούρτζιον καὶ ὅτε ἔμελλεν πορεύεσθαι ἐπί τινα κώμην ἢ πόλιν, ποιῶν τὴν μαγικὴν αὐτοῦ ἐπιστήμην καὶ τέχνην προαπέστε⟨ι⟩λεν τὸ αὐτὸ κυνάριον. Καὶ τοῦτο ἀπερχόμενον ἐν τῇ κώμῃ ἢ τῇ πόλει, εἰς ἣν ἀπεστάλη(ν), εἰσήρχετο ἐκεῖσε καὶ εἰς ἑνὸς ἑκάστου θύραν τῆς αὐτῶν οἰκ(ε)ίας περιτρέχων ἐπάφιζεν ὡσανεὶ δηλοποιῶν τὴν τοῦ διδασκάλου αὐτῶν τοῦ Σεργίου παρουσίαν. Ὅπερ σημεῖον λαβόντες οὕτως καὶ ἐξ ἔθους ἔχοντες οἱ πεπλανημένοι ἐξήρχοντο εἰς ἀπάντησιν αὐτοῦ καὶ προσκύνησιν καὶ ἀσπασμὸν καὶ εὐχὴν αὐτοῦ τοῦ δειλαίου καὶ ἐδιδάσκοντο ὑπ᾽ αὐτοῦ. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν συνέβη ἀπερχόμενον τὸ κυνάριον ἐν κώμῃ ἀποσταλὲν παρὰ τοῦ αὐτοῦ Σεργίου, κατὰ τὸ παρακολουθῆσαν ἔθος αὐτοῖς καὶ συναντᾷ λαγωὸν κατὰ τὴν ὁδὸν καὶ ἤρξατο καταδιώκειν αὐτόν. Διωκομένου δὲ τοῦ λαγωοῦ παρὰ τοῦ κυναρίου συναντᾷ αὐτοῖς λύκος καὶ δράξας τὸ κυνάριον ἔφαγεν αὐτό. Γεωργὸς δέ τις ἀροτριῶν ἐθεώρ⟨ε⟩ι αὐτό. Τοῦ δὲ Σεργίου καταλαβόντος τὴν κώμην καὶ μηδενὸς συναντήσαντος αὐτῷ ἐκ τῶν τοῦ λαοῦ τῆς κώμης ἐκείνης, ᾗ ἀπεστάλη τὸ κυνάριον κατὰ τὸ ἔθος, ὃ παρέλαβον οὗτοι· ἤρξατο οὖν μέμφεσθαι καὶ ἐπιτιμᾶν αὐτούς· οἱ δὲ ἀντέλεγον, ὅτι· οὐδεὶς ἡμῖν τὴν σὴν παρουσίαν ἐμήνυσεν. Καὶ ὁ Σέργιος· καὶ ποῦ ἐστιν ὁ ἀρτζηβούρτζιος; Οἱ δὲ εἶπον μὴ ἐλθεῖν αὐτὸν ἐνταῦθα ἢ ἰδεῖν αὐτὸν τὸ σύνολον. Ἀκούσας δὲ ταῦτα ὁ Σέργιος λελύπηται σφόδρα. Ζήτησις καὶ θόρυβος γέγονεν ἐπὶ πᾶσιν περὶ τοῦ κυναρίου οὐκ ὀλίγη· καὶ πολλὰ ἀναζητήσαντες καὶ μὴ εὑρόντες αὐτό(ν), ἀθυμία πολλὴ καὶ φόβος καὶ λύπη ἔπεσεν εἰς ἅπαντας, ἕως οὗ ἦλθεν ὁ προῤῥηθεὶς γεωργὸς ἐκεῖνος ὁ ἀροτριῶν ἑσπέρας καὶ διηγήσατο αὐτοῖς ἅπαντα, καὶ πῶς ἐβρώθη ὁ ἀρτζηβούρτζιος ὑπὸ τοῦ λύκου. |

Παῦλον δὲ ἔχουσιν τὸν Σαμοσατέα, ὃν καὶ αὐτὸν προειρήκαμεν, Θωμᾶν δὲ τὸν τοῦ Μάνεντος μαθητήν. Εἴπωμεν ὑμῖν καὶ τὸν τοῦ Μάνεντος βίον, μερικῶς ἐκ τῶν πολλῶν αὐτοῦ κακῶν ὀλίγα τινά, ὡς ἐγγράφως εἰς τὰ περὶ αἱρέσεως εὕρομεν στηλιτευτικὰ τοῦ ἁγίου Κυρίλλου Ἱεροσολύμων, ἐπεὶ καὶ τὸν Μάνην τὸν τῶν Μανιχαίων διδάσκαλον μέγαν αὐτοὶ διδάσκαλον καὶ ἀπόστολον ἔχουσιν. Οὐκ ἔστιν ἀπὸ Χριστιανῶν ὁ Μάνης, οὔτε αὐτὸς οὔτε οἱ πρὸ αὐτοῦ διδάσκαλοι, ἀλλ᾽ ἕτερός τις ὀνό-

думата на най-непристойния и измамен Сергий към мамените арменци. Но като изминали три години и не се появил онзи отвратителен и окаян техен учител Ликопетър, какво се случва? Хващат Сергий и като му навличат чувал, хвърлят го в тъмна яма и там зле предал злият злата си душа на своя баща дявола като най-добър от неговите замисли и творения. А за поста на Арджиберий, който спазват арменците, научих следното: Именно този всенечестивец и отвратителен Сергий, както вече казахме, оставен за учител във велика Армения, имал малко пале и го нарекъл арджибурджи. Когато предстояло да пътува до някое село или град, извършвал магьосническата си ловкост и умение и пращал напред същото пале. И то, като пристигало в селото или в града, в който било изпращано, влизало там, притичвало до портата на всеки техен дом и лаело сякаш да предизвести за присъствието на учителя им Сергий. Като чуели така този знак, мамените по навик излизали да го посрещнат, да го почетат и поздравят и да се помолят на окаяника и бивали поучавани от него. И така един ден се случило да се запъти палето за село, изпратено от същия Сергий по приетия начин; то срещнало по пътя заек и се спуснало да го преследва. При преследването на заека от палето ги среща вълк, който разкъсал палето и го изял. Някакъв земеделец, като си орал, наблюдавал това. Когато Сергий пристигнал в селото и не го посрещнал никой от народа на онова село, където било пратено палето по обичая, който онези били приели, започнал да ги укорява и мъмри. А те му възразили: „Никой не ни е предизвестил за твоето пристигане.“ И Сергий: „Къде е арджибурджи?“ А те му отговорили, че не е идвало там и изобщо не са го виждали. След тези думи Сергий се натъжил силно. Претърсили навред и вдигнали немалък шум за палето. А след като го търсили дълго и не го намерили, голямо отчаяние, страх и скръб обхванали всички, докато дошъл там споменатият онзи земеделец, който орал вечерта, и им разказал всичко и как аржибурджи бил изяден от вълка.

Техен е и Павел от Самосата, когото споменахме, и Тома, ученикът на Манес. Нека ви разкажа и за живота на Манес една малка част от многото му злини, както намерихме записано за ереста от свети Кирил Ерусалимски, тъй като те имат за учител и апостол и Манес, великия учител на манихеите. Не е християнин [този] Манес, нито той, нито учителите преди него, но друг няματι Σκυθιανός· Σαρακηνὸς τῷ γένει ἦν ἐν Αἰγύπτῳ, οὐδὲν κοινὸν οὔτε πρὸς Χριστιανισμὸν οὔτε πρὸς Ἰουδαισμὸν κεκτημένος. Οὗτος τὴν Ἀλεξάνδρειαν οἰκήσας καὶ τὸν Ἀριστοτελικὸν μιμησάμενος βίον τέσσαρας βίβλους συνέταξε· μίαν καλουμένην εὐαγγέλιον, οὐ Χριστοῦ προστάξεις περιέχουσαν, ἀλλ' ἁπλῶς μόνην τὴν προσηγορίαν· καὶ μίαν ἄλλην, κεφαλαίων· καὶ μίαν τρίτην, μυστηρίων· καὶ τετάρτην καλουμένην θησαυρόν. Ἐκ τούτων τῶν ἀθέσμων βιβλίων ὡς οἶμαι ἔχουσι καὶ οὗτοι οἱ ἄθεοι, ἐπεί, ὡς εἰς τὰ περὶ αἱρέσεως ἀναγνόντες εὕρομεν, τὴν ψευδοταπείνωσιν ἣν ἔχουσι καὶ τὸ δοκεῖν νηστεύειν καὶ τὸ ὑποκρίνεσθαι τὴν μοναχικὴν κατάστασιν καὶ τὴν ἱερωσύνην καὶ τὸ μὴ σφάζειν ἐκ τοῦ Μάνη εἰσίν. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. Μαθητὴς δὲ ἦν τῷ Σκυθιανῷ, ὀνόματι Τερέβινθος. Βουλευσάμενον οὖν τὸν Σκυθιανὸν ἐλθεῖν εἰς τὴν Ἰουδαίαν καὶ λυμήνασθαι τὴν χώραν νόσῳ θανατώσας αὐτὸν ὁ θεὸς διεσκέδασε τὴν ἄτοπον αὐτοῦ συμβουλήν. Ὁ δὲ τῆς κακίας μαθητὴς Τερέβινθος, κληρονόμος καταληφθεὶς τοῦ χρυσίου καὶ τῶν βιβλίων τῆς αἱρέσεως, παρεγένετο εἰς τὴν Ἰουδαίαν κἀκεῖ διαγνωσθεὶς καὶ ἐκδιωχθεὶς ἔκρινεν εἰς τὴν Περσίδα μετελθεῖν. Ἵνα δὲ ἐκ τῆς προσηγορίας μὴ ἐπιγνωσθῇ κἀκεῖ διωχθῇ, Βοδάνον ἑαυτὸν ὀνόμασεν. Ὅμως κἀκεῖ διαγνωσθεὶς ἐδιώχθη καὶ προσφεύγει γυναικί τινι χήρᾳ. Εἶτα ἐπὶ δώματος ἀνελθὼν καὶ προσκαλεσάμενος τοὺς ἀερίους δαίμονας θεόπληκτος γενόμενος καταβληθεὶς ἀπὸ τοῦ δώματος ἐξέψυξε. Καὶ οὕτως ἔκοψεν ὁ θεὸς τὸ θηρίον τὸ δεύτερον. Κατελήφθησαν δὲ τὰ ὑπομνηστικὰ τῆς ἀσεβείας βιβλία· καὶ κληρονόμος ἦν ἡ χήρα τῶν βιβλίων καὶ τῶν χρημάτων. Μὴ ἔχουσα δὲ τέκνον ἢ συγγενῆ ἔκρινεν | ἀπὸ τῶν χρημάτων ἀγοράσαι παῖδα, ὃ καὶ ἐποίησεν ἀγοράσασα, οὗ τὸ ὄνομα Κούρβικος. Καὶ τοῦτον εἰς υἱοθεσίαν λαβοῦσα ἐπαίδευσε τοῖς μαθήμασιν ὡς υἱόν. Ὤξυνεν ἡ ἀθλία κατὰ τῆς ἀνθρωπότητος κακὸν βέλος, καὶ Κούρβικος, ὁ κακὸς δοῦλος, εἰς μέσον φιλοσοφεῖν ἤρξατο. Καὶ τελευτησάσης τῆς χήρας ἐκληρονόμησε καὶ τὰ χρήματα καὶ τὰ βιβλία. Εἶτα ἵνα μὴ τὸ τῆς δουλείας ὄνομα ἐπονείδιστον ᾖ, ἀντὶ Κουρβίκου Μάνην ἑαυτὸν ἐπωνόμασεν. Ἐτόλμησεν ἑαυτὸν ὁ ἀσεβὴς ἐπονομάζειν καὶ παράκλητον. Εἶτα τί; Ἐνόσει τοῦ βασιλέως Περσῶν ὁ υἱός, καὶ ἰατρῶν δαψιλείᾳ παρῆν καὶ ὁ Μάνης· ὑπέσχετο διὰ προσευχῆς ἀναστῆσαι αὐτόν· ἀπέστησαν οἱ ἰατροί· συναπέστη καὶ ἡ τοῦ παιδὸς | ζωή· καὶ δέσμιος ἦν ὁ μάγος εἰς τὴν φυλακήν, ὡς διὰ τὸ κωλυθῆναι τοὺς ἰατροὺς θανατωθέντος τοῦ παιδός· φεύγει ὁ Μάνης ἐκ τῆς φυλακῆς· ἀποθνήσκουσιν ἀντ' αὐτοῦ οἱ φύλακες· ἔρχεται φυγὰς εἰς Μεσοποταμίαν ὁ Μάνης· κἀκεῖσε συναντᾷ Ἀρχελάῳ τῷ ὁσιωτάτῳ ἐπισκόπῳ καὶ ἐλέγχεται παρ' αὐτοῦ καὶ διώκεται καὶ φεύγων ἀπέρχεται εἰς πόλιν τινὰ πενιχράν· ἀλλ' ὁ καλὸς ποιμὴν Ἀρχέλαος, τῶν τοῦ Χριστοῦ προβάτων προνοῶν, καταδραμὼν τὴν τοῦ λύκου ἠπείγετο ζήτησιν ποιήσασθαι·

кой с прозвище Скитиан. Бил по род сарацин от Египет и нямал нищо общо нито с християнството, нито с юдейството. Той се заселил в Александрия и като Аристотел съчинил четири книги: една, наречена евангелие, която съдържала не поученията на Христос, но просто само заглавието; и една друга за главното, и една трета за тайнствата, и четвърта, която се наричала съкровище. От тези безбожни книги, както мисля, имат и безбожниците, понеже, както разкрихме в книгите за ереста, спазват по Манес своето псевдосмирение, привидния пост, лицемерния монашески живот, свещенослужението си и [заповедта] да не убиват. Но да се върнем на темата. Скитиан имал ученик на име Теревинт. Посъветван, Скитиан отишъл в Юдея и развратил страната; бог го поразил с болест и му разгонил безбожния съвет. А ученикът на злината Теревинт, оставен за наследник на богатството и книгите на ереста, отишъл в Юдея, но там разпознат и изгонен, намислил да се пресели в Персия. Но за да не го познаят по прякора му и да не го преследват там, той се преименувал Бодан. Все пак и там бил разпознат и се приютява при някаква вдовица. После се върнал у дома си, призовал небесните дяволи и станал богохулник, но прогонен от дома си, издъхнал. И така бог погубил втория звяр. Запазени са възпоменателните книги на ереста. Наследница на книгите и на парите била вдовицата. Като нямала дете или роднина, тя намислила да си купи с парите дете, това и направила — купила [дете], чието име било Курвик. Осиновила го и го възпитала в науките като [свой] син. Нещастницата изковала зла стрела срещу човечеството и Курвик, злият роб, започнал публично да мъдрува. Когато умряла вдовицата, той наследил и парите, и книгите. После, за да не бъде срамно робското му име, се преименувал от Курвик на Манес. Осмелил се нечестивецът да се нарече и утешител. А после какво? Заболял синът на персийския цар и между лекарите се явил и Манес. Той обещал да го лекува чрез молитва. Лекарите се отдръпнали и животът на детето угаснал. Окован, магът бил хвърлен в затвора, понеже поради отстраняването на лекарите детето умряло. Манес избягва от затвора. Вместо него загиват пазачите му. Манес идва като беглец в Месопотамия. Там среща Архелай, пресветия епископ, бива обвинен от него и преследван, избягва в някакъв беден град. Но добрият пастир Архелай, грижещ се за Христовото стадо, се вдигнал и устроил хайка срещу вълка. Ма-

Μάνης δὲ ἰδὼν ἐξαίφνης τὸν ἀντίδικον φυγὰς πάλιν ᾤχετο· ἔφυγε δὲ τὴν τελευταίαν φυγήν· οἱ γὰρ τοῦ βασιλέως Περσῶν ὑπασπισταὶ πανταχοῦ διερευνώμενοι καταλαμβάνουσι τὸν φυγάδα· συλλαμβάνεται παρ' αὐτῶν ὁ Μάνης· ἀπάγεται πρὸς τὸν βασιλέα· καὶ κελεύει ὁ βασιλεὺς ζῶντα τὸν Μάνην ἐκδαρῆναι καὶ τὸ μὲν μιαρὸν αὐτοῦ σῶμα εἰς θηρίων καὶ ὀρνέων βορὰν ῥιφῆναι· τὸ δὲ δέρμα αὐτοῦ γεμίσαι χόρτου καὶ πρὸ τῶν πυλῶν κρεμάσαι· ἃ καὶ διὰ πολλοῦ τοῦ τάχους ἐποίησαν. Καὶ γέγονε Θεοῦ συνεργείᾳ καὶ χάριτι ὁ τῶν ἀθέων Φουνδαγιαγιτῶν καὶ τοῦ πατρὸς αὐτῶν διαβόλου μέγας ἀπόστολος καὶ διδάσκαλος καὶ μάρτυς, οὐ τοῦ Θεοῦ, ἀλλ' αὐτοῦ τοῦ διαβόλου. Γράφει δὲ εἰς τὰ στηλιτευτικὰ τῶν αἱρετικῶν ὁ ἅγιος Κύριλλος Ἱεροσολύμων καὶ τοῦτο, ὅτι· προσέχετε, ἀδελφοί, τοῦ μὴ ἀναγινώσκειν τὸ κατὰ Θωμᾶν εὐαγγέλιον, ἐπεὶ οὐκ ἔστι τοῦ ἀποστόλου Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, ἀλλ' ἑτέρου Θωμᾶ αἱρετικοῦ, τοῦ Μάνεντος μαθητοῦ.

Τὰ ῥηθέντα πάντα, ἀδελφοί, παρὰ τῶν ἀσεβῶν ἐκείνων ἀκούσας ἐγὼ ὁ ἄθλιος καὶ οὐ μόνον ταῦτα, ἀλλὰ καὶ ἕτερα πλεῖστα, ἅτινα διὰ τὸ εἶναι βλασφημίας ῥήματα ἑκουσίως παρέδραμον | καὶ ἐν ἐμαυτῷ γενόμενος καὶ ἐννοήσας τὸ εἰς οἵαν πλάνην ἐμπίπτουσιν οἱ ἐλεεινοὶ ἄνθρωποι χωρὶς βίας, χωρὶς ἀνάγκης, ἐθελογνωμόνως καὶ ἑκουσίως, ἵνα ἀρνῶνται τὸν ποιήσαντα καὶ πλάσαντα καὶ ἐκ τοῦ μὴ ὄντος παραγαγόντα Θεὸν καὶ προσκυνῶσι καὶ πιστεύωσιν εἰς τὸν ἀπατεῶνα καὶ ψυχοφθόρον διάβολον, ὃν καὶ οἱ Ἕλληνες ἐβδελύττοντο καὶ κατηρῶντο, καὶ τότε ὡς ἀπατεῶνα ἐκεῖνοι εἶπον, ὅτι πολλοὶ μὲν πλανῶνται ἐν ἀγνοίᾳ, οἱ πλείονες δὲ ἐν γνώσει διὰ τὸν μαμωνᾶ. Καὶ γὰρ ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν εἶπεν, ὅτι· οὐδεὶς δύναται Θεῷ δουλεύειν καὶ μαμωνᾷ· καὶ ὅτι· δυσκόλως οἱ τὰ χρήματα ἔχοντες εἰσελεύσονται εἰς τὴν βασιλείαν τοῦ Θεοῦ· καὶ ὅτι· μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι· ὅ ἐστιν· οἱ διὰ τὸν Θεὸν πτωχεύσαντες καὶ οἱ εὐχαρίστως αὐτὴν τὴν πτωχ⟨ε⟩ίαν ὑπομένοντες, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· καὶ ὅτι· εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς· καὶ γενοῦ σὺ ὁ εὔπορος πτωχὸς διὰ τὴν μέλλουσαν ζωὴν καὶ δόξαν· καὶ ἆρον τὸν σταυρόν σου· τουτέστιν, τὸν διὰ Θεὸν καθ' ὥραν θάνατον, καὶ ἀκολούθει μοι. Ταῦτα ἐννοήσας καὶ τὸ τοῦ αὐτοῦ Χριστοῦ καὶ Θεοῦ μου καὶ ἕτερον ῥῆμα ἐπιμνησθεὶς τό· οὐκ ἔστιν | ὅλος ὁ κόσμος ἀντάξιος οὐδὲ μιᾶς ψυχῆς, ἤλγησα τὴν καρδίαν καὶ τὰ ἐμὰ ἀφεὶς κακὰ τοῖς ὀφθαλμοῖς ὑπὲρ τῶν πλανωμένων καὶ ἀπολλυμένων ψυχῶν οὐ μετρίως ἐδάκρυσα καὶ ἐπιμελῶς ζητήσας εὗρον βιβλίον, ἐν ᾧ φιλοπονήσας ὁ μακάριος Ἰωάννης ὁ Δαμασκηνὸς καὶ ἅγιος συνεγράψατο καὶ ἐστηλίτευσε

нес, като видял неочаквано врага си, отново офейкал като беглец. Той избягал за последен път, защото телохранителите на персийския цар претърсили навсякъде и заловили беглеца. Хващат Манес и го отвеждат при царя. И царят заповядал да одерат жив Манес и да хвърлят нечистото му тяло за храна на зверовете и птиците, а кожата му да напълнят със сено и да я закачат на портите. Което и направили много бързо. И с помощта на бога и с милостта на безбожните фундагиагити и на техния отец дявола той станал велик апостол и учител и мъченик не на бога, а на самия дявол. А свети Кирил Ерусалимски написва в изобличителните книги срещу еретиците и това: „Внимавайте, братя, да не четете евангелието на Тома, защото то не е от апостола на Христос, истинния наш бог, но е от друг Тома, еретика, ученика на Манес.“

Аз нещастният, братя, чух всичко казано от онези нечестивци и не само това, но и много други неща, които нарочно отминавам, понеже са богохулства. Замислих се и разбрах на каква измама попадат окаяните хора без насилие и без принуда, по свое желание и доброволно, за да отхвърлят бога, който ги е направил и създал и ги е извадил от небитието и за да почитат и вярват дявола прелъстител и душегубец, когото и елините отхвърляха и проклинаха. И още тогава те казаха, че е прелъстител, понеже много хора биват измамвани от дявола поради незнанието си, но повечето — макар че знаят. Наистина Христос, нашият бог, е казал: „Никой не може да служи на бога и на мамона“[39], и: „Мъчно ще влязат в царството божие тия, които имат богатства“[40], и: „Блажени са нищите духом“[41], което значи: които заради бога са просили и които са понесли спокойно самата бедност, защото е тяхно царството небесно; и: „Ако искаш да бъдеш съвършен, продай си имота и го дай на сиромасите“[42]. И стани добрият сиромах заради бъдещия живот и спасение. И „понеси кръста си“, т.е. смъртта заради бога, навреме „и ме последвай“.[43] Като си мислех и си припомних и това, и друго слово на самия Христос, бога мой: „Целият свят не струва дори колкото една душа“[44], почувствувах болка в сърцето си и като пренебрегнах моите болки, очите ми се изпълниха с не помалко сълзи заради мамените и погубваните души. И като потърсих внимателно, намерих една книга, в която блаженият свети Йоан Дамаскин се е потрудил и описал, и разоблиπάσας τὰς αἱρέσεις, ἵνα μὴ ἐν ἀγνοίᾳ πλανῶνται οἱ ἄνθρωποι, καὶ διῆλθον τὸ ῥηθὲν ὅλον βιβλίον, εἴ πως διαγνῶ, ὁποία ἐστὶν ἡ κακὴ αὕτη αἵρεσις καὶ ἀσέβεια καὶ πῶς ὀνομάζεται, ἐπεὶ οἱ τοῦ Ὀψικίου λαοὶ καλοῦσι τοὺς τὴν κακίστην ταύτην ἀσέβειαν μετερχομένους Φουνδαγιαγίτας, εἰς δὲ τὸν Κιβυρραιώτην, καὶ εἰς τὴν Δύσιν καὶ εἰς ἑτέρους τόπους καλοῦσιν αὐτοὺς Βογομίλους· καὶ διὰ τὸ δισσὸν ἡμῖν ἐστιν ὑπόληψις, ὅτι οὐκ ἐστὶν ἐξ αὐτῶν τῶν ὀνομάτων κύριον τῆς αἱρέσεως ὄνομα. Καὶ διὰ τοῦτο ἀνέγνωμεν πάσας τὰς τῶν αἱρέσεων στήλας, εἴπως διαγνῶμεν, ποία ἐστὶν ἡ κακὴ αὕτη αἵρεσις καὶ πῶς ὀνομάζεται· καὶ οὐκ ἠδυνήθημεν εὑρεῖν. Πᾶσαι γὰρ αἱ αἱρέσεις ἔχουσιν αἱρεσιάρχας· ἡ μὲν Πέτρον τὸν δείλαιον, τὸν καὶ Λυκόπετρον· ἡ δὲ Παῦλον τὸν Σαμοσατέα· ἄλλη Μοντανόν, ἑτέρα Μάνεντα· καὶ ἁπλῶς εἰπεῖν πᾶσαι ἔχουσιν ὡς ἔφημεν αἱρεσιάρχας. Αὕτη δὲ ἡ κακὴ ἡ πάσας ὑπερνικῶσα εἴς τε βλασφημίαν καὶ ἀπιστίαν Θεοῦ οὐχ εὑρέθη ἔχειν ἐξ ἀνθρώπου τὴν ἀρχήν, ἀλλ' ὡς οἶμαι ἐξ αὐτοῦ τοῦ διαβόλου, τοῦ τῶν αἱρέσεων πασῶν ὑποβολέως. Οὐκ ἔστιν, ἀδελφοί, εἰς αἵρεσιν βλασφημία ἢ ἀκαθαρσία, ἣν οὐ συνῆξεν ὁ διάβολος καὶ ἐποίησεν εἰς ταύτην τὴν κακὴν αἵρεσιν· ἐξαιρέτως τὰ τῶν Παυλικιάνων καὶ τῶν Μανιχαίων· καὶ εἰ θελήσει τις γνῶναι, ὅτι καὶ τὰ τῶν Παυλικιάνων φρονοῦσιν οἱ κακοὶ ἀσεβεῖς οὗτοι, συντυχέτω Παυλικιάνῳ· ἐξ ἐκείνου πάντως βλαβήσεται οὐδὲν διὰ τὸ φανερὰν εἶναι τὴν αὐτῶν αἵρεσιν· γνώσει δέ, ὅτι ἀπαράλλακτα φλυαροῦσιν, ὡς καὶ οὗτοι οἱ ἄθεοι. Καὶ γὰρ κἀκεῖνοι, τὸν ἅγιον Παῦλον λέγουσιν ἔχειν διδάσκαλον ὡς καὶ οὗτοι καὶ ἐπὶ στόματος ἔχουσι τὸ εὐαγγέλιον καὶ τὰς τοῦ ἁγίου Παύλου ἐπιστολάς, ὡς καὶ οὗτοι· καὶ ἡ διδασκαλία αὐτῶν παρομοία ἐστὶν τῶν ἀθέων τούτων· ἀλλ' ἔστι φανερὰ ἡ αὐτῶν αἵρεσις καὶ ἄλλον βλάψαι οὐ δύνανται, εἰ μὴ αὐτοὺς τοὺς ταύτην ἔχοντας πατροπαράδοτον καὶ οὐδεὶς λυπεῖται ἢ ἀγανακτεῖ κατ' αὐτῶν. Εἰς δὲ τοὺς κρυφίους λύκους τούτους, τοὺς πλάνους καὶ ἀπατεῶνας, τοὺς φθορέας τῶν πολλῶν ψυχῶν, τίς οὐκ ἂν κατ' αὐτῶν λυπηθῇ; τίς οὐκ ἀγανακτήσει; τίς οὐ μισήσει; τίς οὐ βδελύξεται καὶ ἀμυνεῖται τοιούτους κακοὺς αἱρεσιάρχας, εἰ ἔστιν μικρὰ ἰσχὺς κατ' αὐτῶν. Οὐκ ἔστιν, ἀδελφοί, μηνῖσαι καὶ λυπηθῆναι κατὰ τοιούτων κακῶν· μᾶλλον δὲ καὶ θρηνῆσαι καὶ κλαῦσαι περὶ τῶν ἀπολλυμένων ψυχῶν· ὅτι μηδενὸς ἀναγκάζοντος τοὺς πλάνους ὑποκρίνονται τὴν μοναχικὴν πολιτείαν καὶ τὴν ἱερωσύνην· καὶ περιτρέχουσιν πᾶσαν τὴν τῶν Ῥωμαίων ἐπικράτειαν καὶ εἰς ὅσους ὁ ἥλιος ἐφορᾷ Χριστιανοὺς εἰς τὸ πλανᾶν καὶ ἀπατᾶν ψυχὰς καὶ ἁρπάζειν ταύτας ἀπὸ τῶν τοῦ Θεοῦ χειρῶν καὶ παραδιδόναι εἰς χεῖρας τοῦ πατρὸς αὐτῶν,

---

[39] Мат. 6, 24. [40] Марко 10, 23. [41] Мат. 5, 3. [42] Мат. 19, 21. [43] Срв. Мат. 16, 24. [44] Срв. Мат. 16, 26.

чил всички ереси, за да не бъдат измамвани хората от незнание. И прочетох цялата споменатата книга, ако мога някак да разбера каква е тази зла ерес и безбожие и как се нарича — понеже жителите на Опсикион наричат тия, които споделят това най-лошо безбожие, фундагиагити, а в Кивиреота, на Запад, и на други места ги наричат богомили. И поради тази двойственост ние сме на мнение, че между тези имена няма едно господствуващо име на ереста. Ето защо прочетохме всички основни положения на ересите, за да разберем каква е тази зла ерес и как се нарича. Но не можахме да открием. Защото всички ереси имат свои ересиарси: една — окаяника Петър, наречен още Ликопетър, друга — Павел от Самосата, трета — Монтан, четвърта — Манес, и, накратко казано, всички имат, както споменахме, свои ересиарси. А за тази зла ерес, която надминава всички и по богохулство, и по безверие в бога, не се откри, че води началото си от човек, но, както мисля, от самия дявол, вдъхновителя на всички ереси. Няма, братя, в [никоя] ерес богохулство или нечистотия, особено павликянска и манихейска, която да не е докарал и предизвикал в тази зла ерес дяволът. И ако някой желае да се увери, че еретиците, тези зли нечестивци, мислят по павликянски, нека да се срещне с някой павликянин. От него той не ще получи изобщо никаква вреда поради това, че тяхната ерес е открита. Но ще узнае, че бръщолевят едни и същи неща, както и тези безбожници. И едните, и другите казват, че имат за учител свети Павел, и едните, и другите знаят наизуст евангелието и посланията на свети Павел. И учението на едните е твърде подобно на учението на другите безбожници. Но тяхната ерес е явна и те не могат да навредят на другите освен на тия, които я имат като предадена от бащите им, и никой не се сърди и не се възмущава срещу тях. А срещу тези потайни вълци, измамници и прелъстители, губители на много души, кой не ще се разгневи? Кой не ще възнегодува? Кой не ще ги намрази? Кой не ще се отврати и не ще се брани срещу тия зли ересиарси, стига да има в себе си поне малко смелост? Не е достатъчно, братя, да се гневим и срещу такива злини да негодуваме. Трябва по-скоро да плачем и да ридаем за погубваните души, понеже без ничия принуда измамниците се преструват, че водят живот на монаси и свещеници. Те обикалят цялата ромейска държава и всички християни под слънцето, за да мамят и лъжат душите и да ги изтръгват из ръцете на бога и да τοῦ διαβόλου. Προσέχετε, ἀδελφοί, ὃ ὑμῖν εἰπεῖν βούλομαι. Οἱ οὖν ἔνσαρκοι οὗτοι δαίμονες, οἱ νοητοὶ λύκοι, τοσαύτην σπουδὴν ἐνδείκνυνται εἰς τὸ τοῦ διαβόλου ἔργον, ὥστε ἐπιμοιράζειν τὰ τῆς Ῥωμανίας ἅπαντα κλίματα καὶ βάλλειν ἐπ' αὐτὰ κλήρους ὡς ἐν ταῖς ἡμέραις ἐκείναις ἐποίουν οἱ ἅγιοι Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀπόστολοι, | ἐπιφημίζοντες καὶ οὗτοι οἱ πλάνοι ἑαυτοὺς ἀποστόλους. | οὐχὶ Χριστοῦ τοῦ θεοῦ ἡμῶν, ἀλλὰ τοῦ πατρὸς αὐτῶν τοῦ ἀντιχρίστου διαβόλου· ὑπομένοντες κόπους καὶ φόβους καὶ θλίψεις καὶ στενοχωρίας, πολλάκις καὶ κινδύνους· καταφρονοῦντες δὲ καὶ αὐτοῦ τοῦ θανάτου, πρὸς τὸ ἐκτελέσαι αὐτοὺς τὸ τοῦ διαβόλου ἔργον καὶ διαφθεῖραι τὴν τοῦ Χριστοῦ ποίμνην καὶ ἀπολέσαι ψυχάς. Οἱ τοῦ Χριστοῦ ποιμένες καὶ διδάσκαλοι, οἵ τε ἀρχιερεῖς καὶ πάντες οἱ ἱερεῖς καὶ μονάζοντες, οἱ ἀμελῶς περὶ τὰ τοῦ Χριστοῦ ποίμνια τὰ πιστευθέντα αὐτοῖς διακείμενοι καὶ μὴ ἐγρηγόρως καὶ ἐπιμελῶς τὰς οἰκ(ε)ίας καὶ πόλεις καὶ χώρας διαφυλάττοντες ἀπὸ τῶν δυσμόρφων καὶ δεινῶν τούτων θηρίων, τοῦ μὴ λυμήνασθαι τὴν πιστευθεῖσαν αὐτοῖς παρὰ τοῦ θεοῦ ποίμνην, πόσην ἀπαιτηθήσονται δίκην παρὰ τοῦ ἀρχιποιμένος Χριστοῦ, τοῦ θεοῦ ἡμῶν, ἐν τῇ φοβερᾷ ἡμέρᾳ ἐκείνῃ τῆς κρίσεως; Ὁ τὰ ἐνενήκοντα ἐννέα καταλείπων πρόβατα καὶ ἐπὶ τὰ ὄρη ἀνελθών, ζητῶν τὸ πλανώμενον καὶ εὑρὼν ἐπὶ ὤμων ἄρας καὶ τὰς φίλας αὐτοῦ καὶ οὐρανίους δυνάμεις συγκαλῶν, πρὸς αὐτὰς λέγων, τό· συγχάρητέ μοι, ὅτι εὗρον τὸ ἀπολωλὸς πρόβατον, οὐ ζητήσει τοὺς ὑποχειρίους αὐτοῦ ποιμένας τὰ πιστευθέντα αὐτοῖς πρόβατα αὐτοῦ σῶα…, καὶ μάλιστα τοὺς βλέποντας αὐτὰ ἀπολλύμενα καὶ παραβλέποντας, ὁ κλίνας οὐρανοὺς καὶ ἐπὶ γῆς κατελθὼν καὶ σάρκα φορέσας καὶ ὕβρεις καὶ πάθη καὶ σταυρὸν καὶ θάνατον διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν καταδεξάμενος, οὐ ζητήσει τὴν ποίμνην αὐτὴν σώαν ἀπὸ τῶν χειρῶν τῶν αὐτοῦ ποιμένων; Ναὶ λέγω ὑμῖν ζητήσει. Καὶ οὐαὶ τοῖς ἀμελῶς καὶ ῥαθύμως τὸ τοῦ Χριστοῦ ποίμνιον ποιμαίνουσι. Καλὸν ἦν αὐτοῖς, εἰ οὐκ ἐγεννήθησαν. Πολλούς, ἀδελφοί, εἰς ζῆλον διήγειρα τῶν γνῶσιν ἐχόντων, ἵνα πονήσωσιν καὶ ἐπιμελῶς ἐρευνήσωσιν εἰς τὰ περὶ αἱρέσεων. καὶ μηδὲν πλέον νοήσαντες, εἰ μὴ ὅσα κἀγὼ εἴρηκα, ἔκριναν. εἰπόντες, ὅτι αὕτη ἐστὶν ἡ ἐσχάτη καὶ μεγάλη πλάνη, ἡ τοῦ ἀντιχρίστου πρόδρομος, ἣν τὸ ἀψευδὲς στόμα Χριστοῦ τοῦ θεοῦ ἡμῶν προηγόρευσεν εἰπὸν τό· βλέπετε, μὴ πλανηθῆτε, καὶ ὅτι πολλοὺς πλανήσωσιν, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς. Περὶ ὧν καὶ ὁ ἀπόστολος Παῦλος ἔγραψεν ἐν τῇ πρὸς Τιμόθεον πρώτῃ ἐπιστολῇ εἰπών· τὸ δὲ πνεῦμα ῥητῶς λέγει· ὅτι ἐν ὑστέ-

ги предават в ръцете на своя отец, дявола. Обърнете внимание, братя, на това, което искам да кажа. Наистина тези въплътени дяволи, прикрити вълци, проявяват такова усърдие за делото на дявола, че бродят по всички краища на Романия[45] и пращат в тях свои служители, както правеха в онези дни светите на Христа бога наши апостоли. И тези измамници се зоват апостоли не на нашия бог Христос, но на своя отец дявола антихрист. Те понасят умора, заплахи, мъчения и унижения, често се излагат и на опасности, дори презират самата смърт, за да извършат делото на дявола, да покварят стадото Христово и да погубят душите. Каква правда ще търсят от архипастира Христос, нашия бог, в онзи страшен ден на съда Христовите пастири и учители, архиереите и всички свещенослужители и монаси, които нехаят за повереното им стадо на Христос и не пазят будно и грижливо къщите, градовете и селата от тези отвратителни и ужасни зверове, та да не бъде унищожено повереното им от Христос стадо? Този, който е оставил деветдесетте и девет овце и отишъл в планината, за да търси заблудената овца, и като я намерил, сложил я на раменете си и призовава приятелските си небесни сили с думите „Радвайте се заедно с мене, че си намерих загубената овца."[46] Този, който е слязъл от небето, дошъл на земята, взел плът и приел и страдания, и кръст, и смърт заради спасението на хората, не ще ли търси от подчинените си пастири поверените им овце здрави, особено от тези [пастири], които гледат, че се губят, и нехаят? Не ще ли търси той стадото здраво от ръцете на своите пастири? Да, казвам ви, ще търси. И горко на тия, които гледат небрежно и нехайно на Христовото стадо. Добре щеше да бъде за тях да не са се раждали. Поощрих, братя, мнозина от тези, които имат познания, да се занимават ревностно и да разглеждат внимателно ученията на ересите. И след като те не забелязват нищо повече от това, което и аз казах, отсъдиха с думите, че това е най-новата и голяма заблуда, че тя е предтеча на антихриста, за която правдивата уста на Христос, нашия бог, предсказа с думите: „Гледайте да не бъдете прелъстени"[47], и: „Мнозина биха прелъстили, ако е възможно, дори и избраните"[48]. Затова и апостол Павел писа в Първото послание до Тимотей, казвайки: „А духът изрично казва, че по-късно ροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως προσέχοντες | πνεύμασι πλάνοις καὶ διδασκαλίαις δαιμονίων ἐν ὑποκρίσει ψευδολόγων, κεκαυστηριασμένων τὴν ἰδίαν συνείδησιν· κωλυόντων γαμεῖν· ἀπέχεσθαι βρωμάτων, ἃ ὁ θεὸς ἔκτισεν εἰς μετάληψιν μετ᾽ εὐχαριστίας τοῖς πιστοῖς καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν· ὅτι πᾶν κτίσμα θεοῦ καλὸν καὶ οὐδὲν ἀπόβλητον μετ᾽ εὐχαριστίας λαμβανόμενον· ἁγιάζεται γὰρ διὰ λόγου θεοῦ καὶ ἐντεύξεως. *Ταῦτα, ἀδελφοί, οὐ γνωρίζετε καὶ ὑμεῖς εἰς τοὺς αὐτόθι ὄντας ἀσεβεῖς; Οὐκ εἰσὶν οὗτοι οἱ κωλύοντες γαμεῖν; Οὐκ εἰσὶν οὗτοι οἱ τοὺς κοσμικοὺς βρωμάτων ἀπέχεσθαι διδάσκοντες; Οὐκ εἰσὶν οὗτοι οἱ ἐν ὑποκρίσει ψευδολογοῦντες τὰς θείας γραφάς; Οὐκ εἰσὶν οὗτοι οἱ ἀποστατήσαντες ἀπὸ τῆς πίστεως καὶ προσέχοντες πνεύμασι πλάνης καὶ διδασκαλίαις δαιμονίων; Καὶ εἰ βούλεσθε ἀκριβῶς μαθεῖν, ὅτι ψευδολόγοι εἰσὶν καὶ ἐν ὑποκρίσει κατασύρουσι τὰς θείας γραφάς, ἀκούσατε μετὰ ἀκριβείας· διδάσκουσι λέγοντες τό· ὅστις οὐκ ἀφήσει τὴν γυναῖκα αὐτοῦ, οὐ σώζεται, ὡς καὶ αὐτοὶ ἀκριβῶς ἐπίστασθε, ὅτι οὕτως καὶ | διδάσκουσι καὶ ποιοῦσι. Καὶ τοῦτο οἱ τοῦ θεοῦ ἐχθροὶ καὶ τοῦ διαβόλου ὑπασπισταὶ οὐ δι᾽ ἁγνείαν καὶ καθαρότητα διδάσκουσι· μὴ γένοιτο· ἀλλ᾽ ἀνατρέποντες τὸν νόμον καὶ τὴν ἐντολὴν τοῦ θεοῦ. Καὶ γὰρ ἐὰν ἐπιτηρήσῃς, καὶ εὑρήσεις αὐτοὺς τήν τε πορνείαν καὶ αἱμομιξίαν μὴ κωλύοντας. Καὶ διηγήσομαι ὑμῖν εἰς τοῦτο, ὅπερ οἰκείοις ἐθεασάμην ὀφθαλμοῖς. Ἴσως καὶ ἐξ ὑμῶν πολλοὺς οἶδα τοῦτο μὴ ἀγνοεῖν. Πάντες γὰρ ἀκριβῶς ἐπίστασθε Ἰωάννην τὸν Τζουρίλλαν· πάπαν γὰρ αὐτὸν εἰπεῖν, ὡς καὶ ὑμεῖς συνήθειαν ἔχετε τοῦ λέγειν αὐτόν, ἢ ἀββᾶν οὐ δύναμαι· οὐδὲ γάρ ἐστιν, ἀλλὰ τοῦ διαβόλου ἐστὶν καὶ μύστης καὶ ἀπόστολος. Πάντες δὲ οἴδατε, ὅτι τὴν γυναῖκα αὐτοῦ κατέλειπεν, ποιήσας αὐτὴν ψευδαββαδίαν, γενόμενος καὶ αὐτὸς ψευδαββᾶς. Καὶ βλέπετε καὶ ὑμεῖς αὐτοὺς οὕτως ἔχειν. Καὶ οὐ μόνον αὐτός, ἀλλὰ καὶ πολλοὶ τῶν αὐτοῦ μαθητῶν οὕτως ποιοῦσιν. Ἀκούσατε καὶ ἕτερον περὶ αὐτοῦ, ὅπερ καὶ ὑμᾶς οἶδα μὴ ἀγνοεῖν. Ἐπὶ τῆς βασιλείας Βασιλείου καὶ Κωνσταντίνου τῶν Πορφυρογεννήτων ἦν ἐν τῷ ἐφ᾽ ἡμᾶς θέματι τοῦ Ὀψικίου κριτὴς ὁ μακαρίτης κῦρις Ῥωμανὸς ὁ ἀργυρόπωλος, ὁ καὶ βασιλεὺς | γενόμενος. Καὶ μέμνημαι ἐλθόντος τούτου ἐν τῇ ἐφ᾽ ἡμᾶς ἐπισκοπῇ Ἀκμονείᾳ καὶ ἦλθον κἀγὼ μετὰ τῆς μητρός μου ἔχοντος πρὸς ἄλλον τινὰ δίκην. Ἔπηξαν γὰρ οἱ τάξαντες καλύβην πλησίον τοῦ ἀρχιστρατήγου, οὗ ἐπώνυμον Στρουθοπολίτης. Καὶ ἐκεῖ ἦν τὸ κριτήριον. Καὶ ἤνεγκαν τὸν ἀσεβῆ τοῦτον Τζουρίλλαν, ὃν καὶ πάντες γινώσκετε, ὅτι ἐστὶν πρῶτος τῆς νεολέκτου ἀσεβοῦς αὐτῶν θρησκείας καὶ τριετίαν*

---

[45] Така се наричала Византийската империя. Но тук вероятно е област в Мала Азия, която ръководителите на фундагиагитите разпределили помежду си за „апостолска дейност". [46] Лука 15, 4 слл. [47] Лука 21, 8. [48] Мат. 24, 4, 5, 24.

някои ще отстъпят от вярата и ще се подчинят на измамни духове и бесовски учения чрез лицемерието на лъжливите, като опустошат собствената си съвест; те ще запрещават встъпването в брак, ще заповядват въздържание от храни, които бог е създал, за да ги приемат с благодарност тези, които вярват, и тези, които са опознали истината; защото всяко творение на бога е добро и нищо не е за отхвърляне, ако се приема с благодарност — то се освещава чрез божието слово и чрез молитва."[49] Та не знаете ли и вие, братя, че това се отнася за безбожниците, които са там? Не са ли те, които отхвърлят брака? Не учат ли те миряните да се въздържат от храни? Не проповядват ли те лицемерно божествените писания? Не са ли те отстъпили и насочили вниманието си към измамата и учението на дяволите? И ако искате точно да узнаете, че са лъжци и лицемерно ровят в божествените писания, чуйте ясно: Те учат, като казват следното: Който не напусне жена си, няма да се спаси. И вие добре знаете, че те така и проповядват, и правят. И това божиите врагове и оръженосци на дявола проповядват не от святост и непорочност, напротив, те нарушават волята и заповедта на бога — и ако обърнеш внимание, ще откриеш, че те не са против разврата и кръвосмешението. И ще ви разкажа това, което видях със собствените си очи. Зная, че и на мнозина от вас то може би не е неизвестно. Вие всички знаете добре Йоан Чурила; не мога да го нарека отец, както вие сте свикнали да го наричате, или абат, защото той не е такъв, а е слуга и пратеник на дявола. Всички знаете, че той напусна жена си, като я бе направил псевдоабатка, след като и той беше станал псевдоабат. И вие виждате, че те са такива. И не само той, но и мнозина от учениците му постъпват така. Чуйте и друго за него, което, зная, не ви е неизвестно. През царуването на порфирогенетите Василий и Константин в нашата тема Опсикион беше съдия блаженият господин Роман Аргиропол[50], който стана и император. И спомням си, че когато той дойде в нашата Акмонийска епископия, бях дошъл и аз заедно с моята майка, която се съдеше с някого другиго. Властите бяха построили палатка близо до архистратега, чието име беше Струтополит. А там беше съдилището. И там доведоха този нечестив Чурила, когото вие всички знаете, че е глава на новообразуваната нечестива тяхна ерес и че цели три години ὅλην ἐποίησεν εἰς τὸ κήρυγμα τοῦ διαβόλου καὶ πόλεις ὁλοκλήρους ἐν τοῖς τῶν Θρᾳκῶν μέρεσιν ἔν τε τῇ τοποθεσίᾳ τῆς Σμύρνης καὶ ἐν ἄλλοις πολλοῖς τόποις ἔπεισεν ἀρνήσασθαι τὸν Χριστὸν καὶ προσκυνῆσαι τῷ διαβόλῳ. Καὶ αὐτὸ τὸ περιφανὲς χωρίον, ἐν ᾧ τὴν οἴκησιν ἔχει, τὸ πολυοίκιστον καὶ πολυάνθρωπον καὶ μέγα, ὃ καὶ μέμνημαι πάντας Χριστιανοὺς καὶ ὀρθοδόξους ὄντας τοὺς ἐν αὐτῷ οἰκοῦντας ἅπαντας, οὓς καὶ ὑμεῖς ἄρτι βλέπετε ὡς παρὰ μικρὸν πάντας ὁμονοῆσαι πεποίηκε τοῦ προσκυνῆσαι τὸν διάβολον καὶ σέβεσθαι καὶ ἐξάρνους γενέσθαι τῆς τῶν Χριστιανῶν ὀρθοδόξου πίστεως. Ἔστι γὰρ τὸ χωρίον, ὡς οἶμαι, Χιλίων Καπνῶν, καὶ ὡς παρ' ὑμῶν ἀκριβῶς ἔμαθον, ὅτι πλείους τῶν δέκα Χριστιανοὶ οὐ κατελήφθησαν, καὶ ἐκεῖνοι τεταραγμένοι καὶ σεσαλευμένοι ἀπὸ τῶν σκωμμάτων καὶ τῶν ὀνειδισμῶν τῶν ἀσεβῶν, καὶ ὅσον οὔπω καὶ αὐτοὶ ὑπάγουσιν εἰς ἀπώλειαν. Τοῦτον τὸν ἀσεβῆ τὸν ταῦτα τὰ κατορθώματα ἐνεργήσαντα καὶ ἔτι ἐνεργοῦντα πάντες βλέπετε καὶ γνωρίζετε καὶ ἀκριβῶς ἐπίστασθε, ὡς ταῦτα ἀληθῆ εἰσι, καὶ ὅτι διδάσκει τό· ὅστις οὐκ ἀφήσει τὴν γυναῖκα αὐτοῦ, οὐ σώζεται, ὅπερ καὶ αὐτὸς ἐποίησεν καὶ οἱ αὐτοῦ πολλοί. Καὶ ἵνα πληροφορηθῆτε, ὡς οὐ δι' ἁγνείαν καὶ καθαρότητα, ἀλλ' ἀνατρέποντες τὸν τοῦ Θεοῦ νόμον ταῦτα διδάσκουσιν, ἀκούσατε. Ἔφερον τὸν ἀσεβῆ δέσμιον εἰς τὸ δικαστήριον, ἤγουν εἰς τὸ κριτήριον. Τί δὲ τὸ ἔγκλημα; Ὅτι ἐβιάσατο παρθένον ἐν ἀοικήτῳ μύλωνι, ὄντι μακρόθεν τοῦ χωρίου· καὶ ἤλεγχεν αὐτὸν ἡ νεᾶνις, ἡ παρὰ τοῦ ἀσεβοῦς αὐτοῦ φθαρεῖσα, κλαίουσα σφοδρῶς· καὶ οὐ μόνον αὐτή, ἀλλὰ καὶ ὁ πατὴρ αὐτῆς πολλὰ καὶ αὐτὸς κλαίων, κατηρᾶτο αὐτόν. Εὑρέθη δὲ κατ' αὐτὴν τὴν ὥραν καὶ Ὀβαρνακουμέων ἐπίσκοπος, | εὐνοῦχος τίμιος, καὶ κρατήσας τῇ χειρὶ τὸ τοῦ ἀσεβοῦς πάλλιον, ἐπισκώπτων αὐτὸν εἶπε· καλόν, πάτερ ἅγιε, διὰ τοῦτο ἐλάβομεν ταῦτα τὰ ἅγια, ἵνα θεατρίζωμεν καὶ πομπεύωμεν αὐτὰ ἐπὶ τοσούτου λαοῦ κοσμικοῦ. Ἀπεκρίθη αὐτῷ ὁ κῦρις Κωνσταντῖνος, ὁ ἀρχιδιάκονος καὶ οἰκονόμος τῆς ἐν Ἀκμωνείᾳ ἐπισκοπῆς, ᾧ ἐπώνυμον Γαληνός, εἰπών, ὅτι· οὐκ ἔστιν, ὡς ὑπέλαβες, δέσποτα· οὐδὲ γὰρ διὰ τὸν Χριστὸν περιεβάλετο τὰ φαντασιώδη ταῦτα μαῦρα, τό τε μέλαν πάλλιον καὶ τὸ πλατὺ ἀποστολίκιν· ἀλλὰ διὰ τὸν ἀντίχριστον καὶ διὰ τὸ εἶναι πρῶτον τῶν αἱρετικῶν. Ταῦτα ὁ ἐπίσκοπος ὡς παρὰ τοῦ ἀρχιδιακόνου ἀκήκοεν, ἐξεπλάγη· ἠγνόει γὰρ τὸν ἀσεβῆ· καὶ καταλιπὼν αὐτὸν ἔστη μακρόθεν ἀπ' αὐτοῦ καὶ πολλὰ κατήργησε καὶ κατηράσατο αὐτὸν καὶ εἰς τοῦτο πολλοί, ἵνα μαρτυρήσωσι τῶν τότε ὄντων ἐκεῖσε, ὅτι ἀληθῆ εἰσι καὶ οὐ ψευδῆ. Πληροφορεῖ ὑμᾶς τοῦτο, ὅτι οὐ δι' ἁγνείαν διδάσκουσι τοὺς ἄνδρας καταλιμπάνειν τὰς ἑαυτῶν γυναῖκας καὶ τὰς γυναῖκας τοὺς ἑαυτῶν ἄνδρας.— Μά-

---

[49] I Тим. 4, 1—5. [50] Роман III Аргир, византийски император през 1028—1034 г.

е прекарал да възвестява дявола и убедил цели градове както в тракийските области, така и в областта на Смирна, а и на много други места да се откажат от Христос и да се покланят на дявола. Склонил е към ерес и познатото онова селище, в което живее, с много къщи, многолюдно и голямо, за което помня, че всички негови жители бяха християни и православни. Сега вие виждате, че той сполучи да убеди почти всички тях да се съгласят да се прекланят пред дявола, да го почитат и да се откажат от православната християнска вяра. Селището е, доколкото мисля, от хиляда комина и както точно научих от вас, повече от десет християни не са останали в него, а дори и те, смутени и обезпокоени от подигравките и обидите на нечестивците, насмалко не са тръгнали към гибел. Всички виждате, узнали сте и добре знаете, че това е истина и че проповядват това: „Който не напусне жена си, не може да се спаси.“ Това е направил и сам той, а също и много негови последователи. И за да се убедите, че вършат това не поради непорочност и чистота, но в нарушение на божия закон, чуйте: Доведоха нечестивеца вързан в съдилището, т. е. на делото. А какво беше обвинението? — Че изнасилил девица в необитаема воденица далеч от селото. Изобличаваше го девойката, която нечестивецът опозорил, като плачеше силно. Не само тя, но и нейният баща, който сам плачеше силно, го проклинаше. Случи се там по същото време оварнакумийският епископ, почитан евнух. Той хвана с ръка наметката на нечестивеца и за подигравка му каза: „Много хубаво, отче свети, заради това взехме тази свещена дреха, за да я изложим на показ и да я похулим пред толкова много миряни!“ А господин Константин, архидяконът и икономът на епископията в Акмония, с прозвище Галин, му отвърна с думите : „Не е така, както мислиш, господине. Защото той не е облякъл тази чудата черна дреха и черна наметка и широкия апостолик [51] заради Христос, но заради антихриста и заради това, че е глава на еретиците.“ Епископът остана поразен, като чу тия думи на архидякона, защото не познавал нечестивеца. И той го остави и се отдръпна далеч от него, силно го обвини и го укори, а също така и мнозина заедно с него [го укориха], за да засвидетелствуват, че е истина това, което е станало там, а не лъжа. Уверявам ви в това, че не поради чистота те учат мъжете да напуснат жените си и жените собθετε, ὅτι καὶ τὰς γραφὰς οἱ ἀσεβεῖς δολίως καὶ ἐν ὑποκρίσει μετέρχονται, μὴ ποιοῦντες μηδὲ φρονοῦντες τὰ τῶν θείων γραφῶν.

---

[51] „Апостолска“ широка дреха или част от монашеско облекло, може би коланът на дрехата.

Διδάσκουσι καὶ περὶ τοῦ ἁγίου βαπτίσματος οἱ ἀσεβεῖς λέγοντες, ὅτι ὁ ἁγιασμὸς ἢ χάρις ἐν αὐτῷ οὐκ ἔστιν, ἀλλ' ἁπλῶς ἐστιν ὕδωρ καὶ ἔλαιον, καὶ καλόν ἐστιν, ἵνα μηδ' ὅλως βαπτίζωνται οἱ παρ' ἡμῶν διδασκόμενοι· διὰ δὲ τὸν τῶν ἀνθρώπων φόβον ἐὰν βαπτισθῇς, οὔτε βλάπτῃ ἐξ αὐτοῦ οὔτε ὠφελῇ.

Διδάσκουσιν οἱ ἀσεβεῖς, ὅτι οὐκ ἐνδέχεται, ἵνα προσκυνῆται ὁ τίμιος καὶ ζωοποιὸς σταυρός· οὐ γάρ ἐστιν ἅγιος.

Βλασφημοῦσιν οἱ ἄθεοι περὶ τῆς ἁγίας κοινωνίας λέγοντες, ὅτι κοινὸς ἄρτος καὶ οἶνός ἐστιν.

Λέγουσιν οἱ ἀσεβεῖς, ὅτι· ἅγιος οὔτε ἐστὶν οὔτε ὀφείλει λέγεσθαι, ἀλλὰ ἅγιος εἷς ἐστιν ὁ θεός.

Ἀναιροῦσιν οἱ ἄθεοι καὶ τὴν ἱερωσύνην λέγοντες, ὅτι· καὶ τί ἐστι πρεσβύτερος; τοῦτο περιττόν ἐστιν.

Ταῦτα μὲν πάντα οἱ τῆς ἀσεβείας φανερῶς τοῖς πᾶσιν εἰπεῖν ἢ διδάξαι οὐ τολμῶσιν, ἀλλὰ καὶ ὑποκρίνονται ὡς ἔφημεν πάντα τὰ ἡμέτερα πιστεύειν, ἰδίᾳ δὲ καὶ ἐν τῷ σκότει οἱ τοῦ σκότους υἱοὶ διδάσκουσι τὰ προειρημένα τῶν θείων γραφῶν μὴ πιστεύειν τοὺς αὐτῶν μαθητάς. Καὶ ταῦτα μὲν στηλιτευόμενα παρ' ἡμῶν, τὰ τῶν ἀσεβῶν ἀκούοντες, ἀγνοοῦντες δέ, ὅτι τοιαῦτά εἰσι, μὴ ἀπιστείτωσαν. Καὶ γὰρ τοσοῦτον αὐτοῖς ὑπεκρίθην καὶ ἐχρημάτισα, ὅπως δυνηθῶ νοῆσαι τὸν δόλον καὶ τὴν μανίαν αὐτῶν, ὥστε ἀπὸ τῆς παρρησίας, ἧς ἔλαβον εἰς ἐμέ, ποιεῖν αὐτοὺς τὴν μιαρὰν αὐτῶν εὐχὴν ἔμπροσθέν μου. Καὶ ἀκούσατε, πῶς καὶ τὰ τῆς εὐχῆς αὐτῶν ἔχει. Ἵσταται ὁ πρόκριτος τῶν ἀσεβῶν καὶ ἄρχεται λέγων· προσκυνοῦμεν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα· καὶ ἀποκρίνονται οἱ συνευχόμενοι· ἄξιον καὶ δίκαιον· καὶ ἄρχεται τὸ πάτερ ἡμῶν κατὰ τὸν τρόπον, ὃν προειρήκαμεν, ποιοῦντες μετανοίας κατὰ τρόπον τοιόνδε· τὰς κεφαλὰς αὐτῶν ἀνάγοντες καὶ κατάγοντες ὡς οἱ δαιμονιζόμενοι· εὔχονται δὲ οὐ κατὰ ἀνατολάς, ἀλλ' ὅθεν ἂν εὑρεθῶσιν ἱστάμενοι, κἄντε πρὸς βορρᾶν κἄντε νότον, κατὰ δύσιν, κἄντε καὶ κατὰ ἀνατολάς. Αὕτη δέ ἐστιν, ἀδελφοί, ἡ ἐσχάτη καὶ μεγάλη πλάνη, ἣν τὸ ἀψευδὲς στόμα προηγόρευσε Χριστοῦ τοῦ | ἀληθινοῦ θεοῦ ἡμῶν, παραγγείλαντος τό· βλέπετε, μὴ πλανηθῆτε· οὗτοί εἰσιν οἱ ψευδόχριστοι.

Εἴπω δὲ ὑμῖν καὶ ἄλλον δόλον τῶν ἀσεβῶν· ὡς ἔχουσιν ἔθος

ствените си мъже. Разберете, че нечестивците използуват и Писанието лицемерно, като нито се съобразяват, нито се съгласяват с божественото писание.

Нечестивците учат също така, че в светото кръщение няма святост или благодат, но че то е просто вода и масло и е добре съвсем да не се кръщават тия, които поучаваме — а ако бъдеш кръстен поради страх от хората, няма да получиш нито вреда, нито полза.

Нечестивците учат, че не бива да се почита скъпоценният и животворен кръст, защото не бил свят.

Безбожниците злословят за светото причастие, като казват, че било хляб и вино.

Нечестивците твърдят, че нямало светец и никой не трябвало да се нарича така, но че само бог бил свят.

Безбожниците отхвърлят и богослужението, като казват: „Какво е това свещенослужител? — Нещо излишно."

Всичко това привържениците на безчестието не се осмеляват да говорят или да проповядват явно пред всички. Те дори се преструват, както казахме вече, че вярват във всичко, в което и ние вярваме, а за себе си и тайно синовете на тъмнината учат своите ученици да не вярват казаното от божественото писание. При положение, че ние разобличаваме това, нека ония, които слушат думите на нечистите и не разбират, че те са такива, да не се колебаят. Наистина аз толкова много се преструвах пред тях и ги разучавах, за да мога да разбера тяхната хитрост и безумие, че при свободата да говорят, която имаха пред мен, те извършваха в мое присъствие и нечестивата си молитва. А чуйте по какъв начин те се молят. Първенецът на нечестивците застава и почва да говори: „Почитаме отца и сина, и светия дух." А участниците в молитвата му отговарят: „Достойно и справедливо." И почва „Отче наш" по начина, който вече описахме, като извършват поклони така: свеждат и вдигат главите си като обхванати от бесове. Молят се обърнати не към изток, а който накъдето се случи да стои — било на север, било на юг, на запад или на изток. Това е, братя, най-лошата и голяма заблуда, която предрече правдивата уста на Христос, истинния наш бог, като поръчваше: „Гледайте да не се прелъстите. Тези са лъжехристияните."[52]

Нека ви кажа и друга хитрост на нечестивците — те имат обичай лицемерно да

---

[52] Лука 21,8; Срв. Мат. 24, 4, 24.

ἐν ὑποκρίσει συνέρχεσθαι εἰς τὰς συνάξεις μετὰ τῶν ὀρθοδόξων διὰ τὸ λανθάνειν. Ἀναγινωσκομένων τῶν θείων γραφῶν, ὅπου ἂν εἴπῃ ἡ γραφὴ κατὰ ἁμαρτωλῶν ἢ κατὰ ἀσεβῶν, λέγουσι κρυφίως πρὸς τοὺς ἑαυτῶν μαθητάς, ὅτι τοῦτο αὐτῶν ἐστι καὶ δι' αὐτοὺς λέγει, ὡς δῆθεν τοὺς ὀρθοδόξους· ὅπου δὲ λέγει δικαίους καὶ ἁγίους, λέγουσιν, ὅτι τοῦτο ἡμέτερόν ἐστι, καὶ δι' ἡμᾶς λέγει. Καὶ οὕτως δολίως οἱ δόλιοι ἀποπλανῶσι τοὺς ἀνθρώπους.

Προλαβὼν ὑπεσχόμην ὑμῖν εἰπεῖν περὶ τῆς προσευχῆς τοῦ πάτερ ἡμῶν, καὶ ἀκούσατε. Προβάλλονται οἱ ἀσεβεῖς εἰς τὴν αὐτῶν διδασκαλίαν λέγοντες, ὅτι εἶπεν ὁ Χριστός· ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμιεῖόν σου καὶ κλείσας τὴν θύραν σου, πρόσευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ, καὶ ὁ πατήρ σου, ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ· καὶ οὐκ εἶπεν εἰς τὴν ἐκκλησίαν, ἀλλὰ εἰς τὸ ταμιεῖόν σου, ὡς δῆθεν εἰς τὸ ὁσπίτιν σου· ἀνατρέποντες ἐν τούτῳ οἱ ἀσεβεῖς τὰς συνάξεις τῶν ἁγίων ἐκκλησιῶν, καὶ ὅτι αἱ ψαλμῳδίαι βαττολογίαι εἰσὶ καὶ ὅτι οὐ δεῖ ψάλλειν τινὰ ἕτερόν τι, εἰ μὴ μόνον τὸ πάτερ ἡμῶν· τὰ γὰρ περιττὰ τούτου βαττολογίαι εἰσίν. Ἡμεῖς δὲ εἴπωμεν πρὸς αὐτούς· ἄλλο δέ, ἀσεβέστατοι, εὐχὴ καὶ προσευχὴ καὶ ἄλλο ψαλμὸς καὶ αἶνος καὶ ὕμνος καὶ ᾆσμα.

Ἐμάθετε, ἀδελφοί, τὰς ἐπινοίας καὶ τοὺς δόλους τῶν ἀσεβῶν; Φεύγετε ἀπ' αὐτῶν ὡς εἰδότες αὐτοὺς ἐχθροὺς τοῦ θεοῦ ὄντας· πληροφορῶ ὑμᾶς ὅτι ὁ τούτοις συναναστρεφόμενος καὶ συμφιλιούμενος ἐχθρὸς γίνεται τοῦ θεοῦ καὶ ἀρᾷ καὶ ἀναθέματι ὑπόκειται· ὅτι οὐαὶ τῷ ἁμαρτωλῷ καὶ τῷ γείτονι αὐτοῦ· πόσον καὶ τῷ αὐτοῦ φίλῳ· δηλονότι ὁ αὐτοῦ φίλος ὅμοιος αὐτοῦ ἐστι καὶ μετ' αὐτοῦ ἀπελεύσεται εἰς τὸ αἰώνιον πῦρ. Εἴπωμεν δὲ καὶ πάλιν περὶ τούτων πάντων τὴν δεσποτικὴν φωνὴν καὶ κλείσωμεν καὶ ἀποτειχίσωμεν τοὺς ἀσεβεῖς καὶ ἐμφράξωμεν τὰ μιαρὰ αὐτῶν στόματα· τὴν φωνὴν τὴν λέγουσαν· ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν. Τί ταῦτα παρατρέχετε, ἀσεβέστατοι, διδάσκοντες ἐν ὑποκρίσει τὸ εὐαγγέλιον, καὶ χειροτονεῖτε τὸν διάβολον ἄρχοντα καὶ ἐξουσιαστὴν πάντων τῶν ὁρωμένων; Οὐκ ἔστιν ἡ ἐξουσία τῶν οὐρανίων καὶ ἐπιγείων, ὡς ἐν τοῖς ἁγίοις γέγραπται εὐαγγελίοις, Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν; Οὐ διωρίσατε τοὺς μαθητὰς αὐτοῦ βαπτίζειν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ διδάσκειν τηρεῖν πάντα, ὅσα ἐνετείλατο αὐτοῖς; Οὐκ εἶπεν, ὅτι· ἐὰν μή τις γεννηθῇ δι' ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν; Οὐκ ἐνετείλατο τιμᾶσθαι τὸν τίμιον καὶ ζωοποιὸν | σταυρὸν αὐτοῦ, ὃν ὑμεῖς ἀτιμάζετε; Οὐκ

се събират заедно с православните, за да се прикриват. Когато се чете светото Писание, там, където Писанието говори за грешници или нечестивци, те казват тайно на своите ученици: „Това се отнася и говори за тях“ — именно за православните, където пък се споменава за справедливите и светците, казват: „Това е наше и говори за нас.“ Така измамниците измамнически прелъстяват хората.

Понеже по-рано ви обещах да ви кажа за молитвата „Отче наш“, затова чуйте. Нечестивците защищават своето учение, като говорят, че Христос бил казал: „А ти, когато се молиш, влез в своята станчка и като затвориш вратата си, помоли се на отца си, който е невидим, и твоят отец, който гледа невидим, ще ти въздаде явно.“[53] И не казал „в църква“, но „в станчката си“, което било уж „в къщата си“. При това нечестивците отричат събиранията в светите църкви и твърдят, че псалмопенията били празни приказки и не трябвало да се пее друго освен само „Отче наш“. И повечето от това е бръщолевене. А ние нека им кажем: Едно е, върли безбожници, молитва и молебствие, а друго — псалм и възхвала, и химн, и песен.

Не познахте ли, братя, хитростите и измамите на нечестивите? Избягвайте ги със съзнанието, че те са врагове на бога. Аз ви уверявам, че който се среща и дружи с тях, става враг на бога и подлежи на проклятие и анатема. Че горко на грешника и на съседа му! А колко и на приятеля му? Явно приятелят му е подобен на него и ще отиде заедно с него във вечния огън. Нека повторим господния глас за всички тях и да затворим и оградим нечестивите и да запушим нечистата им уста — гласа, който казва: „Даде ми се всяка власт на небето и на земята. Идете и научете всички народи, като ги кръщавате в името на отца и сина и светия дух и като ги учите да пазят всичко, което ви заповядах.“[54] Защо, нечестивци, отминавате това, като проповядвате лицемерно евангелието и избирате дявола за водител и владетел на всичко видимо? Не принадлежи ли небесната и земната власт, както е писано в светото евангелие, на Христос, истинния бог? Не определихте ли учениците му да кръщават в името на отца и сина, и светия дух? И да учат да съблюдават всичко, което им нареди? Не каза ли, че: Ако някой не се роди от воля и дух, не може да влезе в небесното царство? Не заповяда ли да почитат честния и животворен неοἰκείαις ὁ δεσπότης χερσὶν ἀνεμάξατο τὸν ἄχραντον χαρακτῆρα αὐτοῦ ἐν σινδόνι καθαρᾷ, ἀποστείλας τοῦτον πρὸς Ἄβγαρον, ὅντινα ἅγιον χαρακτῆρα μετέδωκεν καὶ εἰς τὸ ἅγιον κεραμίδιον; Οὐχ ὁ ἀπόστολος καὶ εὐαγγελιστὴς Χριστοῦ τοῦ θεοῦ ἡμῶν ὁ Λουκᾶς οἰκείαις χερσὶν ἱστόρησε τὴν ὑπεραγίαν θεοτόκον ἐν ἀγκάλαις κατέχουσαν βρέφος Χριστὸν τὸν ἀληθινὸν θεὸν ἡμῶν; Οὐκ εἰσὶν αὗται αἱ ἅγιαι εἰκόνες μετὰ καὶ τῆς ἁγίας ἐπιστολῆς τῆς πεμφθείσης πρὸς Ἄβγαρον ἐν ἡμῖν μέχρι τὴν σήμερον φυλαττόμεναι ἐν τῷ θεοφυλάκτῳ παλατίῳ; Καὶ βλέπομεν αὐτὰ πάντες οἱ Χριστιανοὶ καὶ ἐν πόθῳ καὶ πολλῇ πίστει προσκυνοῦμεν καὶ ἀσπαζόμεθα. Οὐκ ἐνετείλατο ὁ θεὸς τοὺς ἀνθρώπους βαπτίζεσθαι καὶ προσκυνεῖν καὶ τιμᾶν ταῦτα τὰ ἅγια, ὁμοίως καὶ πάντα πράττειν, ὅσα διὰ κανόνων ἡμῖν παρέδωκαν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου; Πῶς οὖν λέγετε, ὅτι οὐ δεῖ ταῦτα ποιεῖν; Πῶς, ἐχθροὶ τοῦ θεοῦ, τὰς αὐτοῦ τοῦ θεοῦ ἐντολὰς ἀπιστεῖτε καὶ ἀτιμάζετε καὶ τοὺς ἀνθρώπους πλανῶντες πείθετε ταύταις μὴ πιστεύειν καὶ τολμᾶτε ἐπὶ στόματος φέρειν τὰς τῶν ἁγίων γραφῶν ῥήσεις, ἃς ἀθετεῖτε καὶ μὴ φυλάττειν αὐτὰς παραινεῖτε; Φιμώθητε, ἀσεβεῖς, φιμώθητε καὶ μὴ τὴν τῶν οὐρανῶν βασιλείαν ἔμπροσθεν τῶν ἀνθρώπων κλείετε. Ὑμεῖς, μὴ βουλόμενοι εἰσελθεῖν, καὶ τοὺς ἐν αὐτῇ εἰσελθεῖν βουλομένους κωλύετε. Ταῦτα δέ, ἀδελφοί, ποιήσαντες, μᾶλλον δὲ πονήσαντες ἐγράψαμεν, εἰ καὶ ἰδιωτικοῖς, διὰ τὴν ἀγάπην ὑμῶν καὶ σωτηρίαν, ἵνα μάθητε τὸ οἷα ἐστὶν ἡ ἀσέβεια τῶν ἀθέων καὶ μιαρῶν Βατηνῶν, καὶ ὅτι ἐν δόλῳ μετέρχονται τὰς γραφὰς καὶ οὐ πίστει· καὶ ὅτι αὕτη ἐστὶν ἡ ἐσχάτη καὶ μεγάλη πλάνη ἡ τοῦ ἀντιχρίστου. Καὶ γὰρ καὶ τὰ τέλη τῶν αἰώνων ἤδη ἐφθάσαμεν καὶ οὐ μακρὰν ἐσμεν. | Φησὶν γὰρ ὁ κύριος ἐν τοῖς εὐαγγελίοις· ὥσπερ ἐν ταῖς ἡμέραις ταῖς πρὸ τοῦ κατακλυσμοῦ ἦσαν οἱ ἄνθρωποι, τρώγοντες καὶ πίνοντες, γαμοῦντες καὶ ἐγγαμίζοντες, ἄχρι ἧς ἡμέρας εἰσῆλθε Νῶε εἰς τὴν κιβωτὸν καὶ οὐκ ἔγνωσαν, ἕως οὗ ἦλθεν ὁ κατακλυσμὸς καὶ ἦρεν ἅπαντας, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Καὶ πάλιν· ὥσπερ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Καὶ ἵνα προσέχητε καὶ διαστέλλητε ἑαυτοὺς ἀπὸ τῶν κακῶν καὶ ἀσεβῶν τούτων, ἵνα μὴ πλανηθῆτε καὶ ἵνα γίνησθε ἕτοιμοι καθεκάστην ἐκδεχόμενοι τὴν ἡμέραν καὶ τὴν ὥραν τῆς συντελείας καὶ τὴν παρουσίαν τοῦ υἱοῦ τοῦ θεοῦ, κατὰ τὴν τοῦ κυρίου φωνὴν τὴν λέγουσαν τό· γρηγορεῖτε, ὅτι οὐκ οἴδατε, ποίᾳ ὥρᾳ ὁ κύριος ἡμῶν ἔρχεται, καὶ ταῦτα παρακαλῶ συνεχέστερον ἀναγινώσκειν ὑμᾶς πρὸς τὸν λαὸν καὶ μάλιστα πρὸς

---

[53] Мат. 6, 6. [54] Мат. 28, 18—20.

гов кръст, който вие отхвърляте? Не със собствените си ръце ли господ отпечата неопетненото си изображение върху чистото платно и го изпрати на Абгар,[55] а този свещен знак отпечата и на свещената керемидка? Не описа ли Лука, апостолът и евангелистът на нашия бог Христос, със собствените си ръце пресветата Богородица, държаща в скута си младенеца Христос, истинния наш бог? Същите свещени образи заедно със светото писмо, изпратено до Абгар, не се ли съхраняват чак до днес у нас в богохранимия палат? И ние всички християни ги гледаме и в любов и голяма вяра тачим и обичаме. Не е ли наредил бог хората да се кръщават и да се кланят на тези светини и да ги почитат, както и да вършат всичко, което са ни предали чрез каноните първом очевидците, станали и служители на словото? Защо прочее казвате, че не трябва да правим това? Защо, врагове на бога, не слушате заповедите на самия бог и не ги зачитате и мамейки, учите хората да не им вярват и се осмелявате да произнасяте с устата си словата на светото Писание, което отхвърляте, и ги поощрявате да не го спазват? Занемейте, нечестивци, занемейте и не затваряйте пред хората царството небесно. Като не искате да влизате, вие пречите да влязат тия, които желаят. Това като направихме, братя, като си дадохме повече труд, написахме, ако и просто, поради любовта си към вас за вашето спасение, за да научите какво е безчестието на безбожните и нечистите ватини и че те измамно, а не от вяра се занимават с Писанието и че това е най-долната и голяма заблуда на антихриста. И наистина стигнахме до края на вековете и не сме далеч. Защото господ казва в евангелието: „Както в дните преди потопа хората ядяха и пиеха, женеха се и се омъжваха до деня, в който Ной влезе в ковчега, и не усетиха [нищо], докато дойде потопът и завлече всички, така ще бъде и пришествието на сина человечески.“[56] И пак: „Както светкавицата блясва на изток и се вижда до запад, така ще бъде пришествието на сина человечески.“[57] И за да сбмислите и да се отвърнете от тези зли и нечестиви [хора], за да не бъдете мамени и да бъдете готови да приемете всеки ден и час свършека и пришествието на сина человечески според гласа на господа, който казва: „Бдете, защото не знаете в кой час нашият господ ще дойде.“[58] И аз ви призовавам да четете непрекъснато това пред народа и най-вече

---

[55] Един от главните аргументи на иконопочитателите били някакви реликви, пазени в императорския дворец. Между тях се намирало изображение върху платно на Христос, което уж сам бог пратил на цар Абгар. Това име носили много царе на Едеса до 216 г. [56] Мат. 24, 38—39. [57] Мат. 24, 27. [58] Мат. 24, 42.

τοὺς ἔχοντας συγγενείας καὶ φιλίας μετὰ τῶν ἀσεβῶν καὶ εἰς τοὺς ἐκ γειτόνων ἔχοντας ἀσεβεῖς ὀρθοδόξους. Καὶ προσέχετε καὶ ἄλλος τὸν ἄλλον διεγείρετε εἰς τὸ ἀγαθόν, ἵνα μὴ πλανηθῆτε. Οἱ γὰρ πλανηθέντες ἅπαξ ἔπεσον πτῶμα ἐξαίσιον καὶ ἐν αὐτοῖς ἔγερσις οὐκ ἔστιν. Καὶ τοῦτο ἀκριβῶς ἐπίσταμαι, ὅτι μετανοίας λογισμὸς ἐν αὐτοῖς οὐχ εὑρίσκεται, ἀλλὰ μᾶλλον τοῦτο διὰ πολλῆς ἔχουσι σπουδῆς, τὸ πληθυνθῆναι τὴν τοῦ πατρὸς αὐτῶν τοῦ διαβόλου κληρονομίαν· εἰ γὰρ ἠβουλήθη τις ἐξ αὐτῶν τοῦ μετανοῆσαι οὐ δύναται σφοδρῶς ὑπὸ τοῦ διαβόλου δεσμούμενος καὶ κατεχόμενος. Καὶ διηγήσωμαι ὑμῖν περὶ τούτου, πῶς ἀκριβῶς πεπληροφόρημαι, ὅτι ἀπὸ τῶν πλανηθέντων οὐδεὶς δύναται ὑποστρέψαι. Καὶ ὄμνυμι ὑμῖν, ἀδελφοί, παραβαίνειν τὴν ἐντολὴν εἰς θεὸν ζῶντα καὶ εἰς αὐτὴν τὴν πανύμνητον μητέρα αὐτοῦ καὶ θεοτόκον, ὅτι, | ὃ ὑμῖν διηγήσασθαι μέλλω, οὐ ψεύδομαι. Τὸν μαθητήν μου ἀπόντος ἐμοῦ οἱ μιαροὶ ἐξαπατήσαντες πάντα τὰ νενομισμένα παρὰ αὐτοῖς κακὰ εἰς αὐτὸν ποιῆσαι οὐκ ἔφθασαν οὔτε τὴν ἐπῳδὴν ἐπάνω αὐτοῦ ἀνέγνωσαν, οὔτε τὸν διάβολον αἰσθητῶς προσεκύνησεν, ὡς αὐτοὶ ποιοῦσιν, εἰ μὴ μόνον πεισθεὶς εἰς τὴν αὐτῶν διδασκαλ(ε)ίαν συνηύξατο μετ' αὐτῶν τὸ πάτερ ἐκεῖνον· καὶ ἐθάρρησαν αὐτῷ μυστήρια, ἃ προειρήκαμεν, καὶ ἐνῴκησεν εἰς αὐτοῦ καρδίαν πνεῦμα ἀκάθαρτον. Καὶ τέσσαρας ὅλους χρόνους μετανοῶν καὶ κλαίων καὶ ἑαυτὸν μετακόπτων καὶ τοῦ θεοῦ ἀπαύστως νύκτας καὶ ἡμέρας δεόμενος — συνηυχόμην δὲ αὐτῷ κἀγὼ καὶ συνέκοπτον οὐκ ἠδυνήθη εὑρεῖν κουφισμὸν ἀπὸ τοῦ πειράζοντος αὐτὸν πονηροῦ δαίμονος, ἕως εἰς τὸν ζωοποιὸν τάφον Χριστοῦ τοῦ θεοῦ ἡμῶν κοπιάσας εἰσῆλθε κἀκεῖ ὡς ὁ Πέτρος, οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις, πικρῶς θρηνήσας μόλις ἀπαλλαγῆναι ἠδυνήθη τοῦ πονηροῦ δαίμονος. Καὶ οὐ μόνον εἰς τὸν μαθητὴν γέγονεν ταῦτα, ἀλλὰ κἀμὲ καθ' ὕπνους ἐφιλον(ε)ίκησεν δι' αὐτοῦ ὁ διάβολος· ἐπεδείκνυεν γάρ μοι ὁ πονηρὸς ἀνεῳγμένον βιβλίον καὶ μετὰ θυμοῦ ἐπέταττέ μοι ἀναγνῶναι αὐτὸ καὶ ἀναγνοὺς εὗρον τὸ τοῦ εὐαγγελίου ῥητὸν τὸ λέγον· ὅστις δ' ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. Καὶ πάλιν εἶπέ μοι μετὰ αὐστηρίας, ὅτι· οὐκ εἶπεν αὐτὸ ὁ θεός; Ἐμοῦ δὲ ἀνομολογήσαντος οὕτως ἔχειν, πάλιν εἶπεν· καὶ διὰ τί τὸν ἐνώπιον ἀρνησάμενον τολμᾷς σὺ καταλλάξαι αὐτὸν τῷ θεῷ; Καὶ οὕτως ἀπῄει ὁ κατάρατος, οὐ μόνον θυμούμενος, ἀλλὰ καὶ ἀμυνόμενος. Ἀλλ' ἔχομεν θεὸν τὸν βοηθοῦντα ἡμῖν καὶ τὰς τοῦ πονηροῦ ἀπειλὰς οὐ φοβηθησόμεθα. Ταῦτα δὲ διεξῆλθον δηλοποιῶν ὑμῖν τὴν ἀσέβειαν τῶν ἀθέων Φουνδαγιαγιτῶν, ἵνα γνῶτε, τίς πλάνη ἐστίν. Καὶ μυσάττεσθε καὶ φεύγετε ἐξ αὐτῶν· μὴ πλανᾶσθε δὲ περὶ αὐτοὺς ὑπόληψιν ἔχοντες· ὅτι εἰς

пред тези, които имат родство и приятелство с нечестивците, и пред православните, които имат между съседите си нечестивци. И обмислете и се насочвайте един друг към доброто, за да не бъдете заблуждавани. Защото измамените веднъж падат страшно и за тях няма събуждане. И точно зная това, че у тях не ще се намери мисъл за разкаяние, но те повече се стремят към това, да се увеличи наследството на техния отец дявола. Защото дори ако някой от тях поиска да се разкае, не е в състояние, понеже е здраво окован и овързан от дявола. И ще ви разкажа за него, както съм осведомен добре, че никой от измамените не може да се освободи. И ви се заклевам, братя, че престъпвам закона в името на живия бог и на самата му най-достойна за прослава майка и Богородица и че не е лъжа това, което ще ви разкажа. В мое отсъствие нечистите измамили моя ученик, те не успели да му причинят всички злини, които били замислили, нито прочели над него заклинанието, нито забележимо почел той дявола, както правят те, но само, прелъстен в тяхното учение, се молил заедно с тях „Отче наш" и му доверили тайнствата, за които говорихме, и се вселил в сърцето му нечист дух. И цели четири години се разкайва, рида и се удря, търсейки непрекъснато дни и нощи бога. Молитствувах и се удрях заедно с него и аз, но той не можа да намери облекчение от прелъстяващия го зъл дявол, докато омаломощен дойде пред животворния гроб на Христос, нашия бог, и там, както Петър, неведнъж, но често плака горчиво и едва можа да се освободи от злия демон. И не само с ученика ми стана това, но чрез него и с мене се боричкаше дяволът. Злият ми показваше разтворена книга и настойчиво ми заповядваше да я чета и като прочетох, намерих словото на евангелието, което казва: „Който се отрече от мен пред хората, и аз ще се отрека от него пред отца си [който е] на небесата."[59] И отново ми каза строго: „Не каза ли същото бог?" Когато аз се съгласих, че е така, пак рече: „Защо се осмеляваш да помириш с бога отреклия се, който стои срещу тебе?" И така се отдалечи проклетникът не само разгневен, но и заканващ се. Но ние имаме бог, който ни помага, и не ще се боим от заплахите на злия. Това ви разказах, за да ви покажа безчестието на безбожните фундагиагити, за да познаете коя е заблудата. Отвращавайте се и бягайте от тях. Не се заблуждавайте по отношение на тях, като

---

[59] Мат. 10, 33.

ἐστιν εἰς τὴν οἰκ(ε)ίαν ἄπιστος, οἱ δὲ λοιποὶ οἱ συνοικοῦντες μετ' αὐτοῦ εἰσιν πιστοί· πληροφορῶ ὑμᾶς, ὡς κἀγὼ παρὰ τοῦ κρατηθέντος παρ' ἡμῶν ἀσεβοῦς ἐρωτήσας πεπληροφόρημαι, ὅτι ὅπου ἐστὶν εἷς ἐξ αὐτῶν, οἱ τῆς οἰκ(ε)ίας ἅπαντες ⟨τὰ⟩ τοῦ αὐτοῦ φρονοῦσιν· ὁ δὲ ὑποκρινόμενος νηστείαν καὶ εὐλάβ⟨ε⟩ιαν καὶ εὐχάς, κἂν ἀνὴρ ἐστιν κἂν γυνή, γνήσιος μύστης ἐστὶν τοῦ διαβόλου, καθηγητὴς καὶ διδάσκαλος τῶν λοιπῶν, καὶ πάντες ὅσοι ἂν εἰσιν εἰς τὴν οἰκ(ε)ίαν συνοικοῦντες αὐτῷ ἐν αὐτῷ αὐτὸ φρονοῦσιν· οὐδεμία γὰρ μερὶς μετὰ ἀπίστου καὶ οὐδεμία κοινωνία φωτὶ πρὸς ⟨σ⟩κότος. Ταῦτα δὲ πάντα οἱ κατὰ τῶν ἀσεβῶν ἀκούσαντες ἐννοήσατε τὸ μέγεθος τῆς πλάνης καὶ τῆς ἀσεβείας καὶ ἀπωλείας αὐτῶν· καὶ τελείως μισήσατε καὶ βδελύξασθε αὐτούς, ὅτι τῷ θεῷ ἡμῶν εἴη δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

си мислите, че един е неверникът дома, а останалите, които съжителствуват с него, са вярващи. Уверявам ви, че и аз, като запитах заловения от нас нечестивец, се убедих, че където се намира един от тях, всички от дома му мислят като него. Който се преструва, че пости и че е набожен и се моли, било мъж или жена, е истински слуга на дявола, наставник и учител на останалите. И всички, които биха свидетелствували с него, мислят същото като него. Защото нищо общо няма [верният] с неверния и никаква връзка светлината с тъмнината. Като чуете всичко това срещу нечестивците, познайте големината на тяхната измама, безчестие и гибел. И напълно ги намразете и се отвратете от тях за слава на нашия бог во веки веков. Амин.

II. ЕВТИМИЙ ЗИГАВИН

Данните за живота на видния византийски богослов Евтимий Зигавин са твърде оскъдни. Знае се само, че той живял в края на XI и в началото на XII в. и че бил монах в Цариград.

Писателската му дейност процъфтява през времето на император Алексий I Комнин (1081—1118), който ценял високо способностите му. Особено ласкаво се отзовава за неговата начетеност дъщерята на императора — Ана Комнина — в историческото си съчинение „Алексиада“: „Той беше достигнал върха на граматическата наука, беше добре запознат с риториката и разбираше църковното учение като никой друг.“ По внушение на Алексий, който преследвал всякакви отстъпления от официалните църковни догми, проявявал жив интерес към богословските дискусии и сам бил богословски писател, Зигавин написал главния си обширен труд против ересите във Византийската империя. Дори самото заглавие на труда му „*Πανοπλία δογματική*“ („Догматическо всеоръжие“) било предложено от императора, както авторът признава в увода.

„Догматическо всеоръжие“ се състои от 28 глави, нееднакви по обем, от които всяка е насочена срещу отделна ерес. Целта на Зигавин е да защити православието срещу многото ереси, които се разпространявали из пределите на империята. Отначало авторът излага християнското учение за Троицата, въплъщението и сътворението на света. След това той оборва ересите, които съществували преди него — по-накратко по-старите, по-обширно поновите. В последните глави (23—28) той полемизира със съвременните му ереси — на арменяни, павликяни, масалиани, богомили и най-накрая сарацини.

Докато в началото трудът има повече компилативен характер, с обилни цитати, които „опитни и учени мъже“ събирали за Зигавин от книгите на предишни църковни отци, последната част е по-оригинална. Специално гл. 27 съдържа подробно изложение на богомилските възгледи, които авторът придружава със свои опровержения. Тук фактическият материал е от първокласно значение, тъй като представя автентичните изказвания на тогавашния водител на богомилската ерес врача Василий, които той, подмамен, разкрил пред най-върлия си враг — император Алексий. Сведенията за богомилското учение, които Зигавин дава по нареждане на императора и които се схождат с описанието на Ана Комнина, се отнасят до основните положения на богомилската космогония, христология и есхатология. Те са извънредно ценен извор за богомилството във Византия и по-специално в българските земи през XII в.

Евтимий Зигавин е написал още две по-кратки съчинения срещу еретиците, включително и срещу богомилите: „Опровержение и унищожение на богохулната и многообразна ерес на безбожниците масалиани, рундети и богомили, наричани още евхити, ентусиасти и маркионисти“ и „Изобличение на ереста на безбожните и нечестиви еретици, наричани фундети“. В първото авторът споменава имената на главния водител на богомилите Тихик и на неговите ученици Додоа, Сава, Аделфий, Ерма и Симеон. На Тихик той приписва авторството на коментари върху Писанието.

От перото на Зигавин са излезли също екзегетски съчинения върху много книги от Библията. Поради общите изводи някои от тия трудове на Зигавин показват известни сходства с новозаветните коментарии на охридския архиепископ Теофилакт.

РЪКОПИСИ: Cod. Vindob. Theol. Graec. 307 (XIV s.); Cod. Vindob. Theol. Graec. 193 (XIV s.); Cod. Graec. universitatis Rheno-Traiectinae (XIII s.) (по него главно е текстът в изданието на Ficker); Cod. Vindob. Theol. Graec. 306 (XIV s.); Cod. Vatic. Graec. 840 (XV s.); T. Cod. Graec. 200 (b. III. 11) universitatis Taurinensis (XIV s.); Cod. Mosquensis bibl. synod. 387 (XII s.) (по него са текстовете от Patrologia Graeca).

ИЗДАНИЯ: Migne, PGr. 130, 3 (1865), p. 20—1360; (II) 131 (1864), p. 40—57; G. Ficker, Die Fundagiagiten, Leipzig, 1908, p. 89—111. Преводът е направен по последното издание. Съществувал е превод на Зигавин на български език от XV в.

КНИЖНИНА: C. Ullmann, Nicolaus von Methone, Euthymios Zigabenos und Nicolaus Choniates, Theologische Studien und Kritiken, 6 (1833), p. 663—674. — N. Kalogeras, *Ἀλέξιος ὁ Κόμνηνος, Εὐθύμιος ὁ Ζιγαβηνὸς καὶ οἱ αἱρετικοὶ Βογομίλοι*, *Ἀθήναιον*, 9 (1880), p. 255—284, 10 (1881), p. 331—362. — N. Kalogeras, *Εἰς τὰς ἐπιστολὰς τοῦ Παύλου ὑπομνημάτων τοῦ Εὐθυμίου Ζιγαβηνοῦ*, I—II, Athen, 1887. — Krumbacher, G. B. L., München, 1897², p. 82—85. — Jugie, M. La vie et les oeuvres d'Euthyme Zigabène, Echos d'Orient, 15 (1912), p. 215—222. — Moravcsik, Byzantinoturcica I², p. 265. — Д. Ангелов, Богомилството в България, София, 1961².— Д. Ангелов, Б. Примов и Г. Батаклиев, Богомилството в България, Византия и Западна Европа в извори, София, 1967, с. 73—90.

EUTHYMII ZIGABENI DE HAERESI BOGOMILORUM NARRATIO

Ἔκθεσις περὶ τῆς αἱρέσεως τῶν Πογομίλων, συγγραφεῖσα[a] *παρὰ τοῦ μοναχοῦ Εὐθυμίου τοῦ Ζιγαβηνοῦ.*

Πηγὴ μέν τις βορβορώδης καὶ ῥίζα πονηρὰ τῆς ἐπιπολαζούσης νῦν τῶν Πογομίλων δυσσεβείας ἡ τῶν Μασσαλιανῶν καθέστηκεν αἵρεσις· ἐκεῖθεν γὰρ καθάπερ ὀχετοὶ δυσώδεις ἐρρύησαν ἄλλαι τε πολλαὶ καὶ αὕτη· κοινωνοῦσαι μὲν ἀλλήλαις εἰς πολλά, διαφερόμεναι δὲ εἰς πλείονα. Τινὲς δὲ τῶν εὐσεβῶν, ὁ μὲν ἐκεῖνο τὸ ῥεῖθρον ἐγγράφως ἐστηλίτευσεν εὑρεθὲν ἐπὶ τῶν αὐτοῦ χρόνων, ὁ δὲ πάλιν ἕτερον· κατὰ τοὺς ἐς ὕστερον ἀκμάσαν καιρούς· τοῦτο δὲ τὸ τῶν Πογομίλων ἐπὶ τῶν καθ' ἡμᾶς ἡμερῶν μάλιστα πλατυνθὲν καὶ πολλαχοῦ διασπαρὲν ἡμεῖς ἄρτι πρῶτον δημοσιεύομεν· οὐκ ὀλίγα μὲν συμφερόμενον τοῖς ὑπὸ τῶν πρὸ ἡμῶν στηλογραφηθεῖσι, μυρίοις δὲ δόγμασιν ἀφιστάμενον αὐτῶν καὶ διαφόροις παρατροπαῖς καινοπρεπέστερον αὐτῶν καὶ ὂν καὶ φαινόμενον. Οὗπερ ἡ διήγησις καὶ μόνον μολυσμός ἐστι καὶ γλώσσης καὶ ἀκοῆς καὶ διανοίας. Ἀλλ' ἐπεὶ χρὴ μιμεῖσθαι τοὺς διδασκάλους τὸν ἰατρόν, οὐ μόνον περὶ τῶν ὠφελίμων διδάσκοντα βοτανῶν, ἀλλὰ καὶ περὶ τῶν

ИЗЛОЖЕНИЕ ЗА ЕРЕСТА НА БОГОМИЛИТЕ ОТ ЕВТИМИЙ ЗИГАВИН

Изложение за ереста на богомилите, съставено от монаха Евтимий Зигавин[a]

Някакъв нечист извор и порочна основа на разпространяващото се сега безчестие на богомилите е масалианската ерес. От нея като зловонни потоци са потекли и много други [ереси], а и богомилството. Те се схождат по много неща, а се различават по още повече. Едни от благочестивите са предали писмено онова учение, както са го видели по свое време, други пък другояче — както се е развило по-късно. Ние разглеждаме найнапред учението на богомилите, тъй като то през наши дни е разпространено най-широко на много места. Немалко се схожда то с описаното от нашите предшественици, но по безброй догми се различава от него и с различните си отклонения се явява по-ново и в действителност, и на глед. Неговото изложение е само оскверняване на езика, на слуха и на разума. Но понеже трябва учителите да подражават на лекаря, който поучава не само за полезните билки, но и за βλαβερῶν τε καὶ θανασίμων, ἵνα ταῖς μὲν χρῶνται, τὰς δὲ γνωρίζοντες φεύγωσιν, οὐκ ἄκαιρον ἂν εἴη καὶ περὶ ταύτης διαλαβεῖν τῆς αἱρέσεως, πολλαῖς μὲν καὶ ἄλλαις ἐπικοινωνούσης, πάσας δὲ νικώσης ταῖς ἀπειροπληθέσι τῆς βλασφημίας ὑπερβολαῖς. Ἣν ἄχρι καὶ νῦν τῇ μορφώσει τῆς εὐσεβείας ἐπικαλυπτομένην καὶ διὰ τοῦτο δυσφώρατον οὖσαν οὐ τοῖς ἁπλῶς ὁρῶσιν, ἀλλὰ καὶ τοῖς ὀξυωπεστέροις καὶ συνετώτερόν τι πολλῶν βλέπουσιν, εὐμηχάνως καὶ πάνυ θαυμασίως ἐθήρευσεν ὁ θειότατος καὶ μέγιστος ἐν βασιλεῦσιν Ἀλέξιος· μετακαλεσάμενος γὰρ τὸν κορυφαῖον τῶν διδασκάλων αὐτῆς — Βασίλειος ἦν οὗτος ὁ ἰατρός, ἀνὴρ ὀλέθριος μάλιστα καὶ δεινὸς τὸ πονηρὸν ἐπιχρῶσαι τῇ φαντασίᾳ τοῦ κρείττονος, ἀσεβείας θησαυρός, μοχθηρίας ἄβυσσος, ῥᾳδιουργίας ἄπειρόν τι καὶ δυσδιεξόδευτον πέλαγος — καὶ τὸ πρῶτον ἐντίμως ὑποδεξάμενος αὐτὸν καὶ τῆς παρ' ἑαυτῷ καθέδρας ἀξιώσας καὶ λόγων μεταδοὺς ἡδίστων καὶ προσηνοῦς ὁμιλίας καὶ γλυκείας ἐν τῷ προσδιαλέγεσθαι χάριτος καὶ συνετῶς ὑποκρινάμενος τὸν μαθητιῶντα, ῥᾷον ἐξηπάτησε τὸν ἐξαπατήσαντα πολλοὺς εἰς ἀπώλειαν καὶ πᾶσαν τὴν ἐνδομυχοῦσαν τῷ σαπρῷ τούτῳ καὶ καταπτύστῳ γέροντι κακοήθειαν ὀξύτητι φρενὸς καὶ δεξιότητι φύσεως ἀνιχνεύων, οὐδὲν ὑπολιπὼν ἀνεξερεύνητον ἢ ἀθέατον. Ἔνθεν τοι καὶ καθάπερ ἀπό τινος φωλεοῦ παντοδαπὰ καὶ ποικιλόμορφα θηρία τῆς σκοτεινῆς αὐτοῦ καρδίας ἐξελκύσας τὰ μιαρὰ καὶ ἰοβόλα καὶ πολυπρόσωπα δόγματα ταῖς μηχαναῖς τῆς ὑποκρίσεως καὶ κατασοφισάμενος εὐφυῶς μάλα τὸν κρανόληρον γέροντα, τὸ παλαιὸν κακόν, τὸ τῆς ἀσεβείας ἀνάκτορον, ἐκέλευσεν ἡμῖν γραφῇ παραδοῦναι ταῦτα καὶ θριαμβεῦσαι τὰ καταγέλαστα μυστήρια τῆς εἰρημένης αἱρέσεως, ἵνα γνῶσιν πάντες, ὅτι μακροὶ ταῦτα λῆροι τοῦ διαβόλου θήρατρα, ψυχῆς ἀστηρίκτου παγίδες, τῆς ἀπωλείας πολυτελὲς ἐργαστήριον.

---

[a] In PGr 130, 1289 *ΤΙΤΛΟΣ ΚΖ'. Κατὰ Βογομίλων. Βόγον μὲν γὰρ ἡ τῶν Βουλγάρων γλῶσσα καλεῖ τὸν θεόν, Μίλον δὲ τὸ ἐλέησον. Εἴη δ' ἂν Βογόμιλος καὶ αὐτοὺς ὁ τοῦ θεοῦ τὸν ἔλεον ἐπισπώμενος.*

[a] В PGr., 130, 1289 заглавието е: Глава XXVII. Срещу богомилите. „*Βόγον*" български език нарича „бога", а „*μίλον*" — „смили се". Така че „богомил" у тях е този, който измолва милостта на бога.

Ταύτην κατώρθωσε τὴν εὐβουλίαν ὁ εὐσεβέστατος καὶ ἀοίδιμος ἡμῶν βασιλεύς, πάρεργον ποιησάμενος τῆς ἑαυτοῦ σοφίας, τὸν ἐκ πανουργίας σοφόν, τὸν κατὰ πάντων μεγαλαυχούμενον καὶ θᾶττον ἀποφήνας τὸν γέροντα νηπιόφρονά τε καὶ παιδαριογέροντα καὶ στήσας τρόπαιον κατὰ τῆς ἐκείνου πλάνης, τῶν ἄλλων αὐτοῦ πολλῶν καὶ περιφανῶν τροπαίων ὑψηλότερον καὶ θαυμασιώτερον· ὅσῳ πρότερον μὲν ἔθνη κατηγωνίζετο, νῦν δὲ τὸν δράκοντα τὸν ἀποστάτην, τὸν νοῦν τὸν μέγαν τὸν Ἀσσύριον, τὸν κοινὸν ἁπάντων ἐχθρόν. Ἐγὼ τοιγαροῦν καὶ τἄλλα τούτου διὰ παντὸς προτερήματα θαυμάζων, ὅπως ἐστὶν ὀξὺς τὴν σύνεσιν, ἀσφαλὴς τὴν μνήμην, ἐν λόγοις ἡδύς, ἐν τρόποις ἡδύτερος, ταχὺς τὸ μέλλον ἰδεῖν, προμηθὴς φυλάξασθαι, φοβερὸς τοῖς ἐχθροῖς, ποθεινὸς τοῖς φίλοις καὶ ὑπηκόοις, ἕτοιμος μεγάλας

вредните и отровните, за да употребяват [хората] едните, а да отбягват другите, след като ги познават, не би било неуместно да се занимаем и с тази ерес. Тя се схожда и с много други, но е взела превес над всички с невероятно големите си богохулства. Тази ерес, и до днес прикриваща се под формата на благочестие и затова трудно уличима не само от обикновено зрящите, но и от по-зорките и наблюдаващите по-проницателно от мнозина, беше разобличена ловко и по съвсем убедителен начин от най-божествения и най-великия между императорите Алексий. Той покани водача на наставниците ѝ — това беше врачът Василий, пагубен мъж и крайно способен да показва злото под образа на доброто — хранилище на безчестието, бездна от подлост, безкрайно и неизбродимо море от безсрамие. Най-напред той го посрещнал почтително и го удостоил да седне до него и като го заговорил с приятни слова в благосклонна и приятелска беседа, се престорил негов ученик и лесно подмамил този, който бил подмамил мнозина към гибел, и проследил цялото злонравие, скрито дълбоко в душата на този нечестив и достоен за презрение старец чрез умелото си държане, без да остави нищо неизследвано или неразкрито. Очевидно тогава измъкнал, като от някаква яма, различни и разнообразни скотове, нечистите и отровни догми на тъмната му душа чрез изкусните си преструвки и след като надхитрил изкусно пребъбривия старец — старото зло, сбиталището на безчестието, той ми заповяда да предам писмено това и да оборя смешните тайни на споменатата ерес, за да знаят всички, че това са големи пустословия, уловки на дявола, клопки за слаби души, прекрасно средство за погубване.

Този благочестив замисъл беше изпълнен добре от най-благочестивия и уважаем наш император, който показа нова проява на собствената си мъдрост и бързо разкри изобретателния в хитростите, самохвалствуващия пред всички, безразсъдния и с детински ум старец и спечели над неговата заблуда победа, по-възвишена и по-удивителна от многото други блестящи победи. Толкова повече, че по-напред надвиваше племена, а сега отцепника змей,[1] големия асирийски ум,[2] общия враг на всички. И тъй аз, като се учудвам и на другите негови предимства във всяко отношение, колко е остър в ума си, сигурен в паметта си, сладкодумен в беседите, още по-приятен в държането си, бърз в предвиждането на бъдещето, предвидлив в отбраната, страшен за враговете, любезен към приятелите и поданиците αὐτουργεῖν πράξεις, ἱκανὸς τὰ κατορθώματα διασώζειν, πρόθυμος εὐεργετεῖν, ὀκνηρὸς κολάζειν, φίλος ἀληθείας, ψεύδους ἐχθρὸς καὶ συνελόντα φάναι πάσης ἀρετῆς καταγώγιον, τοῦτο πλέον ὑπερεκπλήττομαι, πῶς οἱ μυρίοι σοφοὶ καὶ σύμπαντες ἀρχιερεῖς καὶ ὅλος ὁ τῶν περὶ λόγους | ἀναστρεφομένων κατάλογος οὐκ ἴσχυσαν τοσούτοις ἐτῶν διαπράξασθαι περιόδοις· μόνος αὐτὸς κατώρθωσεν ὀλίγας ἡμέρας ἀναλώσας καὶ δείξας, ὅτι μεγάλα δύναται σύντονος προθυμία τῆς ἄνωθεν αὐτῇ συνεφαπτομένης χάριτος.

---

[1] Срв. Йов 26, 13.
[2] Срв. Исая 10, 12.

Ἵνα δὲ καὶ καθ' εἱρμὸν ὁ λόγος ἡμῖν προΐοι, διηγητέον ἄνωθεν, ἣν αὐτοὶ μὲν καλοῦσιν ἀρχαιολογίαν καὶ θεολογίαν, ἡμεῖς δὲ μωρολογίαν καὶ ἀθεολογίαν, ἣν τοῖς ἀρχομένοις πτεροφυεῖν εἰς τὴν θρησκείαν αὐτῶν μετὰ τὰς προκατηχήσεις παραδιδόασι, τελευταῖα τηροῦντες τὰ μιαρώτερα δόγματα καὶ τοῖς τελειοτέροις εἰς ἀσέβειαν ὡς μυστικὰ ταῦτα παραφυλάττοντες· ἐπεὶ δὲ πολλὰ τούτων εἰσὶ περιπετῆ καὶ πεπλανημένα καὶ ἀλλήλοις μαχόμενα, τῇ τῶν αἱρεσιαρχῶν ἀνοίᾳ ταῦτα λογιστέον, οὕτω προδήλως ἐναντιολογούντων καὶ κατὰ τὴν παροιμίαν τοῖς οἰκείοις ἁλισκομένων πτεροῖς· τοιοῦτον γὰρ ἡ κακία καὶ τῇ ἀρετῇ καὶ ἑαυτῇ προσπολεμοῦσα καὶ τοῖς ἰδίοις περιπειρομένη βέλεσι.

Μυθολογοῦσιν, ὅτι ὁ ἀγαθὸς Θεὸς καὶ πατὴρ χιλίας χιλιάδων καὶ μυρίας μυριάδων ἀγγέλων κτίσας δευτερεύοντα ἑαυτοῦ καὶ οἰκονόμον εἶχε τὸν Σαμαήλ,[a] τὴν αὐτὴν αὐτῷ περικείμενον καὶ μορφὴν καὶ στολὴν καὶ ἐν δεξιᾷ αὐτοῦ καθήμενον ἐπὶ θρόνου καὶ τῆς μετ' αὐτὸν δευτέρας τιμῆς ἀξιούμενον, ἐφ' ᾗ μεθυσθέντα καὶ εἰς ἀπόνοιαν ἐπαρθέντα μελετῆσαι ἀποστασίαν καί ποτε δραξάμενον καιροῦ καθεῖναι πεῖραν ταῖς λειτουργικαῖς ἁπάσαις δυνάμεσιν, εἰ βούλοιντο κουφιζόμεναι τοῦ βάρους τῆς λειτουργίας ἀκολουθῆσαι τούτῳ καὶ ἀνταπαναστῆναι τοῦ Πατρός. Εἰς πίστιν δὲ τῆς λῃρωδίας ταύτης παράγουσι τὴν ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ παραβολὴν τοῦ οἰκονόμου τῆς ἀδικίας, τὰ τῶν ὀφειλόντων χρέη μειώσαντος. Τοῦτον γὰρ εἶναι τὸν Σαμαὴλ καὶ περὶ τούτου γεγράφθαι τὴν τοιαύτην παραβολήν. Εἶτα τοὺς εἰρημένους ἀγγέλους δελεασθέντας τῷ κουφισμῷ τῆς ἐπιπόνου λειτουργίας καὶ ταῖς ἄλλαις ὑπερόγκοις ἐπαγγελίαις, Θήσω γάρ, φησί, τὸν θρόνον μου ἐπὶ τῶν νεφελῶν καὶ ἔσομαι ὅμοιος τῷ

---

[a] In P. Gr.: Σαταναήλ.

---

[3] Лука 16, 6. [4] Исая 14, 14.

си, готов да извърши велики дела, способен да затвърди успехите си, склонен да прави благодеяния, бавен в наказанията, приятел на истината, враг на лъжата, съумял да се покаже убежище на всяка добродетел, повече се учудвам на това, че безбройните мъдреци и всички архиереи и целият списък на тия, които са се насочили към словото, не са могли да постигнат това за толкова много години. Той самичък за малко дни оправи [всичко това] и показа, че усърдната готовност, подпомогната от благоволението свише, може [да извърши] велики дела.

И за да протича словото ни последователно, трябва отначало да се обясни какво наричат те старословие и богословие, а ние— глупости и никакво богословие, което те с първите поучения предават на тези, които започват да навлизат във вярата им, като запазват нечестивите си догми за най-накрая и ги държат като тайнства за по-напредналите в безчестието. А понеже много от тези догми са объркани, погрешни и противоречиви едни на други, те трябва да се тълкуват от глупостта на водачите на ереста. Те така явно си противоречат и според поговорката „сами се оплитат в собствените си мрежи“. Наистина злото толкова воюва с истината и със себе си и се пронизва от собствените си стрели.

Разправят, че добрият бог и отец, след като създал безбройни хиляди и несметни множества ангели, имал втори след себе си и главен уредник Самаил[а], който облякъл същия като на бога образ и дреха и седнал на трон отдясно до него, бил удостоен на второ място след него по почит, от която опиянен и възгордян безумно, замислил да се отцепи от бога. И когато веднъж намерил удобен случай, той се опитал да разбунтува всички служещи сили, като ги подканвал, ако искат, да отхвърлят бремето на службата си, да го последват и да въстанат против отца. За потвърждение на тази глупост те се позовават на притчата в евангелието на Лука за несправедливостта на управителя, който намалил задълженията на длъжниците [на господаря си].[3] Този [управител] бил Самаил и за него била написана притчата. След това споменатите ангели, подмамени от обещанието за облекчение от трудната им служба и от другите прекомерни обещания (защото им казва: „Ще положа престола си над облаците и ще бъда подобен на всевишния“[4]), минали на негова страна и взели уча-

---

[а] В PGr. вм. Самаил: Сатанаил.

ἐνιέντα, συναπαχθῆναι τούτῳ καὶ κοινωνῆσαι τῆς ἐπιβουλῆς· αἰσθόμενον δὲ ταύτης τὸν θεὸν ῥῖψαι τούτους ἄνωθεν ὁμοῦ πάντας.[α]

Τὸν δὲ Σαμαὴλ ἐν ἀπορίᾳ γενόμενον[β] καὶ μὴ δυνάμενον τοῖς ὕδασιν ἐφιζάνειν· ἡ γῆ γάρ, φησίν, ἦν ἀόρατος καὶ ἀκατασκεύαστος· ἐπείπερ ἔτι καὶ τὴν θείαν περιέκειτο μορφὴν καὶ στολὴν καὶ **τὸ δημιουργικὸν** ἐκέκτητο **χάρισμα**, συγκαλέσαι[γ] τὰς δυνάμεις καὶ θάρσος αὐταῖς ἐμβαλεῖν καὶ εἰπεῖν, ὡς· ἐπεὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ὁ θεὸς ἐποίησεν· ἐν ἀρχῇ γάρ, φησίν, ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ποιήσω κἀγὼ δεύτερον οὐρανὸν ὡς δεύτερος θεὸς καὶ τὰ ἑξῆς ἀκολούθως, καὶ εἶπε· Γενηθήτω στερέωμα· καὶ ἐγένετο· γενηθήτω τάδε καὶ τάδε, καὶ γεγόνασιν ἅπαντα. Καὶ κατακοσμήσας μὲν τὸν δεύτερον οὐρανόν, περιελὼν δὲ τὸ ὕδωρ | ἀπὸ προσώπου τῆς γῆς καὶ τάξας ἐν οἷς ἐδοκίμασε τόποις, ὡς ἡ τῆς κοσμογενείας βίβλος διέξεισι, καὶ καλλωπίσας αὐτὴν[δ] καὶ καθωραΐσας ἀπεκλήρωσε ταύτην ἑαυτῷ τε καὶ ταῖς ἀποστατικαῖς δυνάμεσιν οἰκητήριον. Ἔπειτα πλάσας τὸ σῶμα τοῦ Ἀδὰμ ἀπὸ γῆς ὕδατι φυραθείσης ἔστησεν ὀρθόν, ἀφ' οὗ κατερρεύσασά τις νοτὶς ἐπὶ τὸν δεξιὸν πόδα, καὶ διὰ τοῦ μεγάλου δακτύλου χυθεῖσα κατὰ τοῦ ἐδάφους ἑλικοειδῶς ἐρρύη καὶ σχῆμα ὄφεως ἀπετέλεσεν.

стие в съзаклятието. Но щом бог го открил, изхвърлил всички вкупом отгоре.[а]

Самаил изпаднал в затруднено положение[б] и не могъл да седи над водата (защото, казва, земята била невидима и неустроена). Понеже той още запазвал божия образ и одежда и притежавал творческия дар, свикал[в] силите и им вдъхнал кураж и казал, че понеже бог е създал небето и земята: „В началото, казва, създаде бог небето и земята“, аз като втори бог ще създам второ небе и по същия ред останалите неща. И казал: „Да бъде твърдина!“ И станало. „Да бъде това и това!“ И станало всичко. Устроил второто небе, разлъчил водата от лицето на земята и я събрал в местата, които избрал, както е писано в книгата за сътворението на света. Украсил земята,[г] разхубавил я и си я определил за свое жилище и за жилище на отцепническите сили. След това създал тялото на Адам от пръст, смесена с вода, и го поставил изправен. От него се стекла някаква влага по десния му крак и като изтекла по големия му пръст, [струята] се извила

[α] In P. Gr. 130, 1296, B 4 — D 3 additur: Ὦ τῆς ἀναιδεστάτης καὶ προδήλου μυθοπλαστίας! Εἰ γὰρ φύσει θεοῦ υἱὸς ἦν ὁ Σαταναήλ, ἦν ἂν καὶ φύσει θεός, καὶ παντελῶς ἄτρεπτός τε καὶ ἀναλλοίωτος. Ἴδιον γὰρ τῆς θείας φύσεως ἡ ἀτρεψία, καὶ τὸ ὡσαύτως ἔχειν ἀεί. Ἐπεὶ δὲ ἐτράπη, καὶ ἐξέπεσε, καὶ ἄνωθεν κατενήνεκται, οὐκ ἦν φύσει υἱὸς θεοῦ, ἀλλά τις ἑτέρα φύσις ἀγγελικὴ καὶ κτιστή, καὶ διὰ τοῦτο τρεπτή. Εἰ δὲ καὶ μονογενής ἐστιν ὁ τοῦ πατρὸς Λόγος, ὡς ὁ εὐαγγελιστὴς ἐδίδασκεν Ἰωάννης, Ἐθεασάμεθα γάρ, φησί, τὴν δόξαν ὡς μονογενοῦς παρὰ πατρός, καὶ αὖθις, Ὁ μονογενὴς υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός, ἐκεῖνος ἐξηγήσατο· ληροῦσι, καὶ παραπαίουσιν οἱ λέγοντες ἀδελφὸν αὐτοῦ τὸν Σαταναήλ. Εἰ γὰρ εἶχεν ἀδελφόν, οὐκ ἂν ὠνομάζετο μονογενὴς ὁ Λόγος. Εἰ δὲ καὶ ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ Λόγος, κατὰ τὸν εὐαγγελιστὴν Ἰωάννην, τουτέστιν ἀεὶ ἦν μετὰ τοῦ πατρός, καὶ ἐν τῷ πατρί, πῶς ἂν ἦν ἕτερος ἀδελφὸς πρὸ αὐτοῦ τοῦ προαιωνίου καὶ συνανάρχου τῷ πατρί, καὶ οὐ χωρὶς οὐδέποτε ἦν ὁ πατήρ, ἵνα μὴ ἄλογος, καὶ ἄσοφος, καὶ ἀδύνατος εὑρεθείη; Ταῦτα γάρ ἐστιν ὁ φύσει υἱὸς καὶ Λόγος αὐτοῦ. Ἐπεὶ δὲ οὐκ ἦν ὁ Σαταναὴλ φύσει υἱὸς θεοῦ, καθὼς ἀπεδείξαμεν, πάντως οὐδὲ τὴν τοῦ θεοῦ περιέκειτο μορφὴν καὶ στολήν, ἵνα παραδράμωμεν εἰπεῖν, ὅτι τῶν σωμάτων καὶ τῶν συνθέτων ἐστὶν ἡ στολὴ καὶ περιβολή· οὐδὲ ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐκάθειο, οὐδὲ περὶ τούτου ἡ ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ περὶ τοῦ οἰκονόμου τῆς ἀδικίας ἐξετέθη παραβολή.

[β] In PGr. 130, 1296 D 4 loco: Τὸν δὲ Σαμαὴλ ἐν ἀπορίᾳ γενόμενον: Λέγουσι τὸν Σαταναὴλ ἄνωθεν ῥιφέντα.

[γ] In PGr. 130, 1296 D 9 additur: συγκαταπεσούσας αὐτῷ.

[δ] In PGr. 130, 1297 A 7—8 additur: καὶ τὰ ἐκ γῆς πάντα φυόμενα δημιουργήσας, καὶ τὰ ζῶα, καὶ εἴ τι ἕτερον.

---

[5] Йоан 1, 14. [6] Йоан 1, 18.

[а] В PGr. 130, 1296, В 4—Д 3 продължава: О най-безсрамна и очевидна лъжа! Защото, ако по природа Сатанаил беше син на бога, трябваше да бъде и по природа бог, и изобщо неизменен и непроменлив. Защото на небесната природа е свойствена неизменността и тя остава винаги една и съща. Но понеже беше променен, отпаднал и хвърлен отгоре, той не е по природа син на бога, но от някаква друга природа — ангелска и създадена, поради това променлива. И ако словото на отца е единородно (както ни учи евангелист Йоан: „Видяхме — казва той — славата му, слава като на единородния от отца“,[5] и също: „Единородният син, който е в лоното на отца, той го изяви“[6]), говорят глупости и са безумни тези, които казват, че Сатанаил е негов брат. Защото, ако той имаше брат, не щеше словото да се нарича единородно. Ако пък в началото е било словото и словото е било в бога и бог е бил словото според евангелист Йоан, това значи, че винаги е било с отца и в отца, как тогава щеше да има друг брат преди него предвечния и едновечен с отца и без което никога не е съществувал отец, за да не се окаже безсловесен, безразсъден и немощен. Ето това са по природа синът и словото му. И тъй, понеже Сатанаил не е бил по природа син на бога, както посочихме, явно той не е приел образа и одеждата на бога, за да не кажем, че одеждата и мантията подобават за тялото и за външността, и не е седял отдясно на трона на величието и за него не се отнася притчата за несправедливия управител в евангелието на Лука.

[б] В PGr. 130, 1296 D 4 вм. Самаил изпаднал в затруднено положение: Разказват, че Сатанаил бил хвърлен от небето.

[в] В PGr. 130, 1296, D 9 продължава: падналите заедно с него.

[г] В PGr. 130, 1297, А 7—8 продължава: и сътворил всичко, което се ражда от земята — и животните, и каквото друго има.

Ἀθροίσας δὲ τὸ ἐν ἑαυτῷ πνεῦμα ὁ Σαμαὴλ ἐνέπνευσε τῷ πλασθέντι σώματι ζωήν, τὸ δὲ ἐξ αὐτοῦ πνεῦμα διὰ χαυνότητα καταρρυὲν ἐπὶ τὸν δεξιὸν ὁμοίως πόδα καὶ διὰ τοῦ μεγάλου δακτύλου χυθὲν εἰς τὴν ἑλικοειδῆ ῥανίδα κατέσκηψεν. Ἡ δὲ παραυτίκα ζωοποιηθεῖσα καὶ ἀποτμηθεῖσα τοῦ δακτύλου γέγονεν ὄφις καὶ εἵρπυσε. Διὰ τοῦτο γὰρ καὶ φρόνιμον αὐτὴν γενέσθαι, τοῦ ἐμφυσήματος τοῦ Σαμαὴλ εἰς ψυχὴν αὐτῆς καταστάντος, ὅπερ ἰδὼν ὁ καινὸς οὗτος δημιουργὸς καὶ γνούς, ὅτι μάτην πονεῖ, διεπρεσβεύσατο πρὸς τὸν ἀγαθὸν πατέρα καὶ παρεκάλεσε πεμφθῆναι παρ' αὐτοῦ πνοήν, ἐπαγγειλάμενος κοινὸν εἶναι τὸν ἄνθρωπον, εἰ ζωοποιηθείη, καὶ ἀπὸ τοῦ γένους αὐτοῦ πληροῦσθαι τοὺς ἐν οὐρανῷ τόπους τῶν ἀπορριφέντων ἀγγέλων. Τὸν δὲ θεὸν ὡς ἀγαθὸν ἐπινεῦσαι καὶ ἐμφυσῆσαι τῷ παρὰ τοῦ Σαμαὴλ πλασθέντι πνεῦμα ζωῆς καὶ γενέσθαι παραυτίκα τὸν ἄνθρωπον εἰς ψυχὴν ζῶσαν λαμπρύνα|σαν τὸ σῶμα καὶ πολλαῖς αὐτὸ καταφαιδρύνασαν χάρισιν. Εἶτα τῆς Εὔας ἐκεῖθεν ὁμοίως ποιηθείσης καὶ ταῖς ἴσαις ἀστραψάσης λαμπρότησι φθονῆσαι τὸν Σαμαὴλ καὶ μεταμεληθῆναι καὶ κινηθῆναι πρὸς ἐπιβουλὴν τοῦ ἰδίου πλάσματος καὶ εἰσρυῆναι τοῖς ἐγκάτοις τοῦ ὄφεως καὶ ἐξαπατῆσαι τὴν Εὔαν καὶ συγγενέσθαι αὐτῇ καὶ ποιῆσαι ἔγκυον, ἵνα τὸ σπέρμα τούτου προλαβὸν κατακρατήσῃ τοῦ ἀδαμιαίου σπέρματος καὶ ὡς οἷόν τε διαφθείρῃ καὶ μὴ συγχωρῇ αὐξάνεσθαι καὶ πληθύνεσθαι. Τὴν δὲ ταχέως ὠδινήσασαν ἀπογεννῆσαι τὸν Κάιν ἐκ τῆς συνουσίας τοῦ Σαμαὴλ καὶ ἀδελφὴν δίδυμον ὁμοιότροπον, ὄνομα αὐτῇ Καλμενά.[α] Ζηλοτυπήσαντα δὲ τὸν Ἀδὰμ συνελθεῖν αὐτὸν τῇ Εὔᾳ καὶ γεννῆσαι τὸν Ἄβελ, ὃν ἀνελὼν εὐθὺς ὁ Κάιν τὸν φόνον εἰς τὸν βίον εἰσήγαγε. Διὰ τοῦτο καὶ τὸν ἀπόστολον Ἰωάννην εἰπεῖν, ὅτι· ὁ Κάιν ἐκ τοῦ πονηροῦ ἦν. Τοῦ Σαμαὴλ μέντοι συμφθαρέντος ἀσελγῶς διὰ μέσου τοῦ ὄφεως τῇ Εὔᾳ, ἀφαιρεθῆναι τὴν θείαν αὐτίκα καὶ μορφὴν καὶ στολὴν καὶ τὸ δημιουργικὸν ὡς εἴρηται χάρισμα καὶ τὴν τοῦ θεοῦ προσηγορίαν. Θεὸν γὰρ ἄχρι τότε καὶ αὐτὸν ὀνομάζεσθαι. Καὶ γυμνωθέντα τούτων ἁπάντων σκοτεινὸν γενέσθαι καὶ δυσειδῆ. Τὸν δ' ἀγαθὸν Πατέρα μέχρι τούτου στήσαντα τὴν ὀργὴν ἀφεῖναι τοῦτον κοσμοκράτορα καὶ κύριον, ὃν αὐτὸς ἐδημιούργησε πεσὼν ἄνωθεν.[β]

по земята и [така] той създал образа на змията. Самаил събрал своя дух и вдъхнал живот на оформеното тяло, но духът му потекъл през празното пространство също по десния му крак и като изтекъл през големия му пръст, се превърнал на извита капка. Тя веднага се оживила и след като се отделила от пръста, се превърнала на змия и запълзяла. Затова тя е съобразителна, защото духът на Самаил ѝ бил вдъхнат за душа. След като видял това новият творец и разбрал, че напразно се труди, изпратил пратеници при добрия отец и поискал той да му прати своя душа, като обещал, че човекът ще бъде общ, ако получи живот, и че от неговото потомство ще се изпълнят местата в небесните селения, от които били низвергнати ангелите. И бог, понеже е добър, се съгласил и вдъхнал на сътворения от Самаил духа на живота — човекът веднага добил жива душа, която осветила тялото и го украсила с много прелести. След като по същия начин сътворил и Ева, и тя блеснала с подобен блясък, Самаил, изпълнен от завист, се разкаял и започнал да злоумишлява срещу собственото си творение. Затова се влял във вътрешностите на змия и измамил Ева. Съвкупил се с нея, та като забременее, неговото семе да изпревари Адамовото семе и да го надделее и доколкото може, да го поквари и да не му позволи да се разраства и да се размножава. Тя почувствувала скоро родилни болки и от сношението си със Самаил родила Каин и неговата сестра-близначка, подобна на него, на име Калмена.[а] Адам по подражание също влязъл в сношение с Ева и създал Авел. Него Каин веднага убил и [с това] сложил начало на убийствата. Заради това и апостол Йоан е казал, че: „Каин бе от лукавия." Обаче след като Самаил съблазнил безсрамно чрез змията Ева, той веднага бил лишен от божествения си образ и одежда, от творческата си сила, както се каза, и от божественото си прозвище (защото дотогава и той се наричал бог). И лишен от всички тези неща, той станал мрачен и противен. Но добрият отец с това укротил гнева си и позволил той да бъде повелител и господар на това, което той е сътворил, след като бил низвергнат от небето.[б]

[α] In PGr.: *Καλωμενά*.

[β] In PGr. 130, 1297 D 14 — 1300 A 1 additur: *Ταῦτα μὲν ἐκείνων τὰ μυθικά· ἀλλὰ πῶς οὐκ ἐδύνατο τοῖς ὕδασιν ἐφιζάνειν, μᾶλλον δὲ ἐπεὶ τὸ ἐφιζάνειν σώματός ἐστι, πῶς οὐκ ἠδύναιο μετὰ τῶν συναποσιατικῶν δυνάμεων ἔχειν τὸ ὕδωρ ἐνδιαιτητήριον; Καὶ γὰρ καὶ νῦν ὕδασιν ἐνδιαιτῶνται, καὶ πηγαῖς, καὶ ποταμοῖς, καὶ λίμναις, καὶ θαλάσσαις, καὶ καταχθόνιοι μένουσιν, ὡς πνεύματα ἄϋλα, πολλῷ τῶν ἀνεμιαίων πνευμάτων ἀυλότερα. Εἰ δὲ καὶ φύσει θεοῦ υἱὸς ἦν, ἰσοσθενὴς ἂν ἦν τῷ πατρί, καθάπερ καὶ ὁ μονογενής*

[а] В PGr. вм. Калмена: Каломена.

[б] В PGr. 130, 1297 Д 14—1300 А 1 продължава: Това са техните измислици. Но как не е могъл да седи над водата, още повече когато е свойствено на тялото да стои [над вода], как не е могъл заедно с отцепническите сили да има водата за жилище? Впрочем и сега прекарват във вода, и в извори, и в реки, и в езера, и в морета, и пребивават под земята като нематериалните ветрове, много по-нематериални от въздушните течения? А ако по природа υἱὸς ὁ λέγων, Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. Καὶ αὖθις, Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα. Καὶ πάλιν, Ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστι. Καὶ αὖθις, Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι. Ἰσοσθενὴς δὲ ὢν ἀντέστη ἄν, ἐπειδὴ καὶ ὅλως ἀποστασίαν ἐμελέτησε, καὶ οὐκ ἂν οὕτω ῥαδίως κατεβλήθη. Πῶς δὲ καὶ ῥιφεὶς εἶχεν ἔτι τὴν τοῦ θεοῦ μορφήν, καὶ στολήν, καὶ τὴν δημιουργικὴν αὐτοῦ δύναμιν; Ἔδει γὰρ αὐτὸν πρότερον γυμνωθῆναι τούτων, εἶτα καταῤῥιφῆναι. Ἀπιθάνου δὲ τοῦ μέρους τούτου φανέντος, καὶ γυμνοῦ πάσης ἀληθείας, ἀκολούθως καὶ τὰ ἀκόλουθα τούτῳ ψευδῆ φαίνονται, καὶ ἀσύστατα. Σκοπητέον δέ, πῶς ἐκ τῆς ἀθετουμένης αὐτοῖς μωσαϊκῆς βίβλου παράγουσι μαρτυρίαν, ὅτι ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Τὸ δὲ δογματίζειν, ὅτι ὁ Σαταναὴλ ἐδημιούργησε τὸ στερέωμα, καὶ ὅτι συνήγαγε τὰ ὕδατα εἰς τὰς κατασκευασθείσας αὐτοῖς συναγωγάς, καὶ ὅτι κατεκόσμησε τὸ στερέωμα καὶ τὴν γῆν, καὶ τὰ ἐφεξῆς ἅπαντα μέχρι τοῦ εἰς τὸν πρωτόπλαστον ἐμφυσήματος, ἐκ τῆς μωσαϊκῆς μὲν κοσμογενείας ἐσυλήθησαν, τῷ Σαταναὴλ δὲ ἀνέθεντο τὴν τούτων δημιουργίαν οἱ Βογόμιλοι τῷ δόγματι τῶν Παυλικιάνων ἀκολουθοῦντες. Ἐκεῖνοι γὰρ τῷ πονηρῷ οὐ μόνον τὴν τούτων δημιουργίαν ἀπονέμουσιν, ἀλλὰ καὶ τὴν τοῦ πρώτου οὐρανοῦ καὶ τῆς γῆς, καὶ ἁπλῶς εἰπεῖν, ἁπάντων τῶν ἐγκοσμίων. Καὶ ζήτησον ἐν τῷ κατὰ τῶν Παυλικιάνων τίτλῳ τὰ κεφάλαια, οἷς ἐπιγέγραπται, Ὅτι οὐ δύο ἀρχαί, ἀλλ' εἷς δημιουργὸς οὐρανοῦ, καὶ γῆς, καὶ τῶν ἐν μέσῳ, καὶ εὑρήσεις ἐν ἐκείνοις τὰς προσφόρους ἀνατροπάς, ὅσαι τῷ παρόντι τῶν Βογομίλων δόγματι προσαρμόζουσιν. Ὅτι δὲ οὐδὲ τὸ σῶμα τοῦ πρωτοπλάστου δημιούργημα τοῦ Σαταναήλ ἐστιν, ἐκεῖ πάλιν σαφῶς εὑρήσεις ἐν τοῖς ἐφεξῆς κεφαλαίοις, οἷς ὁμοίως ἐπιγέγραπται, Ὅτι εἷς δημιουργὸς τοῦ σώματος, καὶ τῆς ψυχῆς, ἤτοι τοῦ ἀνθρώπου. Τὴν γὰρ κατὰ τὸν ὄφιν μυθολογίαν αὐτῶν παρήσομεν, ὡς γέλωτος μᾶλλον ἢ ἀντιῤῥήσεως ἀξίαν. Διὰ τίνος δὲ μεσίτου καὶ τὴν πρὸς τὸν ἐπιβουλευθέντα πατέρα καὶ θεὸν ἐποιήσατο πρεσβείαν ὁ καταῤῥαγεὶς ἐχθρός; οὐδεὶς μὲν γὰρ ἐκ τῶν συναποστάντων αὐτῷ ταύτην ἀνετόλμησεν ὑποστῆναι. Καὶ αὖθις οὐδεὶς τῶν παρὰ τῷ θεῷ λειτουργικῶν ἀγγέλων ἠθέλησε μεσιτεῦσαι τῷ καὶ τούτων ἐχθρῷ. Πῶς δὲ καὶ ὁ ἀγαθὸς θεὸς ἐπλήρωσεν ἂν τὴν αἴτησιν τοῦ δυσμενοῦς τὴν περὶ τοῦ καταπέμψαι πρὸς τὸ δι' αὐτοῦ πλασθὲν σῶμα ψυχήν, ὥστε εἶναι τὸν ἄνθρωπον κοινόν; Τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; Τίς δὲ συμφώνησις θεῷ πρὸς Βελίαρ; Πῶς δ' ἂν καὶ ὁ Σαταναὴλ ἀσώματος ὤν, σωματικῶς τῇ Εὔᾳ συνεγένετο, εἰ μή που κατὰ φαντασίαν εἴποι τις; Εἰ δὲ κατὰ φαντασίαν, πῶς ἂν ἐπαιδοποίησεν ἐξ αὐτῆς; Πῶς δὲ ὁ Κάϊν υἱὸς αὐτοῦ γεγονὼς οὐκ αὐτῷ ἦν ἴσος καὶ ὅμοιος, ἀλλὰ τῷ Ἀδάμ; Πᾶν γὰρ γέννημα ἴσον καὶ ὅμοιον τῷ γεγεννηκότι κατὰ τὴν φύσιν ἐστιν. Ὁ δὲ ἀπόστολος Ἰωάννης εἶπεν ἐκ τοῦ πονηροῦ τὸν Κάϊν, οὐχ ὡς ἐκ τοῦ πονηροῦ σωματικῶς γεννηθέντα, ἀλλ' ὡς τὴν κακίαν ἐξ ἐκείνου μεμαθηκότα. Πολλάκις γὰρ τέκνον λέγεται καὶ ὁ μαθητής, καὶ πατὴρ αὖθις ὁ διδάσκαλος. Ἐπεὶ δὲ οὐδενὸς τῶν ἐγκοσμίων κτισμάτων ἐδείχθη δημιουργὸς ὁ Σατανᾶς, ὡς ἐν τοῖς κατὰ τῶν Παυλικιάνων κεφαλαίοις ἀναγέγραπται, πρὸς ἃ πρὸ μικροῦ προεπέμψαμεν, οὐδενὸς ἄρα τῶν ἐν τῷ κόσμῳ κτισμάτων κοσμοκράτορα καὶ κύριον αὐτὸν ὁ θεὸς κατέστησεν. Ἀλλ' ἐπεὶ πολυσήμαντον ὄνομα τοῦ κόσμου πέφυκεν, ἓν δὲ τῶν σημαινομένων ἐστὶ καὶ ἡ κοσμικὴ κακία καὶ μοχθηρία, περὶ ἧς ὁ κύριος ἔλεγε πρὸς τοὺς μαθητάς, ὅτι Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει, ταύτης δὲ μόνης ὀνομάζεται κοσμοκράτωρ, αὐτὸς τὴν κακίαν ταύτην δημιουργήσας τῇ τοῦ καλοῦ φυγῇ, καὶ δι' αὐτῆς ἄρχων, καὶ κυριεύων τῶν ὑπ' αὐτῆς δελεαζομένων, καὶ ὑποταττομένων ἑκουσίως αὐτῷ.

е бил син на бога, би бил равен по природа на отца, както единородният син, който казва: „Аз и отец сме едно."[7] Също така: „Който е видял мене, видял е отца."[8] И пак: „Всичко, каквото има отец, е мое."[9] И също така: „Ако не върша делата на отца си, не ми вярвайте."[10] Ако беше равен по сила, щеше да окаже съпротива, макар изобщо да беше замислил отцепване, не щеше да бъде така лесно низвергнат. А веднъж низвергнат, как все още е запазил образа на бога, одеждата и творческата му сила? Защото трябваше по-напред да бъде съблечен от тях, а след това да бъде низвергнат. Тъй като тази част изглежда невероятна и оголена от всяка истина, следователно и това, което следва, изглежда лъжливо и нелогично. Трябва да се види как от отхвърляната от тях Мойсеева книга извеждат доказателството, че в началото бог направил небето и земята. А това, дето твърдят, че Сатанаил сътворил твърдта и че събрал водите в приготвените за тях водоеми и че украсил твърдта и земята, и всичко по-нататък чак до първото създаване на диханието, те са заели от Мойсеевата космогония, но богомилите са приписали сътворяването на тези неща на Сатанаил според учението на павликяните. Защото те приписват на лукавия не само сътворяването на тези неща, но и на първото небе и на земята и, накратко казано, на всичко в света. Но потърси в частта „Срещу павликяните" главата, която е озаглавена: „Не две начала, а един е творецът на небето и на земята и на това, което е по средата", и ще намериш там различните извращения, които съответствуват на сегашното учение на богомилите. А че нито тялото на първослепения [човек] е творение на Сатанаил, пак там ще видиш ясно в поредната глава, която е озаглавена подобно: „Един е творецът на тялото и на душата," сиреч на човека. Ще отминем тяхната измислица за змията като достойна повече за смях, отколкото за оспорване. Но кого беше изпратил за посредник и пратеник пред отца и бога, срещу когото заговорничеше низвергнатият враг? Никой от отцепилите се заедно с него не се е осмелил да се насме с пратеничеството. И пак никой от ангелите на служба при бога не е пожелал да посредничи между него и техния враг. И как добрият бог би изпълнил желанието на врага да изпрати душа в тялото, направено от него, та да стане човекът общ? Та какво общо има светлината с тъмнината? И какво съгласие има бог с Белиар?[11] И как Сатанаил, бидейки безплътен, се съчетал плътски с Ева, освен ако някой би казал — мислено? Но ако мислено, как би създал от нея деца? И защо Каин, неговият рòден син, не беше еднакъв или подобен на него, а на Адам? Защото всяко потомство е еднакво и подобно по природа на своя родител. Това, което апостол Йоан е казал: От лукавия е Каин, не се разбира, че от лукавия е роден плътски, но че злината той научил от него. А често чадо се нарича и ученикът, а отец — учителят. Тъй като на никое от творенията на света създател не е сатаната, както е посочено в главите срещу павликяните, към които преди малко препратихме, явно на никое творение в света бог не го е поставил световен владетел и господар. Но понеже името „свят" е многозначно и освен другото означава също световната злина и подлост, за която господ казваше на учениците си: „Ако сте от света, светът щеше да обича своето"[12], той се нарича творец само на нея — той е сътворил тази злина чрез отстъпление от доброто и заради нея е владетел и властвуващ над тези, които се съблазняват от нея и му се подчиняват доброволно.

---

[7] Йоан 10, 30. [8] Йоан 14, 9. [9] Йоан 16, 15. [10] Йоан 10, 37. [11] Белиар, или Белиал (евр. „Сатана"), в късната юдейска литература прозвище на дявола. Във II Кор. 6, 15 — на Антихриста. [12] Йоан 15, 19.

Εἶχε μὲν οὕτω ταῦτα | καὶ κατεκυρίευεν ἁπάντων· ἐπεὶ δὲ τῶν ἀνθρώπων πικρῶς τυραννουμένων καὶ ἀπηνῶς ἀπολλυμένων μόλις ὀλίγοι τινὲς τῆς τοῦ Πατρὸς μερίδος ἐγένοντο καὶ εἰς τὴν τῶν ἀγγέλων τάξιν ἀνέβησαν, ὀψέ ποτε συνῆκε καταφρονηθεὶς ὁ Πατὴρ καὶ ἀδικεῖσθαι γνούς, ὅτι τὸ τιμιώτερον μέρος τοῦ ἀνθρώπου δοὺς καὶ τὰ καιριώτατα συντελέσας εἰς τὸν ἀπαρτισμὸν αὐτοῦ πολλοστημόριον ἀποφέρεται τοῦ γένους καὶ ἅμα κατελεήσας τὴν ψυχήν, τὸ ἴδιον ἐμφύσημα, πάσχουσαν οὕτως ἀθλίως καὶ καταδυναστευομένην διαναστῆναι πρὸς ἄμυναν καὶ τῷ πεντακισχιλιοστῷ πεντακοσιοστῷ ἔτει ἐξερεύξασθαι τῆς ἑαυτοῦ καρδίας Λόγον, τοῦτον δὴ τὸν υἱὸν καὶ θεόν· ἐξηρεύξατο γάρ, φησίν, ἡ καρδία μου λόγον ἀγαθόν· καὶ διδάξαι αὐτὸν τὰ ἴδια ἔργα· λέγω γάρ, φησίν, ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ· διὰ τοῦτο καὶ ἐν τοῖς εὐαγγελίοις εἰπεῖν αὐτόν· εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι. Τοῦτον δὲ τὸν Λόγον καὶ Υἱὸν ἰσχυρίζονται εἶναι τὸν ἀρχάγγελον Μιχαήλ· καὶ καλεῖται γάρ, φησί, τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος· ἀρχάγγελον μὲν καλούμενον ὡς θειότερον ὅλων τῶν ἀγγέλων, Ἰησοῦν δὲ ὡς πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἰώμενον, Χριστὸν δὲ ὡς χρισθέντα τῇ σαρκί. Κατελθεῖν δὲ ἄνωθεν καὶ εἰσρυῆναι διὰ τοῦ δεξιοῦ ὠτὸς τῆς Παρθένου καὶ περιθέσθαι σάρκα τῷ φαινομένῳ ὑλικὴν καὶ ὁμοίαν ἀνθρωπίνῳ σώματι, τῇ δ' ἀληθείᾳ ἄϋλον καὶ θεοπρεπῆ καὶ ἐξελθεῖν αὖθις, ὅθεν εἰσῆλθε, τῆς Παρθένου μήτε τὴν εἴσοδον αὐτοῦ γνούσης μήτε τὴν ἔξοδον, ἀλλ' ἁπλῶς εὑρούσης αὐτὸν ἐν σπηλαίῳ κείμενον ἐσπαργανωμένον· καὶ τελέσαι τὴν ἔνσαρκον οἰκονομίαν καὶ ποιῆσαι καὶ διδάξαι τὰ ἐν τοῖς Εὐαγγελίοις ἀναταττόμενα, πλὴν ἐν φαντασίᾳ τοῖς ἀνθρωποπρεπέσιν ὑποκείμενον πάθεσι, σταυρωθῆναι δὲ καὶ ἀποθανεῖν, καὶ ἀναστῆναι δόξαντα λῦσαι τὴν σκηνὴν καὶ γυμνῶσαι τὸ δρᾶμα καὶ ἀποθέμενον τὸ προσωπεῖον συσχεῖν τὸν ἀποστάτην καὶ παχεῖ καὶ βαρεῖ κλοιῷ καταδῆσαι καὶ συγκλεῖσαι ἐν τῷ ταρτάρῳ, περιελόντα τοῦ ὀνόματος αὐτοῦ τὸ ἢλ ὡς ἀγγελικόν, καὶ γὰρ οὐ μόνον Σαμαήλ, ἀλλὰ καὶ Σαταναὴλ καλούμενον Σατᾶν ἀφῆκε· καὶ λοιπὸν πληρώσαντα τὴν ἐγχειρισθεῖσαν αὐτῷ διακονίαν ἀναδραμεῖν εἰς τὸν πατέρα καὶ καθίσαι ἐν δεξιᾷ <εἰς> τὸν θρόνον τοῦ ἀπορριφέντος Σαταναήλ, εἶτα εἰσελθεῖν, ὅθεν ἐξῆλθε, καὶ ἀναλυθῆναι πάλιν εἰς τὸν Πατέρα, εἰς ὃν ἐν ἀρχῇ ἦν τῇ γαστρὶ τούτου συγκεκλεισμένος.[a] Ὅτε δὲ τοὺς μαθητὰς ἐδίδασκεν ἐν τῷ κόσμῳ,

Това прочие беше така и той заповядвал над всичко. Тъй като хората били подтискани безпощадно и били погубвани жестоко, само малцина отишли на страната на отца и се възкачили в редиците на ангелите. Най-после отецът разбрал, че е онеправдан и оскърбен, че след като е дал по-ценната част от човека и е извършил най-полезното за завършването му, получава нищожна част от човешкия род. Едновременно с това, като съжалил душата — своето собствено дихание, която страда така нещастно и се гнети, решил да го накаже и излъчил през пет хиляди и петстотната година из сърцето си Словото, т.е. сина и бог, защото казва: „Сърцето ми изля благо слово."[13] И той показал собствените си дела. „Аз отдавам, казва, делата си на царя."[14] Заради това и в евангелията той е казал: „Ако не върша делата на отца си, не вярвайте в мене."[15] [Еретиците] уверяват, че това „Слово и син" е архангел Михаил. „И, казва, името му е вестител на велик съвет."[16] Той се наричал архангел, понеже бил по-божествен от всички ангели, а Исус, понеже лекувал всяка болест и всяка немощ, а Христос, понеже било помазано тялото му. Слязъл от небето и се влял през дясното ухо на Девата и получил плът, привидно веществена и подобна на човешко тяло. А в действителност тя била невеществена и отново била излязла оттам, откъдето била влязла, без Девата да усети нито влизането, нито излизането му. Тя просто го намерила вътре в пещерата повит в пелени. И той вършил дейността си под плътски образ: и действувал, и учил това, което се съдържа в евангелията, но привидно бил изложен на човешки страдания, бил разпънат на кръст и уж умрял, и възкръснал, завършил сцената, разкрил драмата и свалил маската. Хванал отстъпника, оковал го в дебели и тежки вериги и го затворил в тартара. Той му отнел от името [сричката] *-ил* като ангелска, защото се наричал не само Самаил, но и Сатанаил, и го оставил Сатана. Най-после, след като изпълнил поверената му служба, се завърнал при отца и седнал отдясно на престола, от който бил низвергнат Сатанаил, след това влязъл там, откъдето излязъл, и бил възвърнат в отца, в чиято утроба първоначално бил затворен.[a]

---

[a] In PGr. 130, 1304 A 8 — 1305, A 15 additur: *Ἀλλ' ἰτέον ἡμῖν πρὸς τὸν ἔλεγχον τῶν ἐν τοῖς ἤδη ῥηθεῖσιν ἀτοπημάτων. Πρῶτον μὲν οὐ πάντες οἱ μνημονευθέντες ἐν ταῖς γενεαλογίαις τῶν εὐαγγελιστῶν, τοῦ τε Ματθαίου καὶ τοῦ Λουκᾶ, θεοφιλεῖς ἦσαν, ἀλλὰ πλὴν ὀλίγων οἱ λοιποὶ παντάπασιν ἀδόκιμοι, καὶ δυσσεβεῖς, καὶ παράνομοι. Καὶ τοῦτο δῆλον ἀπὸ τῶν βίβλων, αἳ τοὺς βίους αὐτῶν*

[a] В PGr. 130, 1304, A 8—1305, A 15 продължава: Но нека пристъпим към изобличение на вече споменатите нелепости. Първо, не всички, които са споменати в родословията на евангелистите, и на Матей, и на Лука, са били угодни на бога, но освен малцина [всички] останали са напълно недостойни, и нечестиви, и противни. И това е явно от книгите, които са описали живота им. Ако и богомилите да

[13] Пс. 45, 2. [14] Пс. 45, 2. [15] Йоан 10, 37. [16] Исая 9, 6.

δοῦναι αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον ἤτοι τὴν διδασκαλίαν τὴν εὐαγγελικήν, ὡς εἶναι τὸν μὲν υἱὸν Λόγον τοῦ πατρός, τὸ δὲ πνεῦμα Λόγον τοῦ υἱοῦ. Ὢ τῆς ἀλογίστου μωρολογίας. Καὶ νῦν ἱστάναι τὸν πατέρα, τριπρόσωπόν τινα καὶ ἀλλόκοτον, μέσον μὲν οὔσης ἀνθρωπίνης μορφῆς, ἧς κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν τὸν ἄνθρωπον γεγονέναι· παρ' ἑκατέραν δὲ μήνιγγα τοῦ πατρὸς ἐκλαμπούσης ἀκτῖνος ἐν δεξιᾷ μὲν υἱοῦ, ἐν ἀριστερᾷ δὲ πνεύματος· ὕστερον οὕτω τοῦ πατρὸς εἰς τριπροσωπίαν μεταποιηθέντος·

Когато учил учениците си в света, дал им свети дух, т. е. евангелското учение, че Словото е синът на отца, а духът Словото на сина. О, безсмислено празнословие! И сега стоял [бог]-отец с три лица и бил различен, като по средата бил човешкият лик, по чийто образ и подобие бил сътворен човекът. От двете половини на главата на отца сияела светлина, отдясно на сина, отляво на духа. След това така [бог]-отец се преобразил

ἀναγράπτους ἔχουσιν. Εἰ γὰρ καὶ ἀθετοῦσι ταύτας οἱ Βογόμιλοι, ἀλλ' οὐκ ἂν ἔχοιεν εἰπεῖν, ὅτι ἀφ' ἑτέρων οἱ εὐαγγελισταὶ τὰς τούτων ἐποιήσαντο μνήμας. Καὶ πῶς, ὧν ἦν ὁ βίος ἀνάξιος καὶ τῆς γῆς, εἰς τὸν οὐρανὸν ἀναβάντες τοὺς τόπους ἐκληρώσαντο τῶν ἀποπεσόντων ἀγγέλων; Πῶς δὲ καὶ ὀψέ ποτε συνῆκε κατασοφισθεὶς ὑπὸ τοῦ Σαταναὴλ ὁ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν; Ἵνα δὲ καὶ ἐφεξῆς παραδράμωμεν, μικρὰ ἢ οὐδὲν λυμαινόμεθα τῇ ἀληθείᾳ, εἰ ἐν τῷ πεντακισχιλιοστῷ ἔτει τὸν Λόγον καὶ υἱὸν ἐγέννησεν ὁ πατὴρ κατὰ τὴν θείαν καὶ ἀπόῤῥητον γέννησιν, πῶς ὁ ἀπόστολος Ἰωάννης κέκραγεν, Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ Λόγος; Πῶς δὲ καὶ πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν, ὡς ὁ αὐτὸς πάλιν φησί; Πῶς δὲ καὶ ὁ ἀπόστολος Παῦλος ἔλεγεν, ὅτι Δι' αὐτοῦ καὶ τοὺς αἰῶνας ἐποίησεν ὁ πατήρ; Ἐκπλήττομαι δὲ καὶ τὸ ὑπερβάλλον τῆς ἐφεξῆς ἀνοίας αὐτῶν, πῶς οὐκ ἐρυθριῶσι λέγειν τὸν ἀρχάγγελον Μιχαὴλ φύσει υἱὸν τοῦ θεοῦ, καὶ τοῦτον εἶναι τὸν ἐνανθρωπήσαντα Κύριον, τὸν καὶ τὴν τῶν ἀνθρώπων ἐργασάμενον σωτηρίαν. Εἰ γὰρ ὁ ἀρχάγγελος Μιχαὴλ κτιστὸς καὶ δοῦλος, ὥσπερ καὶ πᾶσαι αἱ οὐράνιαι δυνάμεις, πῶς φύσει υἱός, καὶ τῷ πατρὶ ὁμοούσιος; Εἰ μὴ καὶ τὸν πατέρα κτιστὸν εἴποιεν, καὶ ἑαυτοῦ δοῦλον, ὃ καὶ παράδοξον, καὶ μαχόμενον. Ὀνομάζεται δὲ μεγάλης βουλῆς ἄγγελος ὁ φύσει υἱός, ἤγουν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὅτι ὥσπερ ὁ ἀνθρώπινος λόγος προφορικὸς ἐξαγγέλει τὰ τοῦ γεννήσαντος αὐτὸν νοῦ κινήματα, οὕτω καὶ οὗτος ἀπήγγειλε τοῖς μαθηταῖς τὴν μεγάλην τοῦ πατρὸς αὐτοῦ βουλήν, ἤτοι τὸ τῆς ἐνανθρωπήσεως αὐτοῦ μυστήριον, καὶ τὰς εὐαγγελικὰς ἐντολάς, καὶ τὴν δι' αὐτῶν σωτηρίαν τῶν πιστευόντων. Διὸ καὶ ἔλεγεν, ὅτι Ἀπ' ἐμαυτοῦ λαλῶ οὐδέν, ἀλλ' ὅσα ἂν ἤκουσα παρὰ τοῦ πατρός, ταῦτα ἀπαγγέλλω ὑμῖν. Ἀποδειχθέντος δὲ λοιπόν, ὅτι δοῦλος μὲν ὁ ἀρχάγγελος Μιχαήλ, δεσπότης δὲ φύσει ὁ υἱὸς ὁ ἐνανθρωπήσας, ἐσχόλασαν καὶ αἱ προσαφθεῖσαι τῷ ἀρχαγγέλῳ Μιχαὴλ κλήσεις, ἥ τε τοῦ Ἰησοῦ καὶ ἡ τοῦ Χριστοῦ, καὶ παραδρομητέον αὐτάς. Ἡ δὲ πρόθεσις τῆς ἀΰλου σαρκός, καὶ ὅσα τῆς φαντασιώδους ἀκολουθίας, καὶ τῆς ἀληθινῆς ἐκ Παρθένου γεννήσεως ἀναιρετικά, ἐκ τῆς Μανιχαϊκῆς αὐτοῖς ἀπεσπάρη παραφροσύνης, καὶ τῶν πρὸ αὐτῆς τοιούτων αἱρέσεων. Ἀνάγνωθι δὲ ἐν τῷ κατὰ Ἀρμενίων τίτλῳ τὸ ἕβδομον κεφάλαιον, καὶ κατάβηθι ἐφ' ἃ τοῦτο παραπέμπει, καὶ οὐκ ἀγενεῖς εὑρήσεις παρατροπάς. Γελοῖον δὲ καὶ τὸ περιελεῖν τὸ ἦλ τοῦ Σαταναήλ, καὶ οὐκ ἀξιόλογον. Καὶ γὰρ καὶ πρὸ τοῦ καθελεῖν τὴν τυραννίδα τούτου ἔλεγεν ὁ ἐνανθρωπήσας θεός, Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα, μήπω κατ' αὐτοὺς τοῦ ἦλ περιαιρεθέντος. Περιττὸν δὲ καὶ τὸ ἀντειπεῖν πρὸς τὴν μετὰ τὴν ἀνάληψιν ἐν δεξιᾷ καθέδραν τοῦ σαρκωθέντος τὴν ἐπὶ τοῦ θρόνου τοῦ Σαταναήλ. Προαποδέδεικται γάρ, ὅτι οὔτε φύσει υἱὸς ἦν ἐκεῖνος, οὐδὲ πρωτότοκος, οὔτε θρόνον εἶχεν, οὔτε ἐν δεξιᾷ ποτε τοῦ πατρὸς ἐκάθισε.

отхвърлят [тези книги], те не биха могли да кажат, че евангелистите са заели разказите за тях от други книги. Впрочем как тези, чийто живот е бил недостоен и за земята, като са се възнесли на небето, са заели местата на отпадналите ангели? И как този, който знае всичко преди създаването му, късно е разбрал, че е измамен от Сатанаил? И за да проследим последователно — малко или никак не вредим на истината, — ако в петхилядната година отецът сътвори Словото и сина чрез божествено и тайно рождество, защо апостол Йоан се е провикнал: „В началото бе Словото, и Словото беше у бога, и бог беше Словото?“ Също как „всичко бе сътворено чрез него и без него нито едно нещо не беше сътворено“, както същият казва? Защо и апостол Павел каза, че „чрез него отецът създал вековете“?[17] Учудвам се и на следната им невероятна глупост — как не се срамуват да твърдят, че архангел Михаил бил по природа син на бога и господ, който под човешки образ се погрижил за спасението на хората. Защото ако архангел Михаил е създаден и е роб, както всички небесни сили, как по природа е син и единосъщен с отца? Освен ако биха казали, че и отецът е сътворен и той е роб на себе си, което е и невъзможно и противоречиво. Наистина ангелът на великия съвет се нарича роден син и господ наш Исус Христос, защото както произнесеното човешко слово дава движенията на мисълта на своя създател, така и той известил на учениците си великото решение на своя отец, сиреч тайната на въплътяването му в човешка природа, и евангелските наставления, и чрез тях спасението на вярващите. И затова каза: „От себе си не говоря нищо, но каквото съм чул от отца, това ви известявам.“[18] След като най-после стана ясно, че архангел Михаил е роб, а господ синът по природа, който се е въплътил в човешки образ, напразни са били прикачваните към архангел Михаил прозвища било като Исус, или като Христос, и трябва да се отминат. Изложението за невеществената плът и всичко от фантастичната служба, както и отрицанията на истинското рождение от Дева са заели от манихейското безумие и от подобните ереси преди него. Впрочем прочети в частта срещу арменяните, глава седма, и премини към това, към което тя те препраща, и ще откриеш не прости опровержения. Смешно е също [твърдението за] премахването на [сричката] *-ил* от Сатанаил и не заслужава споменаване. Защото още преди да бъде смъкнат от власт, богът, приел човешки образ, каза: „Видях сатаната да пада от небето като светкавица“[19], преди още сричката *-ил* според тях да бъде премахната. Излишно е също да се възразява на това, че след възнасянето си [той] е заел мястото отдясно [на отца], върху престола на превърнатия в плът Сатанаил. Беше вече посочено, че той нито по природа е бил негов син, нито е първороден, нито е имал престол, нито някога е седял отдясно на отца.

---

[17] Посл. към евр. 1, 2. [18] Йоан 15, 15. [19] Лука 10, 18.

πρότερον γὰρ μονοπρόσωπον εἶναι τοῦτον· τὴν αὐτὴν αὐτῷ μορφήν, ὡς προδεδήλωται, καὶ τοῦ Σαταναὴλ ἔχοντος· διὰ τοῦτο γὰρ καὶ πλάττοντα τὸν ἄνθρωπον εἰπεῖν· ποιήσωμεν ἄνθρωπον κατ᾿ εἰκόνα ἡμετέραν καὶ καθ᾿ ὁμοίωσιν· δηλαδή, τὴν αὐτοῦ τε καὶ τοῦ πατρός.

Ταῦτα ὁ πεπαλαιωμένος ἡμερῶν κακῶν, ὁ μέγας διδάσκαλος αὐτῶν καὶ προβολεὺς τῶν παρ᾿ αὐτοῖς ἀποστόλων, τὸ πρὸς ἀλήθειαν τοῦ πονηροῦ πλάσμα, τὸ σκεῦος τῆς ἐκλογῆς τοῦ διαβόλου, τὸ κειμήλιον τοῦ Σατανᾶ, τὸ πάσης ἀσεβείας ὄργανον, ἐξηγήσατο, σύνοψιν αὐτὰ τῆς παμβεβήλου τούτων αἱρέσεως ὀνομάσας. Ἵνα δὲ τοῖς πολλοῖς εὐσύνοπτα γένηται τὰ παρὰ τῶν ἀνοήτων τούτων δογματιζόμενα, χρὴ τὰ καιριώτερα διαλαβεῖν ἐν κεφαλαίοις μετὰ καὶ τῶν ἐφεξῆς παραδοθέντων ὑπ᾿ αὐτοῦ, μαργαριτῶν μὲν ὡς αὐτὸς αὐτὰ προσηγόρευε, τιμῶν ὡς μυστικὰ καὶ πρὸς τοὺς ἀμυήτους ἀπόρρητα καὶ ἀνέκφραστα, ψάμμου δὲ καὶ κόνεως καὶ τέφρας καὶ σαπρίας ἀτιμοτέρων πολλῶν καὶ φαυλοτέρων, καὶ συντόμως εἰπεῖν, βδελυκτῶν τε καὶ καταπτύστων. Ἁλμυρὰ γὰρ καὶ αὕτη καὶ ἄποτος ἡ διδασκαλία καὶ ὄντως ἀνατροπὴ θολερά.

α'. Λέγουσι τὸν ἐπουράνιον πατέρα τρίμορφον εἶναι, καθὼς ἀνωτέρω δεδήλωται, καὶ ποικιλοπρόσωπον· ἔτι περὶ τούτου λέγουσιν, ὅτι αὐτὸς μὲν ἐγέννησε τὸν υἱόν, ὁ δὲ υἱὸς ἐγέννησε[α] *τὸ πνεῦμα τὸ ἅγιον· τοῦτο δὲ ἐγέννησε*[β] *τὸν Ἰούδαν καὶ τοὺς ἀποστόλους· καὶ προφέρουσι ῥῆμα εὐαγγελικόν· Ἀβραάμ, φησίν, ἐγέννησε τὸν Ἰσαάκ, Ἰσαὰκ δὲ ἐγέννησε τὸν Ἰακώβ, Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ· περὶ τῆς ἁγίας τριάδος ταῦτα γεγράφθαι διατεινόμενοι.*

β'. Λέγουσι τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον εἰς τὸν πατέρα πάλιν, ἀφ᾿ οὗ προῆλθον, ἀναλυθῆναι καὶ τριπρόσωπον αὐτὸν ἀπὸ τοῦ ,εφ' ἔτους ἄχρι καὶ τριακοντατριῶν ἐτῶν χρηματίσαντα, πάλιν γενέσθαι μονοπρόσωπον· ἀσώματον μέν, ἀνθρωπόμορφον δέ. Φεῦ τῆς πολλῆς ἀναισθησίας ἢ ὢ τοῦ πλατέος γέλωτος!

γ'. Λέγουσι τοῦ μὲν πατρὸς λόγον τὸν υἱόν, τοῦ δὲ υἱοῦ λόγον τὸ πνεῦμα τὸ ἅγιον· καὶ τοιαῦτα τερατολογοῦντες καὶ ἀνακόλουθα βλασφημοῦντες οὐκ ἐγκαλύπτονται.

δ'. Λέγουσι τὸν Σαμαὴλ υἱὸν τοῦ πατρὸς καὶ[ε] *πρῶτον τοῦ υἱοῦ καὶ λόγου· καὶ ἰσχυρότερον ἅτε πρωτότοκον· ὡς εἶναι τούτους ἀδελφοὺς ἀλλήλων*

в три лица. Най-напред той бил едноличен. Същия образ, както беше показано, имал и Сатанаил. Затова и като създал човека, казал: „Да направим човека по образ и по подобие наше." Именно по подобие негово и на отца.

Това разказал, наричайки го обзор на тяхната нечиста ерес, престарелият до лоши дни велик техен учител и копиеносец на техните апостоли, в действителност образ на лукавия, съсъд, избран на дявола, съкровище на сатаната, средство на всяко безчестие. За да стане ясно на мнозина учението на тези безумци, трябва да разпределим по глави това, което е по-важно, при това и като се предават поред от него тези бисери, както той ги наричаше, смятайки ги тайни, забранени и скрити за непосветените, много от тях по-недостойни и по-нищожни от пясъка, от праха, от пепелта и от гнилоча и, накратко казано, отвратителни и достойни за презрение. Горчиво е и не е за пиене това учение, действително то е мътна бъркотия.

1. Казват, че небесният отец бил с три образа, както беше показано по-горе, и че бил разнолик. Още за него казват, че той бил родил сина, а синът бил родил[а] дух свети, а той родил[б] Юда и апостолите. И привеждат евангелското слово: „Аврам — казва — роди Исака, Исак роди Якова, Яков роди Юда и братята му." Уверяват, че това било писано за света троица.[в]

2. Казват, че синът и светият дух се възвърнали отново към отца, от когото били произлезли, и че той, който от 5500 година бил с три образа, отново станал с един образ, че бил безплътен, но с човешки образ. Но какво голямо невежество или о, плоска шега![г]

3. Казват, че синът бил Слово на отца, а Словото на сина — дух свети. И те твърдят такива чудноватости и богохулствуват с такива несъответствия, без да се прикриват.

4. Казват, че Самаил бил син на отца и[д] по-стар от сина и от Словото и бил по-могъщ

[α] In PGr. 130, 1293, C 2 loco: *Λέγουσι — ἐγέννησε*: *Λέγουσιν, ὅτι ὁ μὲν Πατὴρ ἐγέννησε.*

[β] In PGr. 130, 1293, C 3 additur: *πνευματικῶς.*

[γ] In PGr. 130, 1293, C 9—18 additur: *Πρῶτον μὲν οὖν οὐ μόνον υἱόν, ἀλλὰ καὶ υἱωνὸν ἐπεισάγουσι, καὶ οὐχ υἱωνὸν μόνον, ἀλλὰ καὶ δώδεκα τρισεγγόνους ὅσον πρὸς τὸν πατέρα. Ἔπειτα εἰ καὶ ὁ υἱὸς πατήρ, καὶ τὸ πνεῦμα τὸ ἅγιον αὖθις πατήρ, ἰδοὺ τρεῖς πατέρες. Καὶ πῶς ἕνα πατέρα δογματίζοντες ὁμολογοῦσι; Καὶ πάλιν εἰ τὸ πνεῦμα τὸ ἅγιον υἱὸς τοῦ υἱοῦ, ἰδοὺ κἀνταῦθα δύο υἱοί. Καὶ πῶς ἕνα υἱὸν ἐν τῇ θεολογίᾳ τῆς Τριάδος συνομολογοῦσιν, ἵνα τὸν Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ κατὰ τὸ παρὸν ἐάσωμεν.*

[δ] In PGr. 130, 1293, A 12—13 additur: *Εἰ γὰρ ἀσώματος, πῶς ἀνθρωπόμορφος;*

[ε] In PGr. 130, 1293, D 7—9 loco: *Τὸν Σαμαὴλ — υἱὸν τοῦ πατρός καί*: *τὸν δαίμονα τὸν παρὰ τοῦ Σωτῆρος ὀνομασθέντα Σατανᾶν υἱὸν καὶ αὐτὸν εἶναι τοῦ θεοῦ καὶ πατρός, ὀνομαζόμενον Σαταναὴλ καί.*

[а] В PGr. 130, 1293 C 2 вм. Казват, че . . .синът бил родил: Казват, че отец бил родил.

[б] В PGr. 130, 1293 C 3 продължава: духовно.

[в] В PGr. 130, 1293, C 9—18 продължава: Така че привеждат, първо, не само сина, но и внука, и не само внука, но и дванадесетте третородни към отца. Освен това ако и синът е баща, и светият дух е пак баща, ето трима бащи. Тогава как определят и признават един отец? И освен това ако светият дух е син на сина, ето и тук двама сина. А как признават един син в теологията на троицата, да оставим настрана понастоящем Юда и братята му!

[г] В PGr. 130, 1293, A 12—13 продължава: Че ако е безплътен, как може да е с човешки образ?

[д] В PGr. 130, 1293, D 7—9 вм. че . . .отца и: че демонът, който бил наречен от спасителя сатана, бил самият син на бога и отца, бил наричан Сатанаил и бил.

ὁμοπατρίους. Ὢ τί ἄν τις εἰπὼν ἀξίως τῆς φρενοβλαβείας αὐτῶν καθίκοιτο.[α]

ε'. Λέγουσι τὸν υἱὸν καὶ λόγον εἰς τὴν προτέραν τάξιν τοῦ Σαμαὴλ ἀντικαταστῆναι καὶ τὰ πρωτοτόκια καὶ τὸν θρόνον αὐτοῦ λαβεῖν.

ϛ'. Λέγουσι τὸν ἄνθρωπον κοινὸν εἶναι τοῦ Θεοῦ καὶ τοῦ δαίμονος· καὶ τὸ μὲν σῶμα παρὰ τοῦ δαίμονος πλασθῆναι, τὴν δὲ ψυχὴν ἐμφυσηθῆναι παρὰ Θεοῦ· διὰ τοῦτο καὶ τοὺς μὲν τῶν ἀνθρώπων οἰκειοῦσθαι Θεῷ, τοὺς δὲ τῷ δαίμονι. |

ζ'. Λέγουσι τὸν ὄφιν καὶ μόνον ἐκ πάντων τῶν ἀλόγων ζώων καὶ νοῦν κεκτῆσθαι καὶ λόγον, εἰ καὶ μὴ τέλειον, καὶ φρόνιμον κληθῆναι παρὰ τῆς γραφῆς, διὰ τὸ τὴν ἐμπνευσθεῖσαν παρὰ τοῦ Σαμαὴλ ψυχὴν διαρρυεῖσαν τοῦ Ἀδὰμ εἰς ἐκεῖνον κατασκῆψαι καὶ ἐνοικῆσαι.

η'. Λέγουσι τὸν μὲν Κάϊν σπέρμα τοῦ Σαμαὴλ συγκατακλιθέντος τῇ Εὔᾳ διὰ μέσου τοῦ ὄφεως· τὸν Ἄβελ δὲ σπέρμα τοῦ Ἀδάμ· καὶ παράγουσι μάρτυρα τὸν ἀπόστολον, ὡς ἀνωτέρω δεδήλωται· μὴ νοοῦντες, ὅτι ἐκ τοῦ πονηροῦ αὐτὸν εἶπεν καὶ ἐξ ἐκείνου τὴν κακίαν μεμαθηκότα· πολλάκις γὰρ τέκνον λέγεται καὶ ὁ μαθητὴς καὶ πατὴρ αὖθις ὁ διδάσκαλος.

θ'. Λέγουσι μήτε υἱὸν εἶναι μήτε πνεῦμα ἅγιον ἄχρι τοῦ ,εφ' ἔτους· ἔκτοτε δὲ λαβεῖν αὐτὸν ἀρχὴν τοῦ εἶναι[β] καὶ ὀνομάζεσθαι.[γ]

ι'. Λέγουσι σεσαρκῶσθαι μὲν τὸν υἱόν, ἐν ἄλλῳ δὲ σαρκὶ καὶ θεοπρεπεῖ, μὴ δεομένῃ τροφῆς· ἐμὸν γάρ, φησίν, βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ πατρός μου· τοῦτο δὲ δογματίζοντες φαντασιώδη φασὶ τὴν ὅλην τῆς ἐνανθρωπήσεως τοῦ σωτῆρος οἰκονομίαν.

ια'. Λέγουσιν ἐν πᾶσι τοῖς ἱεροῖς ναοῖς κατοικεῖν τοὺς δαίμονας διαλαχόντας αὐτοὺς ἀναλόγως τῆς ἑκάστου τάξεως καὶ δυνάμεως. Τὸν μέντοι Σατανᾶν πάλαι μὲν ἀποκληρῶσαι ἑαυτῷ τὸν πολυθρύλλητον ἐν Ἱεροσολύμοις ναόν, μετὰ δὲ τὴν ἐκείνου καταστροφὴν ἐξιδιώσασθαι τὸν ἐν τῇ βασιλίδι ταύτῃ τῶν πόλεων ἐκπρεπῆ καὶ περιώνυμον τῆς τοῦ | Θεοῦ σοφίας οἶκον. Οὐ γὰρ ὁ Ὕψιστος, φασίν, ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, τὸν οὐρανὸν ἔχων οἰκητήριον. Καὶ μήν· ὁ οἶκός μου, φησίν, οἶκος προσευχῆς

като първороден, че те били братя помежду си от един баща. О, с какви думи би поразил заслужено някой тяхното умопомрачение![а]

5. Казват, че синът и Словото се противопоставили на предишното положение на Самаил и му отнели първородството и престола.

6. Казват, че човекът бил общо притежание на бога и на дявола и че тялото му било създадено от дявола, а душата му била вдъхната от бога. Заради това едни от хората били свързани с бога, а други с дявола.

7. Казват, че змията, единствена от всички безсловесни животни, добила ум и разум, ако и несъвършен, и се наричала от Писанието хитра, понеже вдъхнатата от Самаил душа на Адам, като потекла, паднала и се заселила в нея.

8. Казват, че Каин бил семе на Самаил, който съблазнил Ева чрез змията, а че Авел бил семе на Адам. Те привеждат за свидетел апостола, както беше изяснено по-горе, без да забелязват, че той е казал какво [Каин] е от лукавия и от него е научил злото. Защото често ученикът се нарича чадо и баща — учителят.

9. Казват, че не е имало син, нито свети дух чак до пет хиляди и петстотната година. Оттогава той започнал да съществува и да се нарича[б] [така].[в]

10. Казват, че синът добил плът, безвеществена и божествена плът, която не се нуждае от храна; защото — казва — „моето ястие е да изпълнявам волята на моя отец“. Поддържайки това, те наричат въображаема цялата история около появяването в човешки образ на спасителя.

11. Казват, че във всички свещени храмове живеят дяволите, които са си ги поделили съобразно със своя ранг и сила. Прочие сатаната от древно време бил избрал за себе си най-прочутия храм в Ерусалим, а след неговото разрушаване си бил присвоил отличния и всеизвестен храм на божията мъдрост в тази царица на градовете. Защото, казват, всевишният не обитавал ръкотворни храмове, тъй като имал за жилище небето. И казва: „Домът ми ще се нарече молитвен дом“[20], и: „Не правете бащиния ми дом дом

[α] In PGr. 130, 1293, D 11—13 loco: *Ὢ τί ἄν — καθίκοιτο*: *Εἶναι δὲ τὸν Σαταναὴλ οἰκονόμον, καὶ δευτερεύοντα τοῦ πατρός.*

[β] In PGr. 130, 1293, B 2 loco: *λαβεῖν αὐτόν*: *λαβεῖν αὐτούς.*

[γ] In PGr. 130, 1293, B 3 — C 1 additur: *καίτοι εὐαγγελιστοῦ Ἰωάννου βροντῶντος ἐν τῷ λέγειν, „Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ Λόγος. Τὸ δὲ“ Ἐν ἀρχῇ ἦν ὁ Λόγος ἴσον ἐστὶ τῷ „Ἀεὶ ἦν ὁ Λόγος“.*

[20] Матей 21, 13.

[а] В PGr. 130, 1293, D 11—13 вм. О, с какви. . .умопомрачение!: Сатанаил бил уредник и втори след отца.

[б] В PGr. 130, 1293, B 2 вм. той започнал да съществува и да се нарича: те започнали да съществуват и да се наричат.

[в] В PGr. 130, 1293, B 3—C 1 продължава: . . .въпреки че евангелист Йоан в този случай говори гръмогласно: „В начало бе Словото, и Словото бе у бога, и бог беше Словото“. „В начало бе Словото“ е равно на: „винаги бе Словото“.

κληθήσεται· καὶ· μὴ ποιεῖτε, φησί, τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμπορίου, περὶ τοῦ χειροποιήτου ναοῦ τῆς Ἱερουσαλὴμ τοῦτο λέγων· καὶ μυρίαι τοιαῦται μαρτυρίαι παρὰ τῇ θείᾳ γραφῇ.[α]

ιβʹ. Ἀτιμάζουσι τὴν μυστικὴν καὶ φρικτὴν ἱερουργίαν,[β] θυσίαν τῶν ἐνοικούντων τοῖς ναοῖς δαιμονίων ταύτην ἀποκαλοῦντες. Ὢ μιαρῶν χειλέων· ὢ γλώσσης μιαρωτέρας. Καὶ παριστῶσι μάρτυρα τὸν προφήτην Ἡσαΐαν λέγοντα· οἱ ἑτοιμάζοντες τῇ τύχῃ τράπεζαν καὶ πληροῦντες τῷ δαίμονι κέρασμα, μὴ συνιέντες οἱ παραπλῆγες, ὅτι πρὸς τοὺς εἰδωλολατροῦντας ὁ λόγος.[γ]

ιγʹ. Ἄρτον μὲν κοινωνίας ὀνομάζουσι τὴν προσευχὴν τοῦ πάτερ ἡμῶν· τὸν ἄρτον γάρ, φησί, τὸν ἐπιούσιον· ποτήριον δὲ κοινωνίας ὁμοίως τὴν λεγομένην ἐν τῷ εὐαγγελίῳ διαθήκην· τοῦτο γάρ, φησί, τὸ ποτήριον ἡ καινὴ διαθήκη· μυστικὸν δὲ δεῖπνον τὴν ἀμφοτέρων τούτων μετάληψιν· εἰ δέ τις ἀνθυπαγάγῃ· καὶ πῶς τὸ πάτερ ἡμῶν ὡς σῶμα δεσποτικὸν κλᾶται καὶ διαμερίζεται, πῶς δὲ καὶ τό· νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τὰ ἑξῆς, αἷμα τοῦ σωτῆρος ὂν ὑπὲρ ἡμῶν ἐξεχύθη, μὴ γινώσκειν ὁμολογοῦσιν.

ιδʹ. Ἀτιμάζουσι καὶ τὰς σεβασμίους εἰκόνας, τὰ εἴδωλα | λέγοντες τῶν ἐθνῶν, ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων· ἀγνοοῦντες, ὅτι ἄλλο εἴδωλον καὶ ἄλλο εἰκών· καὶ ὅτι τοῖς μὲν εἰδώλοις τῶν ἐθνῶν[δ] τὰ πρωτότυπα ἀνυπόστατα καὶ ψευδῆ. Θεοὺς γὰρ ἐπεφήμιζον αὐτοῖς οὐκ ὄντας, ἀλλὰ δαίμονας ψευδομένους τὴν θεότητα· τῶν δὲ παρ' ἡμῖν εἰκόνων τὰ πρωτότυπα ὄντως ὄντα καὶ ἀληθεύοντα, ὃ καλοῦνται· κἀκεῖνα μὲν εἴδωλα μιαρῶν, ταῦτα δὲ εἰκόνες ἁγίων.

ιεʹ. Ἐγγεγράφθαι λέγουσι τοῖς Εὐαγγελίοις αὐτῶν φωνὴν τοῦ Κυρίου λέγουσαν· τιμᾶτε τὰ δαιμόνια, οὐχ ἵνα ὠφεληθῆτε παρ' αὐτῶν, ἀλλ' ἵνα μὴ βλάψωσιν ὑμᾶς. Εἶτα ἑρμηνεύοντές φασιν, ὅτι χρὴ τιμᾶν τὰ ἐνοικοῦντα τοῖς χειροποιήτοις ναοῖς δαιμόνια προσκυνοῦντας αὐτὰ καὶ διὰ τῆς μεταλήψεως τῶν ἱερουργουμένων αὐτοῖς θυσιῶν καὶ τῆς προσκυνήσεως τῶν ὑλικῶν εἰκόνων, ἅπερ εἰς τιμὴν αὐτῶν ἀνεστή-

на търговия“[21], казвайки това за ръкотворния Ерусалимски храм, и дават подобни свидетелства от Светото писание.[а]

12. Отхвърлят тайнствената и божествена служба,[б] наричайки я жертвоприношение на дяволите, които обитавали храмовете. О, нечестиви устни! О, още по-нечестив език! И привеждат за доказателство пророк Исая, който казва: „Които приготвяте трапеза на щастието и които правите възлияние на дявола“[22], без да разбират безумците, че става дума за идолопоклонниците.[в]

13. Хляб на общението наричат молитвата „Отче наш“. Защото се казва: хлябът насъщен. Също завета, който се споменава в евангелието — чаша на общението. „Тази чаша — се казва — е Новият завет.“[23] Вземането на тези две неща наричат тайна вечеря. И ако някой ги подкачи: А по какъв начин нашият отец като тяло господне се пречупва и поделя,[24] и още: „Сега се прослави син человечески“[25] и прочие, как „като кръв на спасителя се проля за нас“, признават, че не знаят.

14. Не почитат също светите икони и ги наричат „идоли на езичници, сребро и злато, дело на човешките ръце“. А не знаят, че едно е идол, а друго е икона и че първообразите на идолите на езичниците[г] са безпочвени и лъжливи. Защото те си боготворят тези, които не са богове, а са дяволи, приели лъжлива божественост. А първообразите на нашите икони са действителни и са точно това, което се наричат. Онова са идоли на нечестивци, а това са образи на светци.

15. Казват, че в евангелията им било записано словото господне, което казвало: „Почитайте дяволите не за да ви помогнат, но за да не ви навредят.“ После, обяснявайки, казват, че трябвало да почитаме дяволите, които обитавали ръкотворните храмове, като им се покланяме и като им служим и с участие в принасяните им жертви, и в по-

---

[α] In PGr. 130, 1313, D 1 — 8 additur: *Εἰ δὲ ὁ ἐν Ἱερουσαλὴμ ναὸς οἶκος ἦν τοῦ θεοῦ, πολλῷ μᾶλλον ὁ ἐν τῇ βασιλίδι τῶν πόλεων, καὶ ἁπλῶς εἰπεῖν πάντες οἱ κατὰ τόπον ἀφιερωμένοι τῷ θεῷ, καὶ τῇ θεομήτορι, καὶ πᾶσι τοῖς ἁγίοις ναοὶ θεῖοί τέ εἰσι, καὶ ἁγιαστήρια, καὶ τῶν δαιμόνων φυγαδευτήρια. Ὅπου γὰρ οἰκεῖ θεία χάρις, ἐκεῖθεν ἀπελήλαται πᾶν πνεῦμα πονηρόν, καὶ πᾶσα τῶν δαιμόνων ἐνέργεια.*

[β] In PGr. 130, 1313, A 7—8 additur: *καὶ τὴν τοῦ δεσποτικοῦ σώματος καὶ αἵματος ἁγίαν μετάληψιν.*

[γ] In PGr. 130, 1313 A 14 — B5 additur: *Τὸ δὲ μυστικὸν παρ' ἡμῖν δεῖπνον ὁ Χριστὸς παρέδωκεν εἰπών, „Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν“, ὡς οἱ εὐαγγελισταὶ διδάσκουσιν. Εἴρηται δὲ ἐν τῷ κατὰ τῶν Παυλικιανῶν λόγῳ καὶ περὶ τῆς θείας ταύτης μεταλήψεως, καὶ ζήτησον ἐκεῖ περὶ ταύτης.*

[δ] In PGr. 130, 1308, D 11 deest: *τῶν ἐθνῶν.*

[а] В PGr. 130, 1313 D 1—8 добавка: Но щом храмът в Ерусалим е дом на бога, то много повече [е дом на бога този в] царицата на градовете и, с една дума, божествени и свещени и страшилища за дяволите са всички храмове на бога и на божията майка и на всички светци. Защото, където живее божията благодат, от там бяга всеки зъл дух и всяка дяволска сила.

[б] В PGr. 130, 1313, A 7—8 продължава: и светото причастие с божествената плът и кръв.

[в] В PGr. 130, 1313, A 14—B 5 продължава: А нашата тайна вечеря Христос [ни] предаде, казвайки: „Това правете за мое възпоминание“[6], както учат евангелистите. А казано е в словото срещу павликяните и за това божествено причастие потърси там за него.

[г] В PGr. 130, 1308, D 11 липсва: на езичниците.

---

[21] Йоан 2, 16. [22] Исая 65, 11. [23] Лука 22, 20. [24] Йоан 14, 31. [25] Лука 22, 19.

λονται, θεραπεύοντας, ἵνα μὴ ὀργισθέντα διαφθείρωσι τοὺς μὴ τοῦτο ποιοῦντας, μεγάλην τοῦ βλάπτειν ἔχοντα καὶ ἄμαχον δύναμιν, πρὸς ἣν οὔτε τὸν Χριστὸν ἐξαρκεῖν, οὔτε σὺν αὐτῷ τὸ Πνεῦμα τὸ ἅγιον, διὰ τὸ τὸν Πατέρα φείδεσθαι αὐτῶν ἔτι καὶ μὴ περιελεῖν τὴν ἰσχὺν αὐτῶν, ἀλλὰ συγχωρῆσαι τούτοις τὴν κυριαρχίαν τοῦ σύμπαντος κόσμου μέχρι συντελείας· καὶ γὰρ καὶ τὸν υἱὸν κατ' ἀρχὰς εἰς τὸν κόσμον ἀποστελλόμενον αἰτῆσαι μὲν τὴν παντελῆ κατάλυσιν αὐτῶν, μὴ λαβεῖν δὲ ταύτην διὰ τὴν ἀγαθότητα τοῦ πατρός.[α] Τί ταύτης τῆς ἀλογίας γένοιτ' ἂν ἀλογώτερον; |

ιϛ'. Ἔτι προσγεγράφθαι καὶ ταύτην λέγουσι τὴν ἐντολήν· τρόπῳ σώθητε· τουτέστι μετὰ μηχανῆς καὶ ἀπάτης ὑποκρινόμενοι τὴν πίστιν τῶν ἀναγκαζόντων ὑμᾶς. Εἰς τοῦτο γὰρ φέρειν καὶ τό· ὅσα ἂν εἴπωσιν ὑμῖν ποιεῖν, ποιεῖτε, ἐν ὑποκρίσει δηλονότι, κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε, ἐν ἀληθείᾳ. Ὅρα δέ φασι καὶ τὸν κύριον τοῖς μὲν μαθηταῖς ὀρθῶς λαλοῦντα, τοῖς δὲ ἀπίστοις ἐν παραβολαῖς, ἵνα βλέποντες οἱ ἄπιστοι τὸ φαινόμενον τῆς ὑποκρίσεως μὴ βλέπωσι τὸ κρυπτόμενον ἐν ταῖς καρδίαις ὑμῶν[β] καὶ ἀκούοντες μὴ ἀκούωσι, παραβολὴν ὀνομάζοντες τὴν ἀπάτην καὶ τὴν ὑπόκρισιν.[γ] καὶ οἱ παραινοῦντες ἀληθεύειν λελήθασιν ἑαυτοὺς ψεύδεσθαι διδάσκοντες.

ιζ'. Ἀθετοῦσι πάσας τὰς Μωσαϊκὰς βίβλους μετὰ καὶ τοῦ ἐν αὐταῖς ἀναγραφομένου θεοῦ καὶ τῶν εὐαρεστησάντων αὐτῷ δικαίων, καὶ μὴν καὶ

клонението пред дървените икони, които са поставени в тяхна чест; за да не погубели в гнева си тези, които не вършели това, понеже дяволите имали голяма и неотразима сила да вредят. Срещу нея бил безсилен както Христос, така и заедно с него светият дух, понеже бог-отец все още щадял (дяволите) и не им отнемал силата, но им отстъпил управлението на целия свят чак до свършека му. И синът отначало, изпратен на света, поискал пълното им премахване, но не го получил поради добротата на отца.[а] Какво би било по-безсмислено от тази безсмислица?

16. Казват, че още и такава заповед била написана: „По всякакъв начин се спасявайте", т.е. с коварство и измама се преструвайте на верни към тези, които ви потискат. Към това се отнася и следното: „Всичко, което ви заръчат да правите, правете"[26], разбира се, с преструване, но не постъпвайте според делата им в действителност. Виж, казват, че и господ говорил на учениците си направо, а на невярващите с притчи, та невярващите, като гледат преструвката, да не виждат скритото в сърцата ви,[б] и слушайки, да не чуват, назовавайки притча измамата и преструвката.[в] И тия, които поощряват да се говори истината, тайно ги учат да лъжат.

17. Отхвърлят всички Мойсееви книги заедно с бога, за когото се говори в тях, и заедно с угодните на него праведници всич-

---

[α] In PGr. 130, 1316, C 7—15 additur: *Ἐπεὶ δὲ καὶ τὴν φλυαρίαν ταύτην ἀπὸ τῆς αἱρέσεως τῶν Μασαλιανῶν μεμαθήκασι, ζήτησον ἐν τῷ κατ' ἐκείνων τίτλῳ τὸ ε' κεφάλαιον καὶ τὰ ἐφεξῆς ὀκτώ, καὶ τοὺς ἐλέγχους εὑρήσεις ἐν ἐκείνοις ἀναντιῤῥήτως. Εἴρηται δὲ καὶ ἀνωτέρω περὶ τούτων ἐν τῷ ιβ' κεφαλαίῳ τοῦ παρόντος τίτλου. Ὅτι δὲ καὶ τοὺς δαίμονας ἰσχυροτέρους εἶναι λέγουσι τοῦ Χριστοῦ τε καὶ τοῦ ἁγίου Πνεύματος, τίνος οὐκ ἂν εἶεν ἄξιοι κολάσεως οἱ θεομάχοι, καὶ βλάσφημοι, καὶ προσκυνηταί, καὶ θεραπευταὶ τῶν δαιμόνων, καὶ δαιμονιώδεις ὄντως, καὶ φιλοδαίμονες.*

[β] In PGr. 130, 1316, D 12 loco: *καρδίαις ὑμῶν*: *καρδίαις ἡμῶν.*

[γ] In PGr. 130, 1317, A 2 — B 8 additur: *Ἐγὼ δὲ τὴν βίβλον τῶν Εὐαγγελίων τοῦ ταῦτα διδάσκοντος εἰς χεῖρας λαβών, καὶ διερευνησάμενος ἀκριβῶς οὔτε τὴν πρὸ ταύτης δηλωθεῖσαν εὗρον φωνήν, οὔτε τὴν παροῦσαν, ἀλλὰ τοιαῦτα ἦσαν τὰ τέσσαρα Εὐαγγέλια, οἷα καὶ τὰ παρ' ἡμῖν ἀπαραποιήτως ἔχοντα, καὶ ἀνήγγειλα τούτῳ περὶ τούτου. Ὁ δὲ σκυθρωπάσας καὶ δεινοπαθήσας ὡς ἐληλεγμένος ὡμολόγησε μηδέ ποτε μηδ' αὐτὸς ἐντετυχηκέναι ταῖς δύο ταύταις φωναῖς, καίτοι πολλάκις ἀναγινώσκων τὸ Εὐαγγέλιον. Ὅτε δέ, φησί, τὴν παροῦσαν βίβλον τῶν Εὐαγγελίων ἐξωνησάμην, ἀπήντησα γέροντι κατά τινα τόπον ἔρημον, καὶ καλέσας ἀπὸ τοῦ ὀνόματος εἶπέ μοι, ὅτι Μέγαν ἐξωνήσω θησαυρόν. Ταύτην γὰρ μόνον τὴν βίβλον διαφυγοῦσαν τὰς χεῖρας Ἰωάννου τοῦ Χρυσοστόμου· τὸν γὰρ Χρυσόστομον οὕτως οἱ ἀκαθαρτόστομοι προσωνόμαζον· ἔχειν ἐγγεγραμμένας τὰς εἰρημένας δύο φωνάς, ἐκβληθείσας ἀπὸ τῶν ἄλλων Εὐαγγελίων. Πιστεύσας δὲ τοῖς ἐκείνου λόγοις ἐγώ, κηρύττω καὶ ταύτας, ὡς τῇ ἐμῇ βίβλῳ τῶν Εὐαγγελίων ἐγγεγραμμένας. Ὁ μὲν οὖν τοιαύτην ἐποιήσατο τὴν ἀπολογίαν, ἐγὼ δὲ συνῆκα ταχέως, ὅτι ὁ Σατανᾶς ἦν ὁ τὸν ψευδόγηρον ἐκεῖνον ὑποκρινάμενος.*

[26] Матей 23, 3.

[а] В PGr. 130, 1316 C 7—15 продължава: Понеже и тази глупост те са научили от масалианската ерес, потърси в частта срещу тях пета глава и следващите осем и ще намериш в тях разобличенията по неуспорим начин. За тях се каза и по-горе в глава 12 на настоящата част. А понеже твърдят, че дяволите били по-силни от Христос и от светия дух, за какво ли наказание не са достойни богоборците, богохулниците и поклонниците и служителите на дяволите, наистина бесовци и приятели на дявола?

[б] В PGr. 130, 1316 D 12 вм. сърцата ви: сърцата ни.

[в] В PGr. 130, 1317 A 2—B 8 продължава: А аз, като взех в ръце книгата на евангелията на този, който поучаваше това, и като [ги] проучих старателно, не намерих нито посоченото преди това слово, нито настоящото, но това бяха четирите евангелия, които, неподправени, имаме и ние, и му съобщих за това. А той, като се намуси и се потресе дълбоко, изобличен призна, че самият той не открил тези две места, ако и често да е чел евангелието. А когато — казва — си купувах настоящата книга на евангелията, срещнах на някакво осамотено място старец, като ме назова по име, той ми каза, че ще купя голямо съкровище. Защото самата тази книга убягнала от ръцете на Йоан Златоуст (а така наричали нечистоустите Златоуста). Тя съдържала вписани посочените две места, които били изключени от другите евангелия. Аз, като повярвах на думите му, съобщавам, че и тези места са вписани в моята книга. Впрочем той си направи тази защита, но аз бързо разбрах, че сатаната бе този, който отговаряше вместо онзи лъжестарец.

τὰς μετ' αὐτὰς ἁπάσας, ὡς κατ' ἐπίπνοιαν τοῦ Σατανᾶ συγγραφείσας. Μόνας δὲ παραδέχονται καὶ τιμῶσιν ἑπτὰ καὶ εἰς ἄκρον ἀποστηθίζουσι, λέγω δὴ τὸ Ψαλτήριον καὶ τὸ Ἑξκαιδεκαπρόφητον καὶ τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον καὶ τὸ κατὰ Μάρκον καὶ τὸ κατὰ Λουκᾶν καὶ τὸ κατὰ Ἰωάννην καὶ ἑβδόμην τὴν βίβλον τῶν Πράξεων σὺν ταῖς Ἐπιστολαῖς πάσαις καὶ τῇ Ἀποκαλύψει τοῦ Θεολόγου Ἰωάννου. Ἡ σοφία γάρ, φασίν, ᾠκοδόμησεν ἑαυτῇ οἶκον καὶ ἐπήρεισε στύλους ἑπτά, οἶκον μὲν τὴν παμμίαρον συναγωγὴν ἑαυτῶν παρερμηνεύοντες, στύλους δὲ ἑπτὰ τὰς ἀπαριθμηθείσας βίβλους. |[α]

ιη'. Λέγουσι τὸν Μωσῆν πλανηθέντα παρὰ τοῦ Σαταναὴλ ἀπελθεῖν εἰς Αἴγυπτον αὖθις καὶ ἀπατῆσαι τὸν λαὸν τῶν Ἰουδαίων καὶ ἐξαγαγεῖν αὐτὸν καὶ ποιῆσαι τέρατα καὶ σημεῖα διὰ τῆς ἐνεργείας τοῦ Σαταναὴλ καὶ ἀνελθεῖν εἰς τὸ ὄρος τὸ Σινᾶ καὶ λαβεῖν τὸν νόμον ἐγχειρηθέντα παρὰ τοῦ Σαταναὴλ καὶ ἀπολέσαι δι' αὐτοῦ μυριάδας ἀναριθμήτους καὶ μαρτυρεῖν περὶ τούτου τὸν Ἀπόστολον· ἡ δύναμις δὲ τῆς ἁμαρτίας ὁ νόμος· καὶ αὖθις· ἐλθούσης δὲ τῆς ἐντολῆς ἀνέζησεν ἡ ἁμαρτία καὶ πολλὰ τοιαῦτα.[β]

ки книги след тях, тъй като били написани по внушение на сатаната. Приемат, почитат и ценят най-високо само седем. Те са: Псалтирът, Книгата на шестнадесетте пророци, евангелието според Матей и според Марко, според Лука и според Йоан, седмата книга от Деянията заедно с всички послания и Откровението на Йоан Богослов. Защото „мъдростта — казват — си съгради дом и го подпря със седем стълба“[27]. Под дом те разбират най-нечестивото си място за събиране, а под стълбове — седемте изброени книги.[а]

18. Казват, че Мойсей, заблуден от Сатанаил, се завърнал отново в Египет, подмамил юдейския народ и го извел, като направил чудеса и знамения чрез силата на Сатанаил — възкачил се на планината Синай и приел закона, предаден от Сатанаил, погубил чрез него безброй хиляди хора. За това бил свидетел апостолът: „Силата на греха е законът“[28] и още: „Когато дойдѐ заповедта, грехът оживя“[29], и много подобни.[б]

[α] In PGr. 130, 1292 C 1—10 additur: *Τὴν μὲν οὖν ἀποβολὴν τῶν μωσαϊκῶν βίβλων καὶ τῶν μετ'αὐτὰς ἐκ τῆς τῶν Παυλικιάνων αἱρέσεως μεμαθήκασι. Ζητητέον δὲ ἐν τῷ κατ'ἐκείνων τίτλῳ τὰ κεφάλαια, οἷς ἐπιγέγραπται, ὅτι τοῦ ἀγαθοῦ θεοῦ εἰσιν ἥ τε παλαιὰ νομοθεσία καὶ οἱ ἐν αὐτῇ λάμψαντες. Καὶ ἀναγνωστέον τό τε πρῶτον κεφάλαιον καὶ τὰ ἑξῆς ἑπτά, στηλιτεύοντα φανερῶς τὴν τοιαύτην πλάνην. Καὶ τὰ μετ'ἐκεῖνα δὲ πάντα σύμφωνα σχεδὸν τοῖς ἑπτὰ τούτοις εἰσίν, ἀλλ'ἀρκεῖ μόνα τὰ δηλωθέντα.*

[β] In P. Gr. 130, 1308, A 8 — C 11 additur: *Ἀλλ', ὦ σοφισταὶ τῆς κακίας, τί τὸ ἑξῆς κακοήθως ὑπεκρατήσατε; Γέγραπται γὰρ εὐθύς, ὅτι Ὁ νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία, καὶ δικαία, καὶ ἀγαθή. Εἰ δὲ κατὰ τὴν τοῦ ἀποστόλου μαρτυρίαν ὁ νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία, καὶ δικαία, καὶ ἀγαθή, οὐκ ἄρα τοῦ ἀνάγνου, καὶ ἀδίκου, καὶ πονηροῦ Σαταναὴλ εἶεν ἂν ταῦτα νομοθεσίαι καὶ ἐπιτάγματα. Σαπροῦ μὲν γὰρ δένδρου σαπρὸς ἔσται καρπός, ὁ δὲ καλὸς πάντως καλοῦ, καθὼς καὶ ὁ κύριος ἀπεφήνατο. Ἵνα δὲ καὶ τὰ δηλωθέντα τοῦ ἀποστόλου σαφηνισθείη ῥητά, προσεκτέον, ὅτι οὐ ποιητικὸν τῆς ἁμαρτίας εἴρηκε τὸν νόμον, ἀλλὰ γνωστικὸν αὐτῆς, ὡς ὑποδεικνύοντα ταύτην, καὶ προστάττοντα φεύγειν αὐτήν, ὡς φθοροποιόν. Μήπω γὰρ δοθέντος τοῦ γραπτοῦ τούτου νόμου τοῦ κωλύοντος αὐτήν, εἰ καὶ ἐνηργεῖτο, ἀλλ'οὐκ οὕτω λυμαντικὴ καὶ φευκτὴ τοῖς ἀνθρώποις ἐγνωρίζετο. Πῶς δέ, ἐλθούσης τῆς ἐντολῆς, ἡ ἁμαρτία ἀνέζησεν, ἄκουσον. Ὅτι πρὸ μὲν τῆς νομικῆς ἐντολῆς ἀσθενὴς ἦν, καὶ οἷον νεκρά, μὴ δυναμένη τοσαύτην καταδίκην προξενεῖν τοῖς ἁμαρτάνουσιν ὅσην προξενεῖ μετὰ τὸν νόμον, καὶ διὰ τοῦτο μὴ πάνυ πολεμοῦσα· ὅτε δὲ ὁ νόμος ἐδόθη τοῖς ἀνθρώποις, ὁ τῆς ἁμαρτίας ἀναιρετικὸς καὶ πολέμιος, τότε μάλιστα διηγέρθη, καὶ οἷον ἀνέζησεν αὕτη, τουτέστι σφοδρὸν ἔπνευσε, καὶ μανικὸν ἐλύττησε κατὰ τῶν ὑποδεξαμένων τὰς νομικὰς ἐντολάς. Ὅτι δὲ ὁ Μωϋσῆς οὐκ ἐπλανήθη παρὰ τοῦ Σαταναήλ, ἀλλ' ὁ ὢν θεὸς ἀπέστειλεν αὐτόν, καὶ αὐτὸς αὐτῷ δίδωκε τὸν νόμον, καὶ οὐκ ἀπώλεσε, ἀλλ'ὡδήγησε δι' αὐτοῦ τὰς πολλὰς ἐκείνας μυριάδας, εὑρήσεις ἐν τῷ κατὰ τῶν Παυλικιάνων τίτλῳ, καθὼς ἐν τῷ πρὸ τούτου κεφαλαίῳ διελάβομεν.*

[а] В PGr. 130, 1292, C 1—10 продължава: А отричането на Мойсеевите книги и на другите след тях те са научили от павликянската ерес. Да се потърсят в тази част, която е срещу тях, главите, в които е написано, че на добрия бог принадлежи както Старият завет, така и светлите образи в него. И да се прочете първата глава заедно със следните седем, които изобличават подобна заблуда. И заедно с тях всички останали, които са съвсем съгласни с тези седем, но са достатъчни само посочените.

[б] В PGr. 130, 1308, А 8 — С 11 продължава: Но о, учители на злото, защо изпуснахте коварно това, което следва? Защото е написано веднага, че: „Законът е свят, и заповедта е свята, праведна и добра.“[30] Ако според свидетелството на апостола законът е свят и заповедта свята, праведна и добра, следователно те не са законодателства и наредби на нечистия, несправедливия и лукавия Сатанаил. Защото на негодното дърво и плодът ще бъде негоден, а без съмнение на доброто добър, както показа и господ. И за да се изяснят споменатите слова на апостола, трябва да се отбележи, че той не нарече закона причинител на греха, но негов уличител, понеже го посочва и нарежда да го избягваме като пагубен. Защото преди още да бъде даден този писан закон, който го забранява, макар и да грешеше, все пак не се смяташе, че [грехът] е толкова пагубен и че трябва да се избягва от хората. А чуй как, след като дойде заповедта, оживя грехът. Че преди разпоредбите на закона [грехът] беше слаб, сякаш мъртъв, не можеше да донесе за грешащите такова наказание, каквото подобава според закона, и поради това съвсем не опасен. А когато законът беше даден на хората, пагубен и враждебен за греха, тогава най-вече (грехът) се пробуди и сякаш оживя, т.е. изпълни се със сила и почна лудо да беснее срещу тези, които приемат разпоредбите на закона. А че Мойсей не е бил измамен от Сатанаил, но истинският бог го изпратил и сам му дал закона, и не е погубил, но чрез него напътил многото онези хиляди, ще узнаеш в частта срещу павликяните, както посочихме в предишната глава.

---

[27] Притчи 9, 1. [28] I Кор. 15, 56. [29] Римл. 7, 9. [30] Римл. 7, 12.

ιθ'. Λέγουσι τοὺς ἀποπεσόντας ἀγγέλους, ἀκούσαντας, ὅτι ὁ Σαμαὴλ ὑπέσχετο τῷ Πατρὶ πληροῦσθαι τοὺς ἐν οὐρανῷ τόπους αὐτῶν ἀπὸ τοῦ γένους τῶν ἀνθρώπων, ἰδεῖν ἀσελγῶς τὰς θυγατέρας τῶν ἀνθρώπων καὶ λαβεῖν αὐτὰς εἰς γυναῖκας, ἵνα τὰ σπέρματα αὐτῶν εἰς τὸν οὐρανὸν ἀνέλθωσιν ἐν τοῖς τόποις τῶν πατέρων αὐτῶν. Ἰδόντες γάρ, φησίν, οἱ υἱοὶ τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας· υἱοὺς δὲ τοῦ θεοῦ τούτους ὀνομάζουσιν, καὶ αὐτοὺς ἀπ' ἐκείνου γεγεννημένους, ἐκ δὲ τῆς συνουσίας αὐτῶν ἀπογεννηθῆναι τοὺς γίγαντας, οὓς ἀντιστῆναι τῷ Σαμαὴλ καὶ θριαμβεῦσαι τοῖς ἀνθρώποις τὴν ἀποστασίαν αὐτοῦ, τὸν δὲ θυμωθέντα ἐπαγαγεῖν αὐτοῖς τὸν κατακλυσμὸν καὶ διαφθεῖραι σὺν αὐτοῖς πᾶσαν ζῶσαν σάρκα, μόνον δὲ τὸν Νῶε θυγατέρα μὴ κεκτημένον ἀγνοῆσαι τὴν ἀποστασίαν τοῦ Σαμαὴλ καὶ διαμεῖναι θεραπεύοντα τοῦτον, οὗ τῇ λατρείᾳ τοῦ Σαμαὴλ ἀρεσκόμενον ὑποθέσθαι τὰ περὶ τῆς κιβωτοῦ καὶ διασῶσαι τοῦτον | μόνον μετὰ τῶν ἐν αὐτῇ.[a]

κ'. Λέγουσι τοὺς ἀπὸ τοῦ Ἀδὰμ μέχρι τοῦ Χριστοῦ πάντας ἀπολωλέναι· τοὺς μὲν διὰ τὰς ἁμαρτίας αὐτῶν, τοὺς δὲ διὰ τὸ εὐαρεστῆσαι τῷ παρὰ ταῖς μωσαϊκαῖς βίβλοις ἀναγραφομένῳ θεῷ· τὸν Σαμαὴλ γὰρ εἶναι τοῦτον· μόνους δὲ τοὺς ἐν τῷ κατὰ Ματθαῖον καὶ τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ γενεαλογουμένους τυχεῖν σωτηρίας· διὸ καὶ ὡς δικαίους μνημονευθῆναι παρὰ τῶν εὐαγγελιστῶν.

κα'. Λέγουσιν ἁγίους μόνους εἶναι τούς τε γενεαλογηθέντας, ὡς εἴρηται, καὶ τοὺς ἑξκαίδεκα προφήτας καὶ τοὺς ἀποστόλους καὶ τοὺς μάρτυρας, ὅσοι διὰ τὸ μὴ προσκυνῆσαι τὰ εἴδωλα κατεσφάγησαν. Τοὺς ἱεράρχας δὲ καὶ τοὺς πατέρας ὁμοῦ πάντας ἀποδοκιμάζουσιν, ὡς εἰδωλολάτρας διὰ τὴν τῶν εἰκόνων προσκύνησιν. Καὶ τοὺς μὲν εὐσεβεῖς ἅπαντας βασιλεῖς ἀλλοτριοῦσι τοῦ κλήρου τῶν Χριστιανῶν, μόνους δὲ καλοῦσιν ὀρθοδόξους καὶ πιστοὺς τοὺς Εἰκονομάχους καὶ μάλιστα τὸν Κοπρώνυμον.

19. Казват, че падналите ангели, като чули, се Самаил обещал на отца да запълни местата им на небето с човешкия род, загледали дръзко човешките дъщери и ги взели за съпруги, за да възкачат своите потомци на небето на местата на техните бащи. „Защото синовете божии — казва, — като гледаха, че човешките дъщери бяха красиви, взеха ги за жени."[31] Тях те наричат синове на бога и че са родени от него, а от тяхното сношение произлезли гигантите, които се борили срещу Самаил и тържествували заради хората над неговото отцепничество. Той пък, разгневен, им докарал потопа и погубил наедно с тях всяка жива плът. Само Ной, който нямал дъщеря, не знаел за отцепничеството на Самаил и продължил да му служи. Умилостивен от неговото богослужение, Самаил му внушил да си построи ковчег и да спаси самия себе си заедно с тия, които били в него.[a]

20. Казват, че от Адам до Христос всички загинали, едни поради прегрешенията си, а други поради това, че се понравили на споменатия в Мойсеевите книги бог. А той бил Самаил. Спасили се само тези, чието родословие е дадено в евангелието според Матей и според Лука. Затова са споменати като праведници от евангелистите.

21. Казват, че светци са само тези, които са дадени в родословните списъци, както се каза, а също така и шестнадесетте пророци, апостолите и мъчениците, които поради това, че не се поклонили на идолите, били погубени. Те отхвърлят свещенослужителите и общо всички църковни отци като идолопоклонници поради това, че почитали иконите. И всички благочестиви императори отхвърлят от християнския клир, а казват, че са православни и верни само иконоборците, найвече Копроним.

---

[a] In P. Gr. 130, 1305, C 6 — D 11 additur: *Ταῦτα μὲν ἐκείνων τὰ ληρήματα· λέγομεν δὲ περὶ τῆς ἀσελγοῦς συνουσίας καὶ παιδογονίας τῶν ἀποπεσόντων τούτων ἀγγέλων ὅσαπερ ἀνωτέρω καὶ περὶ τῆς τοῦ Σαταναὴλ ἀκολάστου πρὸς τὴν Εὔαν συνουσίας καὶ τεκνογονίας εἰρήκαμεν. Υἱοὺς μὲν οὖν τοῦ θεοῦ λαβόντας γυναῖκας ὠνόμασεν ἡ Γραφὴ τοὺς ἀπογόνους τοῦ Σήθ, ὅς ἐπωνομάσθη θεὸς διὰ τὸν θεομίμητον αὐτοῦ βίον, καὶ τὸ τῆς πολιτείας ἀνεπίληπτον· θυγατέρας δὲ ἀνθρώπων τὰς ἀπὸ τοῦ γένους τοῦ Κάϊν καὶ τῶν ἐξ αὐτοῦ καταγομένας. Τὸν μὲν οὖν κατακλυσμὸν ἐπήγαγεν οὐχ ὁ Σαταναήλ, ἀλλ' ὁ θεὸς τοῖς κατακλυσθεῖσιν, ὅν καὶ ὁ Νῶε θεόν ἐγίνωσκέ τε καὶ προσεκύνει, καὶ ὑφ' οὗ τὴν τῆς κιβωτοῦ κατασκευὴν ἐπετράπη. Οὗτος δὲ ἦν ὁ τῆς παλαιᾶς Διαθήκης νομοθέτης. Ὅτι δὲ κυρίως καὶ ἀληθῶς οὗτος θεός, προαποδέδεικται σαφῶς ἐν τῷ κατὰ τῶν Παυλικιάνων τίτλῳ, ἐν τοῖς κεφαλαίοις δηλονότι, οἷς ἐπιγέγραπται, Ὅτι τοῦ ἀγαθοῦ θεοῦ εἰσιν ἥτε παλαιὰ νομοθεσία, καὶ οἱ ἐν αὐτῇ λάμψαντες, ἔτι δὲ καὶ ἐν τοῖς ἐφεξῆς τούτων κεφαλαίοις.*

[31] Мойсей 6, 2.

[a] В PGr. 130, 1305, C 6—D 11 продължава: Това са техните брътвежи. Но за безпътното сношение и детеродство на тези отпаднали дяволи и за съчетанието и детеродството на разюздания Сатанаил с Ева ние твърдим каквото казахме по-горе. Синове на бога, които са взели съпруги, е нарекло Писанието потомците на Сет, който беше наречен бог заради богоподобния си живот и заради непорочността на поведението си. А дъщери на хората — произхождащите от рода на Каин и от неговите [потомци]. Впрочем потопа е докарал за потопените не Сатанаил, а бог, когото и Ной е признал за бог и се преклонил пред него и от когото получил поръка за построяването на ковчега. Той беше законодателят на Стария завет. Че собствено и наистина той е бог, беше посочено ясно в частта срещу павликяните, именно в главите, в които е написано, че на добрия бог принадлежи и старото законодателство, и тези, които са блестели в него, а също и в главите, следващи непосредствено след тях.

κβ'. Ἐρωτηθεὶς ὁ τρισκατάρατος οὗτος διδάσκαλος·[α] πῶς οἱ δαιμονῶντες προσκρούουσι τῷ σταυρῷ καὶ καθυλακτοῦσιν; ἀπεκρίνατο φιλεῖσθαι μάλιστα τὸν σταυρὸν ὑπὸ τῶν ἐνοικούντων αὐτοῖς δαιμόνων ὡς οἰκεῖον ἔργον. Αὐτοὶ γάρ, φησί, τοῦτον τότε κατεσκεύασαν εἰς ἀναίρεσιν τοῦ Χριστοῦ. Πολλάκις δὲ καὶ καθυβρίζειν τοῦτον ἐν ὑποκρίσει καὶ φεύγειν αὐτὸν ἑκουσίως,[β] ἵνα βλέποντες οἱ ἄνθρωποι τιμῶσι μᾶλλον αὐτόν, ὡς ἐχθρὸν τῶν δαιμονίων καὶ διώκτην αὐτῶν.

κγ'. Ἐρωτηθεὶς καὶ αὖθις· πῶς τὰ λείψανα τῶν ἐν ἁγίοις ἱεραρχῶν καὶ τῶν μακαρίων πατέρων θαυματουργοῦσι; διάρας τὰ βέβηλα χείλη, ἐξηρεύξατο λόγον πονηρόν· ὅτι συγκεκλήρωνται τούτοις δαίμονες καὶ διδάξαντες αὐτοὺς ἔτι ζῶντας, οἳ καὶ τοῖς τάφοις αὐτῶν παραμένοντες καὶ κατέχοντες τὰς τούτων ψυχὰς τερατουργοῦσιν εἰς πρόσωπον αὐτῶν, ἵνα τοὺς ἀνοήτους ἐξαπατήσωσι καὶ πείσωσι τιμᾶν τοὺς ἀνάγνους ὡς ἁγίους. Τοσαῦτα γὰρ δύνασθαι τοὺς δαίμονας, ὅσα δὴ καὶ βούλονται, λαβόντας ἄνωθεν ἐξουσίαν ἄχρι πέρατος τῶν ἑπτὰ αἰώνων.

κδ'. Λέγουσιν ἀπ' αὐτῶν μὲν μόνων ἤτοι τῶν Βογομίλων φεύγειν ἀεὶ τοὺς δαίμονας ὡσεὶ τόξον βολήν, ἑκάστῳ δὲ τῶν ἄλλων ἁπάντων ἐνοικεῖν δαίμονα καὶ διδάσκειν αὐτὸν τὰ πονηρὰ καὶ ἄγειν ἐπὶ τὰς ἀνοσιουργίας καὶ ἀποθνήσκοντος ἐνοικεῖν αὖθις τῇ τούτου ψυχῇ[γ] καὶ παραμένειν τῷ τάφῳ καὶ ἀναμένειν τὴν ἀνάστασιν, ἵνα σὺν αὐτῷ κολασθῇ καὶ μηδὲ τῇ κολάσει τούτῳ διαχωρίζοιτο.[δ]

κε'. Λέγουσι τοὺς τῆς πίστεως αὐτῶν, ὅσοις ἐνοικήσει τὸ παρ' αὐτοῖς ἅγιον πνεῦμα, πάντας θεοτόκους καὶ εἶναι καὶ ὀνομάζεσθαι, βαστάσαντας καὶ αὐτοὺς τὸν Λόγον τοῦ Θεοῦ καὶ γεννήσαντας αὐτὸν διὰ τὸ διδάσκειν

22. Запитан, този триж проклет учител[а]: Защо обладаните от дяволите нападат и ругаят кръста, отговори, че кръста най-много обичали като свое дело обитаващите го дяволи. Самите те, казва, го построиха тогава, за да погубят Христос. А често се преструват, че го хулят, и охотно бягат от него, та хората, като гледат, да го почитат повече, уж като неприятел на дяволите и техен гонител.[б]

23. И запитан повторно по какъв начин мощите на светите свещенослужители и блажените отци вършат чудеса, като отвори нечестивите си уста, изригна злобни думи, че в тях се били заселили дяволи и ги учили, още докато са живи. Те оставали и на гробовете им, владеели душите им и вършели чудеса под техен образ, за да излъжат невежите и да ги склонят да почитат нечестивите като светци — защото дяволите могли да вършат всичко, каквото желаят, понеже получили отгоре власт чак до края на седемте века.

24. Казват, че винаги дяволите бягали само от тях, т.е. от богомилите, като стрелата от лъка и че във всеки друг човек живеел дяволът и го учел на злото и го водел към безчестието; след като той умирал, се поселвал пак в душата му[в] и оставал на гроба му, за да бъде наказан заедно с него и дори при наказанието му не се отделял от него.[г]

25. Казват, че всички тези от тяхната вяра, в които ще се засели техният свети дух, са и се наричат богородци, че те, като зачевали словото на бога, също го раждали,

---

[α] In PGr. 130, 1312 A 8—9: loco: *ὁ τρισκατάρατος οὗτος διδάσκαλος: αὖθις παρ' ἡμῶν ὁ δηλοθεὶς ἔξαρχος τῆς αἱρέσεως.*

[β] In PGr. 130, 1312, B 4—9 additur: *Ἔτι δὲ παρ' ἡμῖν οὐχ οὕτω τὸ ἀληθές. Ἕλκεσθαι μὲν γὰρ καὶ ἄκοντας ὑπὸ τῆς τοῦ Σταυροῦ δυνάμεως, καὶ ἵνα βασανίζωνται. Ἡ γὰρ ὑλακὴ καὶ αἱ στρεβλώσεις τοῦ σώματος τῶν δαιμονιζομένων, καὶ οἱ τιναγμοί, τεκμήριόν εἰσι τῆς βασάνου τῶν δαιμόνων. Ὑβρίζουσι δὲ αὐτόν, ὡς ἐχθρόν, καὶ φεύγουσιν ὡς διώκτην.*

[γ] In PGr. 130, 1309, C 8—9 loco: *τῇ τούτου ψυχῇ: τοῖς λειψάνοις.*

[δ] In PGr. 130, 1309, C 11 — D 12 additur: *Τὸ μὲν οὖν ἐνοικεῖν ἑκάστῳ τῶν ἀνθρώπων δαίμονα ἀπὸ τῆς τῶν Μασαλιανῶν ἔχουσιν αἱρέσεως, καὶ ζήτησον ἐν τῷ κατ' ἐκείνων τίτλῳ τὸ ε' κεφάλαιον, καὶ τὰ ἐφεξῆς ὀκτώ, καὶ μαθήσῃ τὴν ἀτοπίαν τοῦ δόγματος. Τῆς ἀρχῆς δὲ ψευδοῦς ἐλεγχθείσης, καὶ τὸ τέλος τοιοῦτον συναποδείκνυται, τὸ περὶ τῶν λειψάνων λέγω, καὶ τῆς ἐν αὐτοῖς οἰκήσεως τῶν δαιμόνων. Καὶ καθ' ἕτερον δὲ λόγον, εἰ παρέμενεν ἑκάστῳ τῶν τεθνεώτων δαίμων ἐκδεχόμενος τὴν τελευταίαν ἀνάστασιν, ἐπέλειψαν ἂν οἱ δαίμονες. Ἀπὸ γὰρ Ἀδὰμ ἄχρι καὶ νῦν ἀπέθανον ἄνθρωποι μυριάδες ἀναρίθμητοι. Ὅτι δὲ οὐ φεύγουσιν ἀπὸ μόνων τῶν Βογομίλων οἱ δαίμονες, ἀλλὰ καὶ συνδιάγουσι μᾶλλον, καὶ παῤῥησιάζονται πρὸς αὐτούς, δῆλον ἀπό τε τῆς ἄλλης πλάνης αὐτῶν, καὶ τοῦ φαίνεσθαι τούτοις ἐν σχήμασι διαφόροις, καὶ ὑποκατιὼν εὑρήσεις.*

[а] В PGr. 130, 1312 A 8—9 вм. този триж проклет учител: отново от нас посоченият предводител на ереста.

[б] В PGr. 130, 1312, B 4—9 продължава: Но не е такава според нас истината. Защото биват привличани, дори и против желанието си, от силата на кръста, за да бъдат измъчвани. Защото воят, телесните изтезания и мъките на обладаваните от дяволите свидетелствуват, че се измъчват. Те презират [кръста] като неприятел и го отбягват като гонител.

[в] В PGr. 130, 1309, C 8—9 вм. душата му: останките му.

[г] В PGr. 130, 1309, C 11—D 12 продължава: Че във всеки човек живеел дявол, те са научили от ереста на масалианите и потърси в частта против тях, глава пета и в осемте следващи, и ще разбереш [тогава] нелепостта на учението. Щом началото беше изобличено като лъжливо и краят се показва такъв, имам пред вид [твърдението] за мощите и за поселването в тях на дяволите. Другояче казано, ако у всеки починал останеше дявол, очаквайки последното възкресение, дяволите щяха да се свършат, защото от Адам досега са умрели безброй хиляди хора. А че дяволите не само не бягат от богомилите, но и нещо повече, съжителствуват заедно с тях и им говорят открито, е явно както от другата им заблуда, така и от това, че им се явяват под различни образи, ще се убедиш, като минеш понадолу.

ἑτέροις καὶ μηδὲν πλέον αὐτῶν ἔχειν τὴν πρώτην θεοτόκον.[α]

κϛ'. Λέγουσι τοὺς τοιούτους μὴ ἀποθνήσκειν, ἀλλὰ μεθίστασθαι, καθάπερ ἐν ὕπνῳ, τὸ πήλινον τουτὶ καὶ σαρκικὸν περιβόλαιον ἀποδυομένους καὶ τὴν ἄφθαρτον καὶ θείαν τοῦ Χριστοῦ στολὴν ἐνδυομένους καὶ γινομένους συσσώμους καὶ συμμόρφους αὐτοῦ καὶ μεθισταμένους διὰ προπομπῆς ἀγγέλων καὶ ἀποστόλων εἰς τὴν βασιλείαν τοῦ πατρός, τὸ δ' ἀποδυθὲν τούτων σῶμα εἰς τέφραν καὶ κόνιν διαλύεσθαι, μηκέτι μηδαμῶς ἀνιστάμενον.[β]

κζ'. Μόνην ὀνομάζουσι προσευχὴν τὴν ὑπὸ τοῦ Κυρίου παραδοθεῖσαν ἐν τοῖς Εὐαγγελίοις ἤγουν τὸ Πάτερ ἡμῶν. Καὶ ταύτην μόνην προσεύχονται ἑπτάκις μὲν τῆς ἡμέρας, πεντάκις δὲ τῆς νυκτός. Ὁσάκις δὲ εἰς προσευχὴν ἵστανται, λέγουσι τὴν προσευχὴν ταύτην, οἱ μὲν δεκάκις μετὰ γονυκλισίας, οἱ δὲ πεντεκαιδεκάκις, οἱ δὲ πλεῖον ἢ ἔλαττον. Τὰς δ' ἄλλας πάσας εὐχὰς ἀτιμάζουσι, βαττολογίας αὐτὰς ἀποκαλοῦντες καὶ τῆς ἐθνικῆς μερίδος, τὴν

като поучавали другите, и че с нищо не ги превъзхождала първата Богородица.[а]

26. Казват, че които са такива, не умирали, но се променяли като на сън, че събличали тази земна и плътска покривка и обличали нетленната и божествена дреха на Христа. Ставали една плът и един образ с него и отивали в съпровод от ангели и апостоли в царството на отца, а тялото, което са изоставили, се разпадало на прах и пепел, за да не възкръсне никога вече.[б]

27 Признават само молитвата, която е предадена от господа в евангелията, т.е. „Отче наш". И само с нея се молят седем пъти на ден и пет пъти нощем. Колкото пъти застават за молитва, произнасят тази молитва, едни десет пъти с коленичене, други петнадесет пъти, а трети повече или по-малко. Всички други молитви отхвърлят, наричайки ги бръщолевения и присъщи на езични-

---

[α] In PGr. 130, 1317, B 14 — C 4 additur: *Καὶ οὐδὲ τοσοῦτον γοῦν φρονοῦσιν, ὅσον εἰδέναι διαφορὰν ἐνυποστάτου καὶ ζῶντος Λόγου ἁπλῶς λόγου προφορικοῦ, ἵνα παραδράμωμεν τὰ κατὰ τὴν κυρίως θεοτόκον φρικτὰ καὶ παράδοξα μυστήρια.*

[β] In PGr. 130, 1317, C 13 — 1320, B 5 additur: *Ὅτι δὲ οὐ καθάπερ ἐν ὕπνῳ, καὶ ἀπεκδύσει περιβολαίου γίνεται τούτοις ἀνώδυνος ὁ θάνατος, ἔδειξεν ὁ τῆς αἱρέσεως αὐτῶν ἔξαρχος, πολλαῖς ὀδύναις ὑποβληθεὶς μετὰ τὸ δοθῆναι κατ' αὐτοῦ τὴν διὰ πυρὸς ἀπόφασιν, καὶ τῷ φόβῳ προσκαταδαπανηθείς, καὶ καιρίας πληγὰς εἰς τὴν καρδίαν δεξάμενος, ὅτε τοῦ δράματος ἀπογυμνωθέντος, ἔγνω κατασοφισθείς, τῶν μυστηρίων μὲν τῆς πίστεως αὐτοῦ δημοσιευθέντων καὶ παραδοθέντων γραφῇ πρὸς θρίαμβον, τῶν μαθητῶν δὲ αὐτοῦ, καὶ μάλιστα συγγενῶν, καὶ τῶν ἄλλως γνησιωτέρων σαγηνευθέντων, καὶ ταῖς εἱρκταῖς ἐναποκλεισθέντων, καὶ πάσης αὐτῷ πανταχόθεν βοηθείας ἀπολωλυίας, καὶ φρούδων τῶν ἐλπίδων γεγενημένων. Τοὺς γὰρ μαθητάς, ὡς εἴρηται, καὶ συγγενεῖς οὕτω ἐλεεινῶς ἔχοντας ἰδὼν παρὰ πᾶσαν προσδοκίαν· μέχρι γὰρ τῆς τελευταίας ἡμέρας ᾤετο πάντας ἐν ἀγαθοῖς εἶναι κατὰ τὴν τοῦ βασιλέως ὑπόσχεσιν· καὶ προδοσίαν παρ' αὐτῶν ἐγκληθείς, ἀφῆκε μὲν πικρῶν δακρύων πηγάς, ἀνέπεμψε δὲ στεναγμοὺς βυθίους, τὴν ἔνδον τῆς καρδίας φλόγα μηνύοντας, καὶ καθάπερ τυφῶνι ταῖς συμφοραῖς βληθείς, ἐλειποθύμει, καὶ ἀνακτώμενος αὖθις κατεφέρετο, στῆναι μὴ δυνάμενος ἕως ὑπὸ τῶν ἄγειν κελευσθέντων ἀρθείς, βασταζόμενος ἀπήχθη πρὸς τὴν πυράν, καὶ τῆς φωνῆς αὐτὸν ἐπιλειπούσης, πυκνῷ τῷ ἄσθματι κατασχεθείς, ἠκοντίσθη κατὰ τῆς φλογός, καὶ ὡλοκαυτώθη τῷ προσκυνουμένῳ παρ' αὐτοῦ δαίμονι. Καὶ αὐτὸς μὲν ἐξεδήμησε πρὸς τὸν ἡτοιμασμένον αὐτῷ τόπον τοῦ σκότους καὶ τῆς ἄλλης κακώσεως· τὸ σῶμα δὲ τοῦ τρισαθλίου τούτου γέροντος ἀναστήσεται πάντως ἐν τῇ ἡμέρᾳ τῆς κοινῆς ἀναστάσεως κατὰ τὴν τοῦ Σωτῆρος ἀπόφασιν, εἰρηκότος, ἀναστήσεσθαι καὶ τοὺς τὰ φαῦλα πράξαντας εἰς κόλασιν αἰώνιον, εἰ καὶ αὐτὸς μὴ εἶναι τῶν τεθνεώτων ἀνάστασιν ἐδογμάτιζε, τὰς τοσαύτας τοῦ Ἀποστόλου περὶ ταύτης μαρτυρίας, καὶ γενναίας ἀποδέξεις, ὡς ψευδεῖς παρωθούμενος.*

[а] В PGr. 130, 1317, B 14—C 4 продължава: Несъмнено и толкова разум нямат, че да разбират разликата между съществуващото живо Слово и просто произносимото слово, да не говорим за удивителните и невероятни тайнства относно истинската Богородица.

[б] В PGr. 130, 1317, C 13—1320, B 5 продължава: Но че не като насън и със събличане на дрехата ги спохожда безболезнено смъртта, показа предводителят на тяхната ерес. Той бе подхвърлен на много страдания след издадената присъда да бъде изгорен. Измъчван от страх и със смъртоносни рани в сърцето, разбра, че е надхитрен, когато бе разобличено делото му, тъй като тайните на неговата вяра бяха изнесени публично и предадени писмено като трофей. А учениците му, най-вече тези, които бяха свързани с него по родство и които му бяха някак по-близки, бяха оковани и хвърлени в тъмница, така за него пропадна отвсякъде всяка помощ, а техните надежди останаха напразни. Защото, както се каза, видя учениците си и близките си, въпреки всяко очакване, в окаяно състояние. А вярваше, че до последния ден всички ще бъдат между щастливците според обещанието на царя. И обвинен от тях в предателство, отпусна изворите на горчивите си сълзи и издаде дълбоки стенания, които разкриваха вътрешния пожар на сърцето му. Сякаш паранен от бурята на страданията, той припадаше, съвземаше се и пак отпадаше и не можеше да се държи на крака, докато не беше дигнат от тези, на които бе наредено да го поведат, и не беше довлечен на ръце до кладата, без да може да издаде глас, и измъчван от силен задух, беше изгорен в огъня заедно с дявола в него, на когото се покланяше. И той отпътува за мястото на мрака и на другите злини, което сам си беше заслужил. А тялото на този трижнещастен старец наистина ще възкръсне в деня на общото възкресение според обещанието на спасителя, който рече, че ще възкръснат тези, които са вършили зло, за вечни мъки, макар че той [Василий] поучаваше, че няма да има възкресение на мъртвите, отхвърляйки като лъжливи такива свидетелства и истински доказателства на апостола за възкресението.

ἐν τοῖς Εὐαγγελίοις εἰρημένην βαττολογίαν ἐπὶ ταύτας ἀνοήτως μετάγοντες.[α]

κζ'. Τὸ μὲν παρ' ἡμῖν βάπτισμα τοῦ Ἰωάννου λέγουσιν, ὡς δι' ὕδατος ἐπιτελούμενον, τὸ δὲ παρ' αὐτοῖς τοῦ Χριστοῦ διὰ Πνεύματος, ὡς αὐτοῖς δοκεῖ τελειούμενον. Διὸ καὶ τὸν προσερχόμενον αὐτοῖς ἀναβαπτίζουσι, πρῶτα μὲν ἀφορίζοντες αὐτῷ καιρὸν εἰς ἐξομολόγησιν καὶ ἁγνείαν καὶ σύντονον προσευχήν, εἶτα τῇ κεφαλῇ αὐτοῦ τὸ Εὐαγγέλιον ἐπιτιθέντες, καὶ τό· ἐν ἀρχῇ ἦν ὁ λόγος ἐπαναγινώσκοντες καὶ τὸ παρ' αὐτοῖς ἅγιον Πνεῦμα ἐπικαλούμενοι καὶ τὸ πάτερ ἡμῶν ἐπᾴδοντες. Μετὰ δὲ τὸ τοιοῦτον βάπτισμα καιρὸν αὖθις ἀποκληροῦσιν εἰς ἀκριβεστέραν ἀγωγὴν καὶ πολιτείαν ἐγκρατεστέραν καὶ καθαρωτέραν προσευχήν, εἶτα μαρτύριον ἀπαιτοῦσιν, | εἰ ἐφύλαξε πάντα, εἰ σπουδαίως ἠγωνίσατο, καὶ μαρτυρούντων ὁμοῦ ἀνδρῶν τε καὶ γυναικῶν ἄγουσιν αὐτὸν ἐπὶ τὴν θρυλλουμένην τελείωσιν, καὶ στήσαντες τὸν ἄθλιον κατὰ ἀνατολὰς ἐπιτιθέασιν αὖθις τῇ μιαρᾷ τούτου κεφαλῇ τὸ Εὐαγγέλιον καὶ τὰς ἐναγεῖς αὐτῶν ἐπάγοντες χεῖρας οἱ παρατυχόντες ἄνδρες καὶ γυναῖκες τὴν ἀνόσιον ἐπᾴδουσι τελετήν.[β] Καὶ οὕτω τελοῦσι καὶ τελειοῦσι, μᾶλλον δὲ συντελοῦσι καὶ καταποντίζουσι τὸν βυθοῦ καὶ διαφθορᾶς ἐπάξιον.[γ]

κθ'. Στολίζονται κατὰ μοναχοὺς καὶ τὸ σχῆμα τούτων ὡς δέλεαρ

ците, като безразсъдно пренасят споменатото в евангелията бръщолевене към тях.[а]

28. Казват, че нашето кръщаване било кръщение Йоаново, понеже се извършвало с вода, а тяхното било Христово и ставало, както смятат, чрез духа. И затова, ако някой се присъедини към тях, те го кръщават отново. Най-напред му определят време за изповед, очищение и усърдна молитва, след това, полагайки на главата му евангелието, прочитат „В начало бе Словото“, призовават своя свети дух и изпяват „Отче наш“. След такова кръщение определят отново време за по-подробно обучаване, за по-въздържан живот и за по-чиста молитва, след това искат доказателство, че е спазил всичко това и че се е подвизавал ревностно. След като го утвърдят едновременно мъже и жени, повеждат го към прословутото си посвещение: те обръщат окаяника към изток, отново полагат върху нечестивата му глава евангелието, присъствуващите мъже и жени го докосват със светотатствените си ръце и пеят нечестивата си молитва.[б] И така те посвещават — завършват, по-скоро довършват и потопяват във вода достойния за морското дъно и за погибел.[в]

29. Обличат се като монаси и си служат със своята външност като с примамка, при-

---

[α] In PGr. 130, 1316, A 6 — B 5 additur: *μὴ γινώσκοντες, ὅτι βαττολογίαν οἶδεν ὁ εὐαγγελικὸς λόγος οὐ τὴν ἁπλῶς πολυλογίαν, ἀλλὰ τὴν περὶ τῶν μὴ προσηκόντων αἴτησιν. Ὁ δὲ Κύριος παρέδωκε τοῖς ἀποστόλοις τὴν τοῦ Πάτερ ἡμῶν προσευχὴν ῥίζαν προσευχῆς καὶ εἶδος, οὐ ταύτῃ μόνῃ τὴν προσευχὴν περιορίζων, ἀλλ' ἵνα λαμβάνοντες ἐκ ταύτης τὰς ἀφορμὰς δύνωνται ποιεῖν καὶ ἑτέρας, αὐξανομένης τῆς προσευχῆς. Ἐπεὶ καὶ οὐδὲ νηστεύειν αὐτοῖς κατ' ἀρχὰς ἐπέταξεν, οὐδὲ παρεχώρησε σκληραγωγεῖσθαι τοσοῦτον, ὅσον μετὰ τὴν εἰς οὐρανοὺς ἀνάληψιν αὐτοῦ καὶ ἀποκατάστασιν. Διὸ καὶ ἔλεγε „Μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος πενθεῖν ἐφ'ὅσον μετ'αὐτῶν ἐστιν ὁ Νυμφίος. Ἐλεύσονται δὲ ἡμέραι, ὅταν ἀπαρθῇ ἀπ'αὐτῶν ὁ Νυμφίος, καὶ τότε νηστεύσουσιν.*

[β] In PGr. 130, 1312, C 14—15 additur: *Αὕτη δέ ἐστιν εὐχαριστήριος ὕμνος, ὅτι διεφύλαξε τὴν παραδεδομένην ἀσέβειαν.*

[γ] In PGr. 130, 1312, D 3 — 1313, A 5 additur: *Εἰ μὲν οὖν ὕδατι μόνῳ τὸ καθ'ἡμᾶς ἐτελεῖτο βάπτισμα, ἦν ἂν οὕτω τοῦ Ἰωάννου τὸ ἡμέτερον βάπτισμα· ἐπεὶ δὲ οὐχ ὕδατι μόνον, ἀλλὰ καὶ ἁγίῳ Πνεύματι τελεσιουργεῖται, καθὼς ὁ Κύριος ἐδίδαξεν εἰπὼν „Ἐὰν μή τις γεννηθῇ δι'ὕδατος καὶ Πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τοῦ θεοῦ, μάτην ὑλακτοῦσιν. Εἴρηται γὰρ καὶ ἐν τῷ κατὰ τῶν Παυλικιάνων τίτλῳ περὶ τοῦ ἁγίου βαπτίσματος ἀκριβέστερον, καὶ ζήτησον ἐκεῖ τὰ περὶ τούτου κεφάλαια. Ἀλλὰ τὸ μὲν ἡμέτερον βάπτισμα κατὰ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου δι'ὕδατος γίνεται καὶ ἁγίου Πνεύματος, τὸ δὲ παρ'ἐκείνων πόθεν παρεδόθη, δειξάτωσαν. Ἐν ποίᾳ τῶν δεκτῶν αὐτοῖς ἑπτὰ βίβλων περὶ τούτου γέγραπται; Λείπεται οὖν ὑπὸ τῶν δαιμόνων τοῦτο μαθεῖν αὐτούς, ἵνα γυμνωθῶσι τοῦ ἀληθινοῦ καὶ θείου βαπτίσματος.*

[а] В PGr. 130, 1316, А 6—В 5 продължава: без да разбират, че евангелското слово разбира под бръщолевене не простото многословие, но искането на неподобаващи неща. А господ предаде на апостолите молитвата „Отче наш“ като основа и образец за молитва, без да ограничи моленето само с нея, но за да могат тези, които вземат от нея съдържанието, да съставят и други [молитви], за да се увеличи моленето. Защото отначало не им нареди да постят и не им позволи да се подлагат на суров живот в такава степен, както след неговото възкресение и възнесение на небесата. Затова и рече: „Не могат синовете на сватбаря да жалеят, докато е с тях младоженецът. Ще дойдат обаче дни, когато ще им се отнеме младоженецът, и тогава ще постят.“[32]

[б] В PGr. 130, 1312, С 14—15 продължава: Това е благодарствен химн, че е опазил предаденото му безчестие.

[в] В PGr. 130, 1312, D 3—1313, А 5 продължава: Впрочем ако нашето кръщение се извършваше само с вода, така без съмнение би било нашето кръщение Йоановото. Но понеже се извършва не само с вода, но и с дух свети, както учеше господ, казвайки: „Ако не се роди някой от вода и дух, не може да влезе в божието царство“, напразно лаят. Казано е и в частта Срещу павликяните по-точно за светото кръщение и потърси там главите за него. Но нашето кръщение става според казаното от господа чрез вода и дух свети, а тяхното отде е взето, нека посочат. В коя от посочените от тях седем книги е писано за него? И тъй остава, че те са научили това от дяволите, за да бъдат лишени от истинското божествено кръщение.

[32] Матей 9, 15.

περιβάλλονται, τῷ κωδίῳ τὸν λύκον ἀποκρύπτοντες, ὡς ἂν[α] εὐλαβῶς παραδεχόμενοι[β] διὰ τῆς χρηστολογίας ἐναποπτύσωσι τὸν ἰὸν καὶ τῷ μελικράτῳ παρακιρνᾶν τὸ δηλητήριον ἔχοιεν φιλοκάκουργον καὶ περιπόνηρον καὶ κακομόχθηρον ἦθος ἔχοντες.

λ'. Ἐν ἀρχῇ μὲν τοὺς εἰσαγωγικοὺς ἁπλῶς διδάσκουσι παρεγγυώμενοι πιστεύειν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα καὶ γινώσκειν τὸν Χριστὸν σεσαρκῶσθαι καὶ δοῦναι τοῖς ἁγίοις ἀποστόλοις τὸ ἱερὸν Εὐαγγέλιον καὶ ὑποτιθέμενοι τηρεῖν τὰς εὐαγγελικὰς ἐντολὰς καὶ προσεύχεσθαι καὶ νηστεύειν καὶ ἁγνεύειν πάσης ἀκαθαρσίας καὶ ἀκτημονεῖν καὶ ἀνεξικακεῖν καὶ ταπεινοφρονεῖν καὶ ἀληθεύειν καὶ ἀγαπᾶν ἀλλήλους καὶ ἁπλῶς χρηστὰ πάντα κατηχοῦσι, σαίνοντες μὲν τῇ χρησίμῳ διδασκαλίᾳ, θηρεύοντες δὲ κατὰ μικρὸν καὶ λεληθότως ἄγοντες εἰς ἀπώλειαν. Καιροῦ γὰρ προβαίνοντος παρασπείρουσι τῷ σίτῳ καὶ ζιζάνια. Καὶ ὅτε τοὺς ἀθλίους χειροήθεις καὶ πειθηνίους ἐργάσωνται καὶ λάβωσιν εἴσω τῶν ἀρκύων, τότε δὴ τότε τὸν κυκεῶνα τοῦ δηλητηρίου ποτίζουσιν, ἀπαρακαλύπτως βλασφημοῦντες καὶ τὰ δόγματα τοῦ διαβόλου μυσταγωγοῦντες αὐτούς.

λα'. Λέγουσιν οὐκ ὄναρ μόνον πολλάκις, ἀλλὰ καὶ ὕπαρ βλέπειν τὸν πατέρα μὲν ὡς γέροντα βαθυγένειον, τὸν δὲ υἱὸν ὡς ὑπηνήτην ἄνδρα, τὸ δὲ πνεῦμα τὸ ἅγιον ὡς λειοπρόσωπον εὐνοῦχον,[γ] τῶν δαιμόνων εἰς τὰ εἴδη ταῦτα ῥᾳδίως μετασχηματιζομένων· σκότος γάρ, φησίν, ἐστὶ καὶ φῶς ὑποκρίνεται.[δ]

λβ'. Πάσης ἑβδομάδος δευτέραν καὶ τετράδα καὶ παρασκευὴν παραγγέλλουσι νηστεύειν ἕως ὥρας θ'. Εἰ δέ τις αὐτοὺς ἐπὶ τράπεζαν καλέσειεν, εὐθὺς ἐπιλαθόμενοι τῆς παραγγελίας ἐσθίουσιν[ε] ὡς ἐλέφαντες. Ἐκ τούτου δὲ πρόδηλον, ὅτι καὶ ἀσελγαίνουσιν, εἰ καὶ πορνείαν λόγῳ κολάζουσιν, ὡς ἄσαρκοι καὶ ἀσώματοι.

λγ'. Πρόσχημα μὲν ἀπάτης τῶν ἁπλουστέρων τὸ πιστεύειν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα προβάλλονται, τὰς τρεῖς δὲ ταύτας κλήσεις τῷ πατρὶ προσάπτουσι καὶ ἀνθρωποπρόσωπον τοῦτον ὑπολαμβάνουσιν, ὡς ἀνωτέρω δεδήλωται, παρ' ἑκατέραν μήνιγγα ἀκτῖνα ἐκλάμποντα, τὴν μὲν υἱοῦ, τὴν δὲ πνεύματος, καὶ οὕτω καταστρέφει τούτοις ἡ πίστις εἰς τερατόμορφόν[ζ] τινα θεὸν | καὶ ὄντως ἀνύπαρκτον. Οἰχομένου δὲ τού-

кривайки вълка с овча кожа, та като посрещнат [някого][а] набожно[б] с лицемерна реч, да изплюят отровата и да могат да примесят в медено-млечното питие отровната течност, понеже притежават коварен, порочен и подъл нрав.

30. Отначало те просто наставляват посещаваните, като ги увещават да вярват в отца и сина, и светия дух, и да знаят, че Христос е приел човешка плът и дал на светите апостоли светото евангелие. Те още ги съветват да спазват евангелските повели, да се молят и да постят, да бъдат чисти от всякакъв порок, да не притежават нищо и да понасят с примирение злото, да бъдат смирени, да говорят истината и да се обичат помежду си. И изобщо ги поучават на всякакво добро; така ги примамват с полезното поучаване и постепенно ги завладяват и неусетно ги водят към гибел. След известно време те започват да сеят към житото и плевели. И когато направят нещастниците свои покорни и подчинени и ги хванат здраво в мрежите си, тогава именно им дават да пият това отровно питие, неприкрито богохулствуват и ги въвеждат в дяволските тайнства.

31. Казват, че често не само насън, но и наяве виждат отца като старец с дълга брада, а сина като възмъжаващ юноша, а светия дух като голобрад евнух,[в] тъй като дяволите лесно се превъплъщават в тези образи. Защото, казва се, [дяволът] е мрак, а се преструва на светлина.[г]

32. На втория и четвъртия ден и в петъка на всяка седмица си определят да постят чак до деветия час. Ако обаче някой ги покани на трапеза, веднага забравят наставлението и ядат[д] като слонове. От това става ясно, че безчинствуват, ако и на думи да корят блудството, като че ли са лишени от плът и тяло.

33. Мамят по-простите, като вярват в отца и сина и светия дух и като прикачват тези три прозвища към отца и като смятат, че той е надарен с човешки образ, както беше посочено по-горе, и че изпуска от двете страни на главата си лъчи, единия на сина, а другия на духа. И така вярата им се насочва към някакъв чудноват[е] бог и в дей-

---

[α] In PGr. 130, 1320, C 3 additur: *διὰ τὸ σχῆμα.*

[β] In PGr. 130, 1320, C 4 additur: *καὶ χώραν ὁμιλίας λαμβάνοντες, ἀνυπόπτως.*

[γ] In PGr. 130, 1320, B 9 loco: *εὐνοῦχον*: *νεανίαν.*

[δ] In PGr. 130, 1320, B 10—15 loco: *σκότος γάρ, φησίν, ἐστὶ καὶ φῶς ὑποκρίνεται*: *καὶ ἐξαπατώντων αὐτούς, καὶ διδασκόντων ἄνισον εἶναι τὴν ἁγίαν Τριάδα, καὶ διάφορον κατὰ τὴν τῶν σχημάτων τούτων διαφοράν, καὶ τὴν ἀρειανικὴν κατατομὴν τῆς μιᾶς φύσεως τούτοις ἐγκατασπειρόντων.*

[ε] In PGr. 130, 1320, C 10—11 additur: *καὶ πίνουσιν.*

[ζ] In PGr. 130, 1292, D 9 additur: *σωματοειδῆ . . . καί.*

[а] В PGr. 130, 1320, C 3 продължава: привидно.

[б] В PGr. 130, 1320, C 4 продължава: и като получат възможност да разговарят без подозрение.

[в] В PGr. 130, 1320, B 9 вм. евнух: младеж.

[г] В PGr. 130, 1320, B 10—15 вм. Защото. . . светлина: Те ги лъжат и учат, че света троица е нееднина и различна с оглед на различието на тези образи, като им внушават арианското обрязване на единия пол.

[д] В PGr. 130, 1320, C 10—11 продължава: и пият.

[е] В PGr. 130, 1292, D 9 продължава: плътовиден и.

τοις τοῦ πρὸς ἀλήθειαν θεοῦ λοιπὸν ὑπολιμπάνεται αὐτοῖς ἀληθὴς προσκύνησις, ἡ τῶν δαιμονίων.[α]

λδ'. Ὅταν ὑπό τινος ῥητοῦ τῆς γραφῆς τῶν ἑπτὰ βίβλων στενοχωρηθῶσι καὶ πρὸς τὴν ἀλήθειαν συνελαθῶσιν, εὐθὺς εἰς ἀλληγορίαν τρέπονται, πειρώμενοι διαδιδράσκειν τὸν ἔλεγχον.

λε'. Ἀθετοῦντες τὰς μωσαϊκὰς βίβλους ῥήσεις ἐξ αὐτῶν πολλάκις[β] εἰς συνηγορίαν ἑαυτῶν προσλαμβάνουσιν.

λϛ'. Φασὶν ἐν ταῖς καθ' ὕπνον φαντασίαις αὐτοὺς τοὺς δαίμονας ἀσελγαίνειν σωματικῶς εἰς τὰ σώματα τῶν ἀνθρώπων ἢ ποιοῦντας εἰς αὐτοὺς ἢ πάσχοντας ὑπ' αὐτῶν.

Περὶ τῶν εὐαγγελικῶν ῥητῶν.

λζ'. Παρερμηνεύουσιν ὅλας τὰς προειρημένας ἑπτὰ βίβλους, τὰ ῥήματα τούτων στρεβλοῦντες καὶ τῆς ὀρθῆς ἐκτρέποντες ἐννοίας καὶ πρὸς τὸ δοκοῦν αὐτοῖς μεταφέροντες· καὶ ὅσα μὲν περὶ ἁμαρτανόντων καὶ ἀσεβούντων καὶ εἰδωλολατρούντων ἐν αὐταῖς εἴρηται, ταῦτα τοῖς καθ' ἡμᾶς πιστοῖς ἀνατιθέασιν· ὅσα δὲ περὶ εὐαρεστούντων θεῷ, πρὸς ἑαυτοὺς ἕλκουσι, καὶ μετὰ πληροφορίας ἑαυτοὺς εἶναι τοὺς ἐκλεκτοὺς καὶ δικαίους καὶ κληρονόμους τοῦ θεοῦ λέγουσιν.

λη'. Ἑκάστης μὲν οὖν ἐξήγησιν βίβλου παρ' ἐκείνων ὑφηγουμένην, μᾶλλον δὲ παρατροπὴν καὶ τοῦ καθεστηκότος ἐξαλλαγήν, μακρὸν ἂν εἴη συγγράφειν καὶ χρόνου πολλοῦ δεόμενον καὶ σαφὴς ματαιοπονία | καὶ κόπος εἰς οὐδὲν χρήσιμον καταλήγων. Ἄχρι γὰρ ὀλίγου προβαίνοντες οἱ ἀναγινώσκοντες καὶ πρὸς τὰς ἀτοπίας τῶν βλασφημιῶν εὐθὺς ἀποκναίοντες καὶ καθάπερ οἱ ναυτιῶντες ἰλίγγου καὶ σκοτοδίνης μεστοὶ γινόμενοι ῥίψουσιν εὐθὺς εὖ οἶδα τὰ περὶ τούτων συντάγματα καὶ καταπτύσουσι καὶ ἀποστραφήσονται· πολλὴν ἀκαιρίαν κατασκεδαννύντες ἡμῶν· ἵνα δὲ μὴ δοκῶμεν πλάττειν ἀπολογίαν καὶ πειρᾶσθαι διαδιδράσκειν τὸν ἐν τούτοις πόνον, ὀλίγα ῥητὰ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου κατὰ τὴν ἐκείνων παραπληξίαν διερμηνεύσαντες, ἵνα μὴ λέγω διαστρέψαντες, δείξομεν ἀπὸ τοῦ γεύματος τὸν πίθον καὶ ἀπὸ τοῦ ῥείθρου τὴν πηγὴν καὶ ἀπὸ τοῦ κρασπέδου τὸ ὕφασμα.

λθ'. Βηθλεὲμ ὀνομάζουσι τὴν συναγωγὴν ἑαυτῶν· ἐν αὐτοῖς γὰρ γεννηθῆναι τὸν Χριστὸν ἤτοι τὸν λόγον τοῦ θεοῦ τὸν κηρύττοντα τῆς πίστεως τὴν ἀλήθειαν. Ἡρώδην δὲ νοοῦσι τὴν καθ' ἡμᾶς ἐκκλησίαν, πειρωμένην ἀνελεῖν τὸν παρ' αὐτοῖς γεννηθέντα λόγον τῆς ἀληθείας. Καὶ μάγους μὲν αὖθις προσ-

стритолност несъществуващ. Щом за тях изчезва истинският бог, остава им истинското преклонение пред дяволите.[а]

34. Когато бъдат опровергани от някой цитат на седемте книги на Писанието и трябва да признаят истината, веднага се обръщат към иносказание, опитвайки се да избягнат изобличението.

35. Отхвърляйки книгите на Мойсей, те често[б] вземат от тях думи за своя защита.

36. Казват, че в съновиденията самите дяволи блудствували с телата на хората, като или нападали, или били нападани.

За евангелските слова.

37. Тълкуват превратно изцяло споменатите седем книги, като изопачават думите им, изкълчват правилния им смисъл и ги нагаждат към своето учение. Каквото е казано в тях за грешници, безбожници и идолопоклонници, това те приписват на нашите вярващи. А каквото се говори за любимците на бога, вземат го за себе си и казват с пълна увереност, че самите те са избраниците, праведниците и наследниците на бога.

38. Да разказваме предаваното от тях тълкуване на всяка книга, което представя по-скоро отклонение и изменение на установеното, би продължило дълго и би ни било нужно много време, а освен това явно напразен труд и усилие, което не води към нищо полезно. Когато някои се зачетат малко и се изморят от безсмислието на техните богохулства, ще почувствуват подобно на страдащите от морска болест, добре зная, виене на свят и ще им притъмнее пред очите и тогава веднага ще захвърлят тези съчинения, ще ги презрат и отблъснат. Така ще ни спестят голямо неудобство. Но за да не изглежда, че си готвим защита и че се опитваме да се избавим от този си труд, като тълкуваме, да не кажа извъртаме според тяхното безумие някои слова от евангелието на Матей, ще определим по една глътка делвата, по една струя извора и по една нишка тъканта.

39. Наричат своята църковна общност Витлеем, защото сред тях се бил родил Христос, т.е. словото божие, което възвестява истинната вяра. А Ирод зоват нашата църква, понеже се опитвала да унищожи роденото у тях слово на истината. Също така наричат себе си маги и само тук говорят истина-

---

[α] In PGr. 130, 1292, D 11 — 1293 A 5 loco: *Οἰχομένου δὲ τούτοις τοῦ πρὸς ἀλήθειαν θεοῦ λοιπὸν ὑπολιμπάνεται αὐτοῖς ἀληθὴς προσκύνησις, ἡ τῶν δαιμονίων: Τὸ μὲν οὖν προσάπτειν τῷ Πατρὶ τὰς εἰρημένας τρεῖς κλήσεις ἐκ τῆς Σαβελιανῆς αἱρέσεως ἔλαβον, τὴν δὲ τοῦ τοιούτου δόγματος ἀνατροπὴν ζητητέον ἐν τῷ τίτλῳ τῷ κατὰ Σαβελιανῶν. Τῇ μέντοι τερατομορφίᾳ τοῦ κατ'αὐτοὺς θεοῦ τὸ σωματοειδὲς καὶ τὸ τῆς μορφῆς ἀλλόκοτον ἀρκέσει πρὸς ἔλεγχον.*

[β] In PGr. 130, 1292, C 12 additur: *πανούργως.*

[а] В PGr. 130, 1292, D 11—1293, A 5 вм. Щом... дяволите: Да отдават на отца споменатите три имена те са възприели от савелианската ерес. И изврищението на това учение трябва да се потърси в частта срещу савелианите. А това, че представят бога с чудновата форма и с плътски образ и с необикновен вид, е достатъчно да ги изобличи.

[б] В PGr. 130, 1292, C 12 продължава: хитро.

ἀγορεύουσιν ἑαυτούς, τοῦτο μόνον ἀληθεύοντες· γόητες γάρ εἰσιν ὄντως καὶ λυμεῶνες καὶ ἀλιτήριοι.

μ'. Ἱεροσόλυμα δὲ πάλιν ὀνομάζουσι τὴν ἡμετέραν ἐκκλησίαν· ἀστέρα δὲ τὸν Μωσέως νόμον· ἐπ' αὐτοῦ γὰρ ὁδηγηθῆναι μέχρι τῆς καθ' ἡμᾶς πίστεως· εἶτα παρὰ τῶν ἀρχιερέων αὐτῆς καὶ τῶν ἄλλων γραμματέων καὶ Φαρισαίων μαθεῖν αὐτούς, ὅτι ὁ Χριστὸς ἐν τῇ δηλωθείσῃ γεννᾶται Βηθλεέμ· ἀφ' ἡμῶν γὰρ γενέσθαι τοὺς πρώτους διδασκάλους αὐτῶν.

μα'. Μυθεύονται Ῥαχὴλ γεγονέναι τινὰ γυναῖκα χήραν, δύο θυγατέρας ἔχουσαν, νηπίαν ἀγούσας ἡλικίαν· ὅτε δὲ τὰ ἄρρενα βρέφη συνῆγεν ὁ Ἡρώδης, ὑπολαβοῦσαν τιμῆς αὐτὰ καὶ χαρίτων ἀξιοῦσθαι παρ' αὐτοῦ, μετασχηματίσαι ταύτας εἰς ἄρρενας καὶ προσαγαγεῖν ὡς υἱούς· ἐπεὶ δὲ καὶ ταῦτα τοῖς ἄλλοις ὡς ἄρρενα συνανῃρέθη, τὰς μὲν ἄλλας μητέρας κλαίειν ἁπλῶς, τὴν δὲ Ῥαχὴλ ἀπαράκλητα· διότι σπεύσασα κατασοφίσασθαι κατεσοφίσθη μᾶλλον καὶ τὰς θυγατέρας αὐτὴ μάτην ἀπώλεσεν· ἀλληγοροῦντες δὲ τὸν λόγον φασὶ Ῥαχὴλ μὲν τὸν ἐπουράνιον πατέρα, τέκνα δὲ αὐτοῦ τήν τε ψυχὴν τοῦ Ἀδὰμ καὶ τὴν ψυχὴν τοῦ Χριστοῦ· ὧν ἀναιρεθεισῶν παρὰ Ἡρώδου, δηλονότι τοῦ κοσμοκράτορος, κλαίειν ἀπαράκλητα τὸν πατέρα διὰ τὴν τούτων ἀναίρεσιν.

μβ'. Αὐτὸς δέ φασιν ὁ Ἰωάννης εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ· ἡ δὲ τροφὴ αὐτοῦ ἦν ἀκρίδες καὶ μέλι ἄγριον· ταῦτα μὲν τὰ τοῦ εὐαγγελίου ῥητά· σκοπητέον δὲ καὶ τί λέγουσι περὶ τούτων, οἱ ἐμβρόντητοι καὶ μεμηνότες καὶ παραπαίοντες.

μγ'. Τρίχας μὲν καμήλου φασὶ τὰς ἐντολὰς τοῦ μωσαϊκοῦ νόμου· καὶ τοῦτον γὰρ ἀκάθαρτον εἶναι κατὰ τὴν κάμηλον ὡς κρεωφαγίαν καὶ γάμον καὶ ὅρκον | καὶ θυσίας καὶ φόνους καὶ πολλὰ τοιαῦτα τοῖς ὑπηκόοις ἐντελλόμενον· ζώνην δὲ λέγουσι δερματίνην τὸ ἱερὸν εὐαγγέλιον, ὡς δέρμασι προβάτων ἐγγεγραμμένον· καὶ αὖθις· ἀκρίδας μὲν τὰς τοῦ μωσαϊκοῦ νόμου παραγγελίας, ὡς μὴ κρινούσας ὀρθὰ μηδὲ διακρινούσας τὸ βέλτιον· μέλι δὲ ἄγριον τὸ θεῖον εὐαγγέλιον, μέλι μὲν φαινόμενον τοῖς παραδεχομένοις αὐτό· ὡς γλυκέα γάρ φησι τὰ λόγιά σου τῷ λάρυγγί μου· ἄγριον δὲ τοῖς μὴ παραδεχομένοις διὰ τὴν πικρίαν τῆς κατ' αὐτὸ στενῆς πύλης καὶ τεθλιμμένης ὁδοῦ· τὸν πρόδρομον γὰρ μέσον γενέσθαι καὶ τοῦ παλαιοῦ νόμου καὶ τοῦ νέου καὶ μετασχεῖν ἀμφοτέρων, τοῦ μὲν πρότερον, τοῦ δὲ ὕστερον.

μδ'. Φαρισαίους καὶ Σαδδουκαίους ἐρχομένους ἐπὶ τὸ βάπτισμα Ἰωάννου προσαγορεύουσι τοὺς καθ' ἡμᾶς πιστούς· ὢ τῆς ἀναισχυντίας· εἶτα καθυβρίζοντες ὀνομάζουσιν ἡμᾶς γεννήματα ἐχιδνῶν ἤγουν σπέρματα τοῦ ὄφεως, τοῦ συγ-

та, защото действително са магьосници, сквернители и измамници.

40. Нашата църква пък наричат Ерусалим. А Мойсеевия закон — звезда, защото с него сме дошли до нашата вяра. После от нейните свещенослужители и другите граматици и фарисеи те узнали, че Христос е роден в споменатия Витлеем. Защото от нас са излезли техните първи учители.

41. Разправят, че Рахил била някаква вдовица с две невръстни дъщери. Когато Ирод събирал младенците от мъжки пол, тя помислила, че те ще получат почит и награди от него, преоблякла ги като момчета и ги завела като свои синове. Но след като и те заедно с другите били погубени като момчета, другите майки плакали просто, а Рахил безутешно, защото искала да измами други, а в същност тя била измамена и сама погубила безразсъдно дъщерите си. Тълкувайки иносказателно това предание, казват, че Рахил означава небесния отец, а децата му — както душата на Адам, така и душата на Христос. Когато Ирод, т.е. владетелят на света, ги погубил, бог-отец плакал неутешимо поради тяхната гибел.

42. Казват, че „самият Йоан имал облекло от камилска козина и кожен пояс около кръста си. Храната му се състояла от скакалци и див мед."[33] Това са евангелските слова. Трябва да видим също какво казват за това безумните, оглупели и побъркани хора.

43. Камилски влакна наричат заповедите на Мойсеевия закон. Казват още, че той бил нечист като камилата, понеже позволявал на последователите си месоядство, брак, клетва, жертвоприношения, убийства и много подобни. Кожен пояс наричат светото евангелие, понеже е написано на овчи кожи. Скакалци пък — заповедите на Мойсеевия закон, понеже не могат да намерят правата посока, нито различавали по-доброто; а див мед — светото евангелие, тъй като се струва като мед за тези, които го приемат. „Колко са сладки, казва [псалмопевецът], твоите слова за вкуса ми; а диви за тези, които не го приемат поради горчивината от тясната врата и трудния път към него."[34] Казват, че предтечата бил между стария закон и новия и че участвувал и в двата — в единия най-напред, а в другия после.

44. „Фарисеи и садукеи, отиващи на кръщението на Йоан"[35], те наричат вярващите като нас. О, безсрамие! След това надменно ни наричат змийски изчадия, т.е. рожби на змията, която, както е известно, прелъстила

---

[33] Матей 3, 4. [34] Псалми 119, 103. [35] Матей 3, 7.

κατακλιθέντος ὡς προδεδήλωται τῇ Εὔᾳ· καὶ παραινοῦσι μὴ δυσχεραίνειν, ὡς ὑπὸ τοῦ βαπτιστοῦ Ἰωάννου ἀψευδῶς τοῦτο προσαγορευθέντας.

με'. Ὑποδήματα μὲν τοῦ Χριστοῦ λέγουσι τὰ ὑποδείγματα τῶν σημείων, ἅπερ ἐπέδειξε τοῖς μαθηταῖς καὶ τοῖς ὄχλοις· ἃ μὴ δύνασθαι βαστάσαι τὸν Ἰωάννην ὡς ἀδυνατοῦντα πάντως ἐπιδεῖξαι τοιαῦτα καὶ αὐτόν· πτύον δὲ τοῦ Χριστοῦ τὸν εὐαγγελικὸν λόγον ὡς ἀποπτυσθέντα | διὰ τοῦ στόματος αὐτοῦ· καὶ ἅλωνα μὲν τοὺς χριστιανοὺς ὡς ἄλλους καὶ ἄλλους· τοὺς μὲν γὰρ ὀρθοδόξους εἶναι, τοὺς δὲ τοὐναντίον ἑτεροδόξους· σῖτον δὲ τὴν ἑαυτῶν πίστιν ὡς καθαράν τε καὶ τρόφιμον· ἄχυρον δὲ τὴν καθ' ἡμᾶς ὡς ἄχρηστον καὶ πυρὸς ἀξίαν· τίς ἂν εὐσεβὴς ἀκοὴ τοιούτων ἀνάσχοιτο βλασφημιῶν· οἰδεῖ πρὸς τὰς ἀτοπίας ταύτας ἡ ἐμὴ ψυχὴ καὶ τὰ αἰσθητήριά μου μαιμάσσει κατὰ τὸν προφήτην. Καὶ βούλομαι τὸν λόγον ἐκκόψαι καὶ μὴ προβῆναι περαιτέρω μηδὲ φωτὶ καὶ μνήμῃ δοῦναι τὰ σκότους καὶ λήθης ἄξια· παραβιαστέον δὲ μικρὸν ἔτι καὶ καρτερητέον ἄχρι τινὸς τὴν γλωσσαλγίαν τῶν ἀπεραντολόγων τούτων καὶ παραφόρων καὶ βδελυρῶν.

μϛ'. Ὄρος ὑψηλὸν λέγουσι τὸν δεύτερον οὐρανόν, εἰς ὃ τὸν Χριστὸν ἀναβιβασθῆναι παρὰ τοῦ διαβόλου καὶ ἰδεῖν πάσας τὰς βασιλείας τοῦ κόσμου· καί φασιν, ὅτι οὐκ ἂν ὁ διάβολος ἀνῆλθεν εἰς αὐτόν, εἰ μὴ ποίημα τοῦτον ἴδιον ἐγίνωσκεν· οὐδ' ἂν ἑαυτῷ παραδεδόσθαι πάσας τὰς βασιλείας εἶπεν, εἰ μὴ καὶ τὴν τούτων συνεχωρήθη κυριαρχίαν ὡς παρ' αὐτοῦ κτισθέντων, καθὼς ἐν τῇ μυθικῇ τῶν γοήτων τούτων δεδηλώκαμεν ἀρχαιολογίᾳ.

μζ'. Καὶ καταλιπών φασιν ὁ Ἰησοῦς τὴν Ναζαρέτ, ἐλθὼν κατῴκησεν εἰς Καπερναούμ· Ναζαρὲτ μὲν ἡμᾶς προσαγορεύουσι, Καπερναοὺμ δὲ ἑαυτούς· καὶ νῦν κατοικεῖν παρ' αὐτοῖς λέγουσι τὸν Χριστόν, πάλαι | καταλιπόντα τὴν ἡμετέραν συναγωγήν.

μη'. Τοὺς μακαρισμοὺς πάντας περὶ μόνων τῶν κατ' αὐτοὺς πιστῶν ἤτοι τῶν Βογομίλων εἰπεῖν τὸν Χριστὸν διαβεβαιοῦνται· τοιούτους γὰρ αὐτοὺς εἶναι πτωχοὺς τῷ πνεύματι καὶ πενθοῦντας καὶ πεινῶντας καὶ διψῶντας τὴν δικαιοσύνην καὶ τὰ ἑξῆς· τούτους δὲ κληθῆναι καὶ ἅλας τῆς γῆς καὶ φῶς τοῦ κόσμου καὶ ὅσα περὶ τῶν ἀποστόλων ὁ Χριστὸς εἴρηκεν.

μθ'. Ἰῶτά φασιν ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται· ἰῶτα μὲν τὴν δεκάλογον τοῦ νόμου νοοῦντες, κεραίαν δὲ πάλιν τὴν αὐτήν· τὴν γὰρ κεραίαν εἴ τις ὀρθώσει πλαγίως κειμένην, ἰῶτα ποιήσει. Εἶτα ἑρμηνεύουσιν, ὅτι οὐ μὴ παρέλθῃ ἡ δεκάλογος τοῦ νόμου, ἀλλὰ μενεῖ φυλαττομένη παρὰ τοῖς Ἑβραίοις, ἕως

Ева. А искат да не се сърдим, тъй като Йоан Кръстител наистина така ни бил нарекъл.

45. „Обувки на Христос"[36] наричат примерите от чудеса, които той показал на учениците си и на народа. Тях Йоан не можел да докосне, защото изобщо не можел и той да направи такива. „Веялка на Христа"[37] — евангелското слово, защото излизало от устата му. А „гумно" — християните, както едните, така и другите (едните били православните, а другите, напротив, друговерците); жито — тяхната вяра, тъй като била чиста и живителна; плява — нашата вяра, понеже била безполезна и достойна за огън. Но кое благочестиво ухо може да понесе такива злословия? Душата ми страда за тези глупости и сърцето ми се свива според думите на пророка. И аз желая да прекъсна словото си, да не продължавам повече и да не изнасям наяве и да не позволявам да се запаметява това, което е достойно за мрак и забрава. Но трябва да се насиля още малко и да издържа твърдо, доколкото може, брътвежа на тези безкрайни безумци и безсрамници.

46. Висока планина наричат второто небе, на което Христос бил заведен от дявола и видял всички царства на света.[38] И казват, че дяволът не би се изкачил на него, ако не го смятал за собствено творение. Нито пък би казал, че му са дадени всички царства, ако не му била отстъпена властта над тях, като на сътворени от него, както обяснихме това при баснословния разказ на тия измамници.

47. „И когато Исус напуснал, казват, Назарет, отишъл и се заселил в Капернаум."[39] Назарет те наричат нас, а Капернаум себе си. Те твърдят, че Христос сега живеел у тях, като изоставил отдавна нашата църква.

48. Твърдят, че Христос изрекъл всички блаженства само за техните вярващи, т.е. за богомилите. Защото те били именно тези „нищи духом, кротките, гладуващи и жадуващи за правдата"[40] и т.н. Те били наричани и „сол на земята и светлина на света"[41], и каквото Христос казал на апостолите.

49. „Една йота, казват, или чертичка няма да отпадне от закона, докато не се сбъдне всичко."[42] Йота смятат десетте заповеди на закона, а чертичка — пак същите. Защото ако някой изправи накриво поставена чертичка, ще направи йота. След това обясняват, че в никакъв случай не биха отпаднали десетте заповеди на Мойсеевия закон, но той щял да остане пазен от евреите,

---

[36] Матей, 3, 11. [37] Матей 3, 12. [38] Матей 4, 8. [39] Матей 4, 13. [40] Матей 5, 3, 5, 6. [41] Матей 5, 13, 14. [42] Матей 5, 18.

ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ· οὐκ ἦλθον γάρ φησιν καταλῦσαι τὸν νόμον τοῦ Μωσέως, ἀλλὰ πληρῶσαι· τὸν οὐρανόν, κενωθέντα πάλαι τῶν ἐνοικούντων ἀγγέλων, καὶ ἀναπληρῶσαι τὰ τάγματα τῶν ἀποπεπτωκυιῶν δυνάμεων.

ν'. Ἐὰν μὴ περισσεύσῃ φασὶν ὑμῶν ἡ δικαιοσύνη πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· γραμματεῖς μὲν καὶ Φαρισαίους ἡμᾶς προσαγορεύουσιν ὡς τὴν γραμματικὴν παίδευσιν ἀσκοῦντας καὶ μεγαλαυχοῦντας ἐπ' αὐτῇ· περισσεύειν δὲ ἡμῶν τὴν δικαιοσύνην αὐτῶν λέγουσιν ἐν | τῷ διδάσκειν ἀληθέστερα καὶ μετιέναι πολιτείαν ἀκριβεστέραν τε καὶ καθαρωτέραν, ἀπεχομένους κρεωφαγίας καὶ γάμου καὶ τῶν τοιούτων.

να'. Ἴσθι φασὶν εὐνοῶν τῷ ἀντιδίκῳ σου· ἀντίδικον τῶν ἀνθρώπων λέγοντες τὸν διάβολον, καὶ φρενοβλαβῶς ἑρμηνεύοντες, ὅτι χρὴ εὐνοεῖν αὐτῷ καὶ θεραπεύειν διὰ προσκυνήσεως, ὡς καὶ ἀνωτέρω παραδεδώκαμεν· ἵνα μὴ πτερνίσας καὶ καταβαλὼν τοὺς ἀπειθοῦντας παραδώσῃ τῷ κριτῇ καὶ θεῷ, κατὰ τὴν ἡμέραν τῆς δίκης λόγον ὑφέξοντας τῆς ὑποσκελίσεως.

νβ'. Ἐπεὶ τό· πᾶς ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας καὶ τὰ ἑξῆς τοῦ ῥητοῦ τῷ περὶ τοῦ μὴ συζεύγνυσθαι γυναικὶ δόγματι τούτων ἀντίκειται, φασὶν ἀπόρρητα πᾶσιν εἶναι ταῦτα καὶ ἀνερμήνευτα καὶ μόνοις γνώριμα τοῖς ἀποτιθεμένοις τὴν σάρκα· βεβαιοῦντες δὲ τὸ δόγμα τῆς ἀγαμίας προκομίζουσι τοῦ Κυρίου λόγον εἰρηκότος, ὅτι· ἐν τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε ἐκγαμίζονται, νοοῦντες ἀνοήτως ἀνάστασιν τὴν μετάνοιαν καὶ τὴν εὐαγγελικὴν πολιτείαν.

νγ'. Μήτε εἰς Ἱεροσόλυμά φασιν ὀμόσῃς, ὅτι πόλις ἐστὶ τοῦ μεγάλου βασιλέως· μέγαν βασιλέα λέγοντες νῦν τὸν διάβολον ὡς κοσμοκράτορα· ἵλεως ἡμῖν εἴης, κύριε, τὰς ἐκείνων βλασφημίας διηγουμένοις. |

νδ'. Ἠκούσατέ φασιν, ὅτι ἐρρέθη· ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος· ὀφθαλμοὺς μὲν γάρ φασι τοὺς δύο νόμους, τὸν μωσαϊκὸν καὶ τὸν εὐαγγελικόν· ὀδόντας δὲ τὰς δύο ὁδούς, τὴν πλατεῖαν καὶ τὴν στενήν· τὸν Χριστὸν γὰρ ἐλθόντα δοῦναι νόμον ἀντὶ νόμου, τὸν εὐαγγελικὸν ἀντὶ τοῦ μωσαϊκοῦ, καὶ ὁδὸν ἀντὶ ὁδοῦ, τὴν στενὴν ἀντὶ τῆς πλατείας. Ὢ τῆς πλατείας ἀγροικίας τῶν ἀπαιδεύτων.

νε'. Σὺ δὲ ὅταν προσεύχῃ φασὶν εἴσελθε εἰς τὸ ταμιεῖόν σου· ταμιεῖον λέγουσι τὸν νοῦν· καὶ ἀπὸ τοῦδε τοῦ ῥητοῦ κινούμενοι διδάσκουσι μὴ προσεύχεσθαι μηδένα τούτων

докато изчезне небето и земята. „Не дойдох, казва, да разруша закона на Мойсея, но да изпълня небето, опразнено от обитаващите го някога ангели, и да попълня местата на падналите сили.“[43]

50. Ако вашата правда, казват, не надмине правдата на книжниците и фарисеите, няма да влезете в царството небесно. Но книжници и фарисеи наричат нас, понеже сме се занимавали с книжничество и сме се гордеели с него. Казват, че тяхната правда превъзхождала нас по това, че проповядвала по-истинни неща, и те водели по-изряден и чист живот, тъй като се въздържали от месо, брак и подобните неща.

51. „Бъди, казват, благосклонен към противника си.“[44] Наричат противник на хората дявола и глупаво тълкуват, че трябвало да бъдем благосклонни към него и да му служим с преклонение, както предадохме по-горе, та да не би в деня на страшния съд, като презре и отхвърли тези, които не му се подчиняват, да ги предаде на съдника и бога, за да отговарят за измамата.

52. Понеже думите от Писанието: „Всеки, който напусне жена си освен поради прелюбодейство“[45] и т.н., противоречат на тяхната догма, че не бива да се свързваме с жена, те казват, че тези [думи] били недостъпни за всички и неясни, а били разбираеми само за тези, които са се отказали от плътта. А за да докажат правилото за безбрачието, привеждат словото на господа, който е казал: „В деня на възкресението нито се женят, нито се омъжват,“[46] като обясняват безразсъдно, че възкресение е покаянието и евангелският живот.

53. „Да не се кълнеш, казват, в Ерусалим, понеже е град на великия цар.“[47] Велик цар наричат сега дявола като владетел на света. Бъди милостив към нас, господи, когато предаваме техните богохулства!

54. „Чули сте, казват, че беше речено: око за око, зъб за зъб.“[48] Очи те наричат двата закона — закона на Мойсей и закона на евангелието, а зъби — двата пътя, широкия и тесния. Когато Христос дошъл, дал закон вместо закон, евангелския вместо Мойсеевия, и път вместо път — тесния вместо широкия. О, плоска простота на невежите!

55. „Ти, казват, когато се молиш, влез в стаичката си.“[49] Стаичка наричат разума. И подтикнати от това слово, проповядват никой от тях да не се моли в църквите, ма-

---

[43] Матей 5, 17. [44] Матей 5, 25. [45] Матей 5, 32. [46] Матей 22, 30. [47] Матей 5, 35. [48] Матей 5, 38. [49] Матей 6, 6.

ἐν ἐκκλησίαις, καίτοι σαφῶς ἀκούοντες τοῦ προφήτου Δαυὶδ προτρέποντος ἐν ἐκκλησίαις εὐλογεῖν τὸν Θεόν.

νς'. Ἐμβλέψατέ φασιν εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ· ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσι καὶ τὰ ἑξῆς· πετεινὰ τοῦ οὐρανοῦ τοὺς ἐπὶ κιόνων ἀσκουμένους μοναχοὺς νοοῦσιν· οὓς ἀργὸν ἄγοντας βίον τρέφεσθαι μάτην παρὰ τοῦ ἐπουρανίου πατρός· κρίνα δὲ τοῦ ἀγροῦ καλοῦσιν ἑαυτοὺς ὡς λευκοὺς ἐν καθαρότητι ψυχῆς καὶ μυριπνόους ἐν ἀρεταῖς· ὧν μηδενὶ δύνασθαι παραβληθῆναι τὸν Σολομῶντα, κατεσπιλωμένον ἔχοντα τὸ τῆς ψυχῆς περιβόλαιον.

νζ'. Μὴ δότε φασὶν τὰ ἅγια τοῖς κυσὶ μηδὲ ῥίπτετε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων· ἅγια μὲν λέγουσι τὴν κατ' αὐτοὺς ἁπλουστέραν πίστιν μαργαρίτας δὲ τὰ μυστικώτερα καὶ πολυτελέστερα δόγματα τῆς πλάνης αὐτῶν· κύνας δὲ καὶ χοίρους — ὢ τῆς ὑπερβαλλούσης ὕβρεως — τοὺς καθ' ἡμᾶς εὐσεβεῖς ὡς εἰδωλολάτρας· φρίσσω γὰρ εἰπεῖν τὴν ἄλλην ἀρρητολογίαν αὐτῶν· εἶτα προστιθέασιν, ὅτι τὸν προσερχόμενον αὐτοῖς παραλαμβάνουσιν ὡς κύνα καὶ χοῖρον· καὶ πρῶτα μὲν ἀφανίζουσι διὰ νηστείας καὶ προσευχῆς· εἶτα βαπτίζουσιν, ὡς προπαραδεδώκαμεν· εἶθ' οὕτως λαμπρυνόμενοι ταῖς κατὰ μικρὸν προκοπαῖς τε καὶ ἀναβάσεσι καταπιστεύουσιν ἠρέμα τὰ ἅγια καὶ τοὺς μαργαρίτας.

νη'. Προσέχετέ φασιν ἀπὸ τῶν ψευδοπροφητῶν· ψευδοπροφήτας λέγουσιν — ὢ τῆς ἀτοπίας — τὸν μέγαν ἐν δόγμασι Βασίλειον, τὸν ἀστέρα τῆς θεολογίας Γρηγόριον, τὸν χρυσοῦν τὴν γλῶτταν Ἰωάννην, ὡς οἴκοθεν δογματίσαντας· σιωπῶ γὰρ τὰς ἄλλας παροινίας, τῶν σκηπτοῦ καὶ πρηστῆρος καὶ χάσματος καὶ πάσης τιμωρίας ἀξίων, ἃς κατὰ τῶν ἁγίων τούτων πλέον τῶν ἄλλων ἐκφέρουσι.

νθ'. Πολλοί φασιν ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· κύριε, κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν; καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν; καὶ τότε ὁμολογήσω αὐτοῖς, ὅτι οὐδέποτε ἔγνων ὑμᾶς· ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· ταυτὶ δὲ τὰ ῥητὰ τοῦ εὐαγγελίου διερμηνεύοντές φασι τούτους εἶναι τοὺς | παρ' ἡμῖν ἁγίους ἱεράρχας καὶ θείους πατέρας· ὅσοι προφητικῆς χάριτος ἠξιώθησαν καὶ δαίμονας ἀπήλασαν καὶ ἄλλα πάμπολλα τεθαυματουργήκασι· πάντα γὰρ τοὺς ἐνοικοῦντας αὐτοῖς δαίμονας τερατουργεῖν εἰς ἔκπληξιν τῶν ἀνοητοτέρων. Λυσσωδέστατε κύον, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη σου.

ξ'. Ἄνδρα μὲν φρόνιμον ὀνομάζουσιν ἑαυτοὺς οἰκοδομήσαντας τὴν οἰκίαν ἐπὶ τὴν πέτραν τῆς προσευχῆς τοῦ πάτερ ἡμῶν· ἄνδρα δὲ μωρὸν καλοῦσιν ἡμᾶς οἰκοδομήσαντας τὴν οἰκ(ε)ίαν ἐπὶ τὴν ψάμμον τῶν ἄλλων

кар и ясно да слушат пророк Давид да подканя да славим в църквите бога.

56. „Погледнете, казват, птиците небесни. Те нито сеят, нито жънат. . .“[50] и пр. Птици небесни смятат монасите, които се подвизават по стълпове. Те прекарват живота си в безделие и се хранят ненужно от небесния отец. Наричат себе си полски лилии, понеже били бели в своята душевна чистота и мироухаещи в добродетелите си. С никоя от тях Соломон не можел да бъде сравнен — омърсено било покривалото на неговата душа.

57. „Не давайте, казват, светите неща на кучетата и не хвърляйте бисерите си пред свинете.“[51] Свети неща наричат своята непокварена вяра, а бисери — тайнствените и скъпоценни правила на своята заблуда, а кучета и свине — о, прекомерна дързост! — нашите благочестиви хора, като идолопоклонници. Ужасявам се да изрека другите им безсрамия. След това прибавят, че за куче и свиня вземали този, който отива при тях. Най-напред те го очистват чрез пост и молитва, след това го кръщават, както предадохме по-горе. Сетне, така възгордени от малките си успехи и напредък, му доверяват спокойно светите неща и бисерите.

58. „Пазете се, казват, от лъжепророците.“[52] Лъжепророци наричат — о, глупост! — великия в учението Василий, светилото на богословието Григорий и Йоан със златната уста, понеже създавали догми. Аз премълчавам останалите им безумства, които те изричат повече от другите срещу тези светци. Затова те са достойни за мълния, буря, бездна и всяко друго наказание.

59. „Мнозина, казват, в онзи ден ще ми рекат: „Господи, господи, не в твое име ли пророкувахме и не в твое име ли бесове изгонихме? И тогава ще заявя, че никога не съм ви познавал. Идете си от мене вие, които вършите беззаконие.“[53] Като тълкуват превратно тия именно слова от евангелието, те казват, че това били нашите свети йерарси и божии отци — които са били удостоени с пророчески дар и са изгонили бесове и извършили твърде голям брой други чудеса, но всички чудеса били извършили живеещите у тях бесове, за да плашат глупците. О, бясно куче, под устните ти се крие змийска отрова!

60. Под „разумен човек“ разбират себе си, тъй като „построили къщата си върху канарата на молитвата „Отче наш“.[54] Под „неразумен човек“ разбират нас, понеже „сме си били построили къщата върху пясъка“

---

[50] Матей 6, 26. [51] Матей 7, 6. [52] Матей 7, 15. [53] Матей 7, 22, 23. [54] Матей 7, 24, 26.

προσευχῶν· τῶν πολλῶν μέν, ἀσθενῶν δὲ καὶ ἀνοήτων, ὡς τοῖς ἀνοήτοις τούτοις δοκεῖ.

ξα'. Καὶ προσελθών φασι εἷς γραμματεὺς εἶπεν αὐτῷ· διδάσκαλε, ἀκολουθήσω σοι, ὅπου ἐὰν ἀπέρχῃ· καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει, ποῦ τὴν κεφαλὴν κλίνῃ· γραμματέα μὲν λέγουσι πάντα γραμματικὸν καὶ παραγγέλλουσιν ἀλλήλοις μὴ παραδέχεσθαι γραμματικὸν εἰς μαθητάς, κατὰ μίμησιν, ὡς εἴρηται, τοῦ Χριστοῦ, μὴ παραδεξαμένου τὸν γραμματέα· ἀλώπεκας δὲ νοοῦσι τοὺς ἐν στενοχώροις οἰκίσκοις καθειργμένους ἀσκητὰς ὡς ἔν τισι φωλεοῖς· πετεινὰ δὲ τοῦ οὐρανοῦ τοὺς κιονίτας, ὡς ἀνωτέρω προείρηται· παρ' οἷς μὴ κατοικεῖν ὅλως τὸν Χριστὸν ὡς ἀναξίοις τῆς ἐπιδημίας αὐτοῦ· | τάφος ὄντως ἀνεῳγμένος ὁ λάρυγξ τῶν ἀλαστόρων, πολλὴν ἀναπέμπων δυσωδίαν καὶ φθοροποιὸν ἰὸν προχέων διὰ τοῦ θεομάχου στόματος.

ξβ'. Δύο δαιμονιζομένους λέγουσιν ἐκ τῶν μνημείων ἐξερχομένους τό τε τάγμα τῶν κληρικῶν καὶ τὸ τάγμα τῶν μοναχῶν· ἀεὶ γὰρ ἐν τοῖς χειροποιήτοις ναοῖς διατρίβειν αὐτούς· οὕς τινας εἶναι τάφους θησαυρίζοντας ὀστέα νεκρῶν· οὕτω γὰρ οἱ ἐναγεῖς ὀνομάζουσι τὰ λείψανα τῶν ἁγίων· εἶναι δὲ τὰ δύο ταῦτα τάγματα φοβερὰ λίαν τοῖς Πογομίλοις· ὥστε μηδένα τούτων ἰσχύειν παρελθεῖν διὰ τῆς ὁδοῦ ἐκείνης· ἀγέλην δὲ πολλῶν χοίρων βοσκομένην ὑπάρχειν τοὺς ἀγελαίους καὶ ἀμαθεῖς καὶ χοιρώδεις ἀνθρώπους, εἰς οὓς ἀπέρχεσθαι τούτους καὶ διδάσκειν καὶ κατακρημνίζειν καὶ ἀποπνίγειν αὐτοὺς ἐν τῇ θαλάσσῃ τῆς ἁμαρτίας.

ξγ'. Οἶνον μὲν καλοῦσι νέον τὴν διδασκαλίαν ἑαυτῶν· ἀσκοὺς δὲ παλαιοὺς τοὺς μὴ προσιεμένους αὐτήν· ἀσκοὺς δὲ νέους τοὺς ὑποδεχομένους ταύτην καὶ συμπληροῦντας ἐν ἑαυτοῖς.

ξδ'. Γυναῖκα νοοῦσιν αἱμορροοῦσαν ἔτη δώδεκα τὴν ἐν Ἱεροσολύμοις ἐκκλησίαν· αἱμορροοῦσαν τοῖς χεομένοις αἵμασι τῶν θυσιῶν ἐν ταῖς δώδεκα φυλαῖς τοῦ Ἰσραήλ· ταύτης γὰρ τὴν αἱμόρροιαν στῆσαι τὸν Χριστόν, ἐξολοθρεύσαντα μετὰ μικρὸν τὰ Ἱεροσόλυμα.

ξε'. Ἀκούσατε καὶ γελοιωδεστέραν ἑρμηνείαν κἀντεῦθεν καταμάθετε τὴν ἀμάθειαν τῶν μηδὲν ἄμεινον γραῶν κωθωνιζομένων μυθολογούντων· τὸ γὰρ ἐνεβριμήσατο αὐτοῖς ὁ Ἰησοῦς λέγων ἑρμηνεύουσιν, ὅτι ἐνεβρωμάτισεν αὐτοῖς ὁ Ἰησοῦς λόγον.

Ἆρ' οὐ δοκῶ καὶ αὐτὸς παραπαίειν τὰ τῶν παραπαιόντων ἀνακρινόμενος; αἰσχύνομαι, πιστεύσατε· καὶ ἀβουλήτως ταῦτα φθέγγομαι· διὰ τοῦτο γὰρ καὶ τὰ πολλὰ παρέ-

на другите молитви, които са много, слаби и безполезни, както им се струва на тези безумци.

61. „И дойде, казват, при него един книжник и му рече: „Учителю, ще вървя след тебе, където и да идеш." А Исус му казва: „Лисиците си имат леговища и птиците небесни гнезда. А син човечески няма къде глава да подслони."[55] Книжник наричат всеки образован и си предават един другиму да не приемат за ученик образован човек по подражание, както се каза, на Христос, който не приел книжника. Лисици смятат аскетите, затворени в тесните килии като в някакви дупки. А птици небесни — стълпниците, както беше споменато по-горе. При тях Христос изобщо не отивал, понеже те били недостойни за неговото присъствие. Наистина „гроб отворен е гърлото"[56] на нечестивците, изригващо през богоборческата им уста зловоние и леещо гибелна отрова.

62. „Двамата, хванати от бяс, които излизали от гробищата"[57], те наричат съсловието на духовниците и съсловието на монасите. Защото те постоянно прекарвали в ръкотворни храмове, които били гробници, съхраняващи кости на мъртвци. Така нечестивците наричат мощите на светците. Тези две съсловия са твърде страшни за богомилите, затова никой от тях не можел да мине по онзи път. „Голямото стадо от пасещи свини"[58] са според тях простите и неуки свинеподобни хора, при които те отиват, учат ги и после ги хвърлят и удавят в морето на греха.

63. „Ново вино" наричат своето учение. „Стари мехове" — тия, които не го възприемат. „Нови мехове"[59] — тия, които го възприемат и се изпълват с него.

64. „Жената, която страда от кръвотечение дванадесет години"[60], смятат църквата в Ерусалим, понеже страдала от кръвотечение поради разливаната от жертвоприношенията кръв сред дванадесетте племена на Израил. Нейното кръвотечение спрял Христос, който погубил след известно време Ерусалим.

65. Чуйте и още по-смешното тълкуване и след това узнайте невежеството на тези, които не бръткат нищо по-добро от пияните баби. Думите на Исус: „Той им се разгневи, като. . ."[61] тълкуват, че ги нахранил със словото.

Но не изглеждам ли и аз умопобъркан, като отвръщам на думите на умопобъркани? Срамувам се, повярвайте. Говоря тези неща против волята си. Затова и отминах нарочно δραμον ἐπίτηδες καὶ σποράδην τὰ ῥηθέντα συνεγραψάμην· χρὴ δὲ τοὺς ἐντυγχάνοντας ἀπὸ τῶν ὀλίγων τούτων διαγνῶναι καὶ τὰ λειπόμενα τῆς αὐτῆς ὄ φασιν ὄντα κεραμείας· πέλαγος γὰρ ἀσεβείας ἀχανὲς ἠνοίξαμεν πολλῶν ἡμερῶν εἰς τὸ διαπεραιωθῆναι δεόμενον καὶ μικρὸν ἀπεσπάσαμεν ἔτι τῆς γῆς καὶ ναυτιώντων ὑμῶν αἰσθάνομαι, μᾶλλον δὲ καὶ πρὸ ὑμῶν αὐτὸς ἐγὼ τοῦτο πέπονθα καί μοι δοκεῖ βέλτιον, χαλάσαντα τὴν ὀθόνην τοῦ λόγου καὶ πρύμναν κρουσάμενον, εἰς τὸν τῆς σιωπῆς καταῖραι λιμένα. Καὶ μᾶλλον ὅτι σεσίγηκεν ἡ πονηρὰ καὶ λάλος γλῶσσα καὶ τὰ ἔμπυσα μέμυκε χείλη τοῦ τὴν ἐναγῆ ταύτην ἀδολεσχίαν ὑφηγησαμένου· παραστησάμενος γὰρ αὐτὸν πρὸ βραχέος ὁ φιλανθρωπότατος καὶ μεγαλόψυχος ἡμῶν βασιλεὺς καὶ τὴν ὑπόκρισιν τοῦ δράματος ἀποκαλύψας καὶ διακωδωνίσας τοῦτον ἐπείπερ εὗρε πανταχόθεν ὑπόχαλκον ἠχοῦντα καὶ κίβδηλον· καὶ νῦν μὲν ἐπαγγελλόμενον μεταβολήν, ἄρτι δὲ καθάπερ κύνα πρὸς τὸν ἴδιον ἐπανερχόμενον ἔμετον, σκέψιν περὶ τούτου προθεὶς καὶ συμψήφους τοὺς ἐν τέλει πάντας λαβὼν ἐκκλησιαστικοὺς ἅμα καὶ πολιτικοὺς κατεδίκασε τὴν διὰ πυρὸς ὑποστῆναι τιμωρίαν, τὸν πολλοὺς εἰς τὸ τῆς γεέννης παραπέμψαντα πῦρ· καὶ νῦν ὁ μὲν πυρίκαυστος ᾤχετο· πονηρὸν ἐντάφιον ἀπενεγκάμενος τὴν ἀσέβειαν· τίς δ' ἂν εἰδὼς πάθεσι θρήνους ἐξισοῦν ἀξίως αὐτὸν ὀδύραιτο, μαθόντα μὲν τὰ δόγματα τῆς πλάνης ἐν ἔτεσι πέντε καὶ δέκα, διδάξαντα δὲ ταῦτα πάλιν ἐν δυσὶ καὶ πεντήκοντα· μυρίους δὲ μαθητὰς εἰς τὸ βάραθρον ὤσαντα τῆς ἀπωλείας· καὶ τελευταῖον οὐκ εὐαγῶς αὐτοῖς ἐπαπελθόντα· καὶ ζωῆς μὲν ἑκατέρας ἐκπεπτωκότα, πυρὸς δὲ καὶ τούτου κἀκείνου τετυχηκότα· καὶ διὰ τοῦ σβεσθέντος ἐπὶ τὸ μὴ σβεννύμενον ἐκδημήσαντα.

---

[55] Матей 8, 19, 20. [56] Римл. 3, 13. [57] Матей 8, 28. [58] Матей 8, 30 сл. [59] Матей 9, 17. [60] Матей 9, 20. [61] Матей 9, 30.

Χρὴ μέντοι θαρρεῖν καὶ περὶ τῶν ὑπολελειμμένων· συντέτριπται γὰρ ἡ τοῦ δράκοντος ἤδη κεφαλή· τῶν δὲ μερῶν αὐτοῦ καὶ μελῶν τὰ καιριώτερα μὲν συνείληπται, τὰ δὲ μέλλει, τὰ δὲ προσαγγέλλεται καθ' ἑκάστην· καὶ τρεφόμεθα χρησταῖς ἐλπίσιν, ὡς οὐδὲ τὸ οὐραῖον διαφεύξεται τὴν ἐμμελῆ τοῦ θεοφιλεστάτου βασιλέως ἔρευναν καὶ κατεσπουδασμένην ἀναζήτησιν μεγάλαις φροντίσι κατατεινομένου, παντὶ τρόπῳ πάντας αὐτοὺς ἔσω σαγήνης λαβεῖν καὶ καθαρὰ ζιζανίων ἀποφῆναι τῆς εὐσεβείας τὰ λήϊα.

много неща и записах само откъслечно взети думи. Читателите трябва по това малко да разпознаят и останалото, което, казват, е от същото тесто. Навлязохме в огромно море от безбожие, за което ни трябват много дни да го преплуваме, а ние малко се отдалечихме от сушата и чувствувам, че ви се вие свят; аз повече и преди вас страдам от това и предпочитам да снема словесните платна и да дам обратен ход, за да сляза вече на пристанището на мълчанието. И още повече, че замлъкна злият и бъбрив език и спря безбожната уста на този, който поучаваше с тази проклета бъбривост. Защото неотдавна го призова най-човеколюбивият и великодушен наш император и като разкри лицемерната му дейност и го разобличи, установи, че дрънчи фалшиво като празна тенекия. И когато даваше вид, че се променя, ту веднага след това като куче се връща на бълвоча си,[62] [императорът] свика всички висши духовни и светски лица и осъди на изгаряне този, който беше пратил мнозина в огъня на ада. Сега той загина на кладата, като завърши зле с безбожието си. Но кой от тези, които знаят да предават със сълзи скръбта си, би оплаквал достойно човека, който е изучавал догмите на заблудата в продължение на петнадесет години и ги е проповядвал след това петдесет и две години, и е тикнал в пропастта на гибелта безброй свои ученици, като най-сетне се е отделил от тях не невинно. Той е загубил и двата си живота и е попаднал и на този, и на онзи свят в огъня, преминал през угасения към този, който никога не угасва.

Трябва да бъдем спокойни и за останалите, защото е вече смазана главата на змията, а от трупа и крайниците ѝ по-опасните са заловени, други ще бъдат, а за [излавянето на] трети всеки ден се съобщава. Ние храним добри надежди, че и опашката [на змията] не ще избегне бдителната ревност и усърдното разследване на най-боголюбивия император, който със загриженост полага усилия на всяка цена да обхване в мрежата всички тях и да запази чист от плевели посева на благочестието.

---

[62] Срв. Притчи 26, 11.

III. ПАТРИАРХ ГЕРМАН

Патриарх Герман II живее от 1175 до 1240 г. Син на босфорски рибар, той бил дякон в цариградската църква „Света София“ до 1204 г. Когато през тази година Цариград бил превзет от участниците в IV кръстоносен поход, Герман се оттегля в манастира „Св. Георги Красни“, който бил разположен в околностите на гр. Ахираос в Мала Азия. Там той монашествува и поучава, докато през 1222 г. бива ръкоположен в Никея от никейския император Йоан Ватаций за патриарх на Цариград.

Герман II бил патриарх през времето на латинското владичество в Цариград и през годините, когато в България царува Иван Асен II. През негови дни (1235 г.) била официално призната независимостта на българската патриаршия. Герман влязъл в преговори с делегати на папа Григорий IX за сключване на уния с римската църква, но тези преговори завършили безуспешно. През XIII в. богомилското учение било широко разпространено на Балканския полуостров и в пределите на Никейската империя в Мала Азия, в самата византийска столица съществували две богомилски общини — църквата на латинците, които изповядвали вярванията на катарите, и църквата на местните гърци.

Като ревностен борец за запазване на официалната православна вяра Герман отправил послания до християните в Цариград, за да запази и укрепи тяхното верско единство. Той писал също послания до папа Григорий, до латинския патриарх на Цариград и послания до гърците в Кипър и други слова против еретиците. Главното му литературно наследство се състои от християнски проповеди — хомилии.

В преведеното по-долу писмо Герман излага еретическите възгледи на богомилите и се стреми да ги обори чрез личните си разсъждения.

РЪКОПИСИ: Cod. Coislin. Graec. 278 fol. 12 b — 16 b (XIV в.), който се пази в Националната библиотека в Париж.

ИЗДАНИЯ: Migne, PGr. 140, 595—598, 621—757. — G. Ficker, Die Phundagiagiten, Leipzig, 1908, p. 115—125. По това издание е направен нашият превод.

КНИЖНИНА: K. Krumbacher, Geschichte der byzantinischen Litteratur, München, 1897, S. 174 — D. Angelov, Der Bogomilismus auf dem Gebiete des byzantinischen Reiches —Ursprung, Wesen und Geschichte, II (ГСУ, Ист.-фил. фак. XLVI, 1949/1950). — Д. Ангелов, Богомилството в България, София, 1969. — Д. Ангелов, Б. Примов и Г. Батаклиев, Богомилството в България, Византия и Западна Европа в извори, София, 1967. — G. Cankova-Petkova, Apparition et diffusion du bogomilisme. . ., Études historiques, VII, 1975, c. 19—27.

GERMANI PATRIARCHAE CONSTANTINOPOLITANI EPISTULA AD CONSTANTINOPOLITANOS CONTRA BOGOMILOS

Ἀνάγκη ἐλθεῖν τὰ σκάνδαλα· οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ τὸ σκάνδαλον ἔρχεται. Λόγος τοῦτο τῆς αὐτοαληθείας Χριστοῦ, τοῦ τὸν κόσμον δημιουργήσαντος καὶ πρὸ τῆς τοῦ κόσμου συστάσεως τὰ ἐν τῇ συντελείᾳ τοῦ κόσμου προϊδόντος παντεποπτικοῖς ὀφθαλμοῖς. Προλέγει δὲ ταῦτα οὐχ ἁπλῶς, ἀλλ' ἵνα τοὺς ῥαθυμοτέρους τῶν ἀνθρώπων καὶ ἀφελεῖς πρὸς ἐγρήγορσιν διεγείρῃ καὶ προσοχὴν εἰς τὸ μὴ ῥᾳδίως ὑπάγεσθαι τοῖς σκανδαλοποιοῖς ἀνθρώποις καὶ ὑπηρέταις τῆς διαβολικῆς ἐνεργείας. Καὶ οὐ μόνον αὐτὸς ὁ τοῦ ἀνάρχου πατρὸς συνάναρχος παῖς, ὁ ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν ἀτρέπτως σαρκωθεὶς ἐκ τῆς ὑπεραγίας Θεομήτορος καὶ τοῖς ἀνθρώποις συναναστραφείς, ἀλλὰ καὶ Παῦλος, τὸ καθαρὸν τοῦ Χριστοῦ στόμα καὶ εὔλαλον, τὰ ἴσα τῷ διδασκάλῳ προφθέγγεται | καὶ τὰ ἐν ταῖς ἐσχάταις ταύταις ἀναφυησόμενα ζιζάνια τῆς βογομιλικῆς δυσσεβείας θείῳ πνεύματι ἀναμαθὼν ἐγγράφως παρέδωκε, προκατασφαλιζόμενος οἱονεὶ προφυλακτικοῖς βοηθήμασι τὰ μέλη τῆς ἐκκλησίας Χριστοῦ, ἵνα μὴ κατακρατήσῃ τούτων ἡ ὀλεθρία νόσος αὕτη καὶ ψυχοφθόρος, ἡ πρὸς τὸ αἰώνιον πῦρ παραπέμπουσα τοὺς ταύτην νοσήσαντας. Γράφει δὲ πρὸς Τιμόθεον ταῦτα οὕτω ῥητῶς ἔχοντα· τὸ δὲ πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνης καὶ διδασκαλίαις δαιμόνων, ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν, κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ ὁ θεὸς ἔκτισεν εἰς μετάληψιν μετ' εὐχαριστίας τοῖς πιστοῖς καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν· ὅτι πᾶν κτίσμα θεοῦ καλὸν καὶ οὐδὲν ἀπόβλητον μετὰ εὐχαριστίας λαμβανόμενον. Διὰ γοῦν τῶν ῥημάτων τούτων ἀριδήλως καὶ φανερῶς προεδήλωσεν ὁ ἀπόστολος τοῦ διαβόλου τὸ κήρυγμα τὸ νῦν ἐνεργούμενον ἐν τοῖς τῆς ἀπωλείας υἱοῖς, τοῖς παμβεβήλοις Βογομίλοις καὶ βδελυροῖς, ἥν τινα καὶ δαιμόνων διδασκαλίαν ὁ ἀπόστολος οὗτός φησι καὶ ἀποστασίαν ἀπὸ τῆς εἰς Χριστὸν πίστεως, καθὼς ἀνωτέρω ἠκούσατε. Ὅτι δὲ περὶ ταύτης τῆς αἱρέσεως τοῦτο προεῖπε, δῆλον ἐκ τῶν γνωρισμάτων καὶ τῶν σημείων, ἤγουν τοῦ διδάσκειν αὐτοὺς ἀπέχεσθαι τῶν τε βρωμάτων καὶ τοῦ ἀθετεῖν τὸ κατὰ νόμους συζεύγνυσθαι γυναιξί. Τίνων γὰρ ἄλλων ἐστὶν ἡ διδασκαλία αὕτη, ἀλλ' ἢ τῶν πολλάκις δηλωθέντων δαιμονοφορήτων τε καὶ δαιμονοπνεύστων Μασσαλιανῶν ἤτοι τῶν Βογομίλων; Αὐτοὶ γὰρ παντὸς βρώματος ἀκαθαρσίαν

ПОСЛАНИЕ НА ЦАРИГРАДСКИЯ ПАТРИАРХ ГЕРМАН ДО ЦАРИГРАДЧАНИТЕ СРЕЩУ БОГОМИЛИТЕ

„Неизбежно съблазните ще дойдат, но горко на онзи човек, чрез когото идва съблазънта.“[1] Това е словото на самата истина на Христа, който е сътворил света и преди сътворението му е предвидил с всевиждащите си очи какво ще стане при свършека на света. И това обаче той не съобщава токутака, но с цел да подтикне по-безгрижните и по-простите хора към бдение и внимание, за да не се поддават лесно на прелъстителите и на слугите на дяволските деяния. И не само този безначален син на безначален отец, който за спасението на нашия род направо[2] приел човешка плът от светата богомайка и слязъл между хората, но също и Павел, чистата и благозвучна уста на Христа, изрича еднакви с учителя слова и писмено предава, както е научил от дух свети, за плевелите на богомилското безчестие, които ще поникнат през настоящото време. Той се е погрижил някак с предварителни целебни средства да предпази членовете на Христовата църква, за да не ги овладее тази гибелна и душегубна болест, която праща заболелите от нея във вечния огън. Той пише изрично това на Тимотей: „А духът изрично казва, че на края някои ще отстъпят от вярата и ще се обърнат към измамни духове и бесовски учения чрез лицемерието на лъжците, които, заклеймили собствената си съвест, забраняват встъпването в брак и заповядват въздържание от храни, които бог е създал да ги ядат с благодарност вярващите и познаците истината. Защото всяко създание на бога е хубаво и не трябва да се отхвърля нищо, когато се приема с благодарност.“[3] И тъй чрез тези думи апостолът е разкрил ясно и явно проповедта на дявола, която сега се проявява у синовете на гибелта — безбожните и безсрамни богомили. Тази проповед апостолът назовава дяволско учение и отстъпление от Христовата вяра, както чухте по-горе. Че това той е предрекъл именно за тази ерес, е явно от следните признаци и белези, именно че еретиците проповядват въздържание от храни и запрещават влизането в законни връзки с жена. На кого другиго е това учение освен на масалианите, т.е. богомилите, които често издават, че носят в себе си дявола и са надъхани от дявола? Наистина те обявяват за нещо нечисто κατηγοροῦσι καὶ τοῦ Παύλου ἀκούοντες λέγοντος περὶ τῶν βρωμάτων, ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν τοῖς πιστοῖς, οἱ τοιοῦτοι ὑπὸ τοῦ διαβόλου ταῦτα κτισθῆναι βλάσφημον γλῶσσαν κινοῦσιν οἱ μάταιοι, οἳ λοιδοροῦσι τὸν οἶνον διὰ τοὺς μεθύοντας, ὀφείλοντες μᾶλλον τοὺς μεθύοντας λοιδορεῖν. Οὐδὲ γὰρ ὁ οἶνος αὐτοὺς ἐβιάσατο κατακόρως τούτου ἐμφορηθῆναι. Ὁ γὰρ εὐμέτρως τοῦτον πιὼν εὐφροσύνης πληροῦται καὶ ὑγείαν εὑρίσκει σωματικήν. Οὐδεὶς δέ ποτε καὶ τὸν σίδηρον μέμψεται διὰ τὴν τοῦ λῃστοῦ μάχαιραν, ἑκουσίως παραβλεψάμενος τὸ ἐν τοῖς γεωργικοῖς ἐργαλείοις χρήσιμον τούτου καὶ ἐν πᾶσιν ἑτέροις ἔργοις καὶ ἐπιτηδεύμασιν, ἐν ὅσοις ἀπαραίτητος ἡ τοῦ σιδήρου χρῆσις ἐστι καὶ βιωφελής, ὧν χάριν παρήχθη καὶ ὑπὸ θεοῦ. Κωλύουσι δὲ φανερῶς καὶ τὸν γάμον οἱ λαγνίστατοι, ὡς ἴσασιν οἱ μεμυημένοι τὰ τοῦ σκότους μυστήρια, κἂν τούτῳ ἐναντιούμενοι τῷ εὐαγγελίῳ Χριστοῦ καὶ ταῖς τῶν ἁγίων ἀποστόλων διδασκαλίαις. Ὁ μέντοι Χριστὸς τῇ παρουσίᾳ αὐτοῦ τὸν ἐν Κανᾷ γάμον ἡγίασε καὶ τῶν αὐτοῦ θεοπρεπῶν τερατουργιῶν τοῦ γάμου ἀπήρξατο. Καὶ διδάσκων τὸν λαὸν περὶ τοῦ μὴ χωρίζεσθαι ἄνδρα ἐκ γυναικὸς δίχα μοιχείας οὕτως ἔλεγεν· οὓς ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. Καὶ ὁ μέγας ἀπόστολος σύμφωνα τῷ διδασκάλῳ αὐτοῦ καὶ δεσπότῃ Χριστῷ φθεγγόμενος ἔφησε· τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός, ὃς καὶ ταῖς νεαζούσαις χήραις δευτέροις ἀνδράσιν ὁμιλεῖν συγχωρεῖ, φοβούμενος τὸ τῆς νεότητος ἄτακτον.

---

[1] Мат. 18, 7. [2] Т. е. без зачатие. [3] I Тим. 4, 1—4.

Οὐκ ἐπὶ μόνοις δὲ τοῖς κεφαλαίοις τούτοις ἐναντιοῦνται τῇ διδασκαλίᾳ Χριστοῦ οἱ διαβολιανοὶ τῷ ὄντι Βογόμιλοι, ἀλλὰ καὶ ἐπὶ | μυρίοις ἑτέροις, ἃ καὶ ἀπαριθμούμενον ἐπιλείψει με ἡ ἡμέρα. Παρατρέχω δὲ ταῦτα ἐθελοντί, ἵνα μὴ τὸν κάναλον τῶν βογομιλικῶν βλασφημιῶν διαταράσσων δυσωδίας ἀμέτρου τὸν ὀρθόδοξον τοῦ Χριστοῦ ἐμπλήσω λαόν. Οὐδεὶς γὰρ τῶν ἀπ' αἰῶνος αἱρετικῶν ἀνθρώπων καὶ μιαρῶν οὕτως ἐπλάτυνε τὴν καρδίαν ἑαυτοῦ εἰς τὴν τοῦ διαβόλου ὑποδοχὴν καὶ στόμα γέγονε τούτῳ εἰς τὸ λαλεῖν τὰ βλάσφημα καὶ δυσσεβέστατα φληναφήματα, ὡς οἱ πολλάκις δηλωθέντες γνήσιοι τῶν δαιμόνων θεραπευταὶ Μασσαλιανοί, οἵ τινες ἀπεκδυσάμενοι τὸν Χριστὸν ὅλον ἐνεδύσαντο τὸν διάβολον καὶ πάντα ὅσα διδάσκουσι πρὸς τιμὴν καὶ δόξαν τοῦ πατρὸς αὐτῶν διαβόλου λαλοῦσι καὶ ποίημα ὄντα τοῦτον ἀχάριστον καὶ κατὰ τοῦ ποιήσαντος τραχηλιάσαντα ποιητὴν χειροτονοῦσι τῶν ὁρατῶν ἁπάντων κτισμάτων καὶ βασιλέα· ποτὲ μὲν καὶ υἱὸν Θεοῦ καὶ

употребата на всякаква храна и като слушат думите на Павел за храните, които бог е създал, за да ги приемат вярващите, тези именно безумци сквернословно говорят, че уж тези храни са създадени от дявола. Те порицават виното поради пияниците, когато са длъжни да порицават повече пияниците. Наистина тях не виното е накарало да прекаляват с него. Този, който го пие умерено, се изпълва с благоразумие и се радва на телесно здраве. Никой никога не е хулил желязото, защото от него се прави ножът на крадеца, като недоглежда съзнателно ползата от него за направата на земеделски сечива и за всякакви други работи и занимания, при които употребата на желязото е неизбежна и полезна — заради това то е дадено от бога. Тези развратници открито забраняват и брака, както знаят посветените в мистериите на тъмнината. И в това са в противоречие с евангелието на Христа и с ученията на светите апостоли. А Христос с присъствието си в Кана наистина освети брака и сложи начало на своите божествени чудеса на женитбата. И учейки народа да не се отделя мъж от жена си освен при прелюбодеяние, казваше така: „Които бог е съчетал, човек да не ги разлъчва."[4] А и великият апостол в съгласие със своя учител и господ Христос е казал: „Бракът нека бъде на почит и брачното ложе неопетнено; защото бог ще съди блудниците и прелюбодейците"[5], който и на младите вдовици позволява да се омъжват повторно, страхувайки се от необуздаността на младостта.[6]

Не само по тези главни въпроси дяволските богомили се противопоставят на Христовото учение, но и в безброй други неща, за изброяването на които не ще ми стигне дори цял ден. Отминавам ги на драго сърце, да не би като разбъркам блатото на богомилското богохулство, да омърся православните християни с безмерно зловоние. Наистина от векове насам никой от еретиците и нечестивците не е разтварял така широко сърцето си за гостоприемство на дявола и не му е ставал такъв глашатай за богохулните му брътвежи и най-нечестиво празнословие, както масалианите — тия често разобличавани верни слуги на дяволите. Те са отхвърлили Христа от себе си[7] и са приели напълно дявола[8] и всичко, каквото учат, го бръщолевят за чест и слава на своя отец дявола, когото провъзгласяват за творец на всички видими неща и за цар, макар че е неблагодарно създание, възбунтувало се срещу собствения си създател. Понякога го наричат и син

---

[4] Мат. 19, 6. [5] Към евр. 13, 4. [6] Срв. I Тим. 5, 14. [7] Срв. Гал. 3, 27. [8] Срв. Йоан 8, 44.

ἀδελφὸν τοῦ Χριστοῦ τοῦτον κατονομάζουσιν, οὐδὲ τοῦτο μαθόντες ἐκ τῶν εὐαγγελίων, ὅτι μονογενὴς υἱὸς τοῦ Θεοῦ ὁ Χριστὸς λέγεται, καθώς φησιν ὁ εὐαγγελιστής, ὅτι· ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ, ὁ ὢν ἐν τοῖς κόλποις τοῦ πατρός, τοῦτο ἐξηγήσατο. Ὁ γὰρ μονογενὴς ἀδελφὸν οὐκ ἔχει. Ὢ τῆς ἀνοχῆς σου, Χριστὲ βασιλεῦ· ὢ τῆς ἀμέτρου μακροθυμίας σου, ἣν ἐπὶ τοῖς βλασφήμοις τούτοις καὶ ὑβρισταῖς σου Βογομίλοις ἐνδείκνυσαι· καὶ σὺ μὲν τὸν διάβολον ἐκνευρίσας τε καὶ συντρίψας τῇ τῆς θεότητός σου δυνάμει ὑπὸ τοὺς πόδας τῶν σοι πεπιστευκότων ὑπέθηκας καὶ ἐξουσίαν αὐτοῖς δέδωκας τοῦ πατεῖν ἐπάνω τοῦ σκολιοῦ τούτου ὄφεως καὶ τῶν σκορπίων τῶν ὑπ' αὐτὸν θανατηφόρων δυνάμεων. Οἱ δὲ ἄθεοι Βογόμιλοι ἰσοδύναμόν σοι βλασφημοῦσι τοῦτον καὶ ἰσεξούσιον. Λέγεται γοῦν πάντως ὑπὲρ τῆς τιμῆς, ἣν τιμῶσιν αὐτόν, εἰς τὴν οἰκείαν κληρονομίαν αὐτοὺς συμπαραλαβεῖν τὸν διάβολον, ὃν βασιλέα κεχειροτονήκασιν. Ὅπου γὰρ ὁ βασιλεὺς αὐτῶν, ἐκεῖ καὶ ἡ τάξις αὐτοῦ πάντως συμπορευθήσεται. Καὶ ἐν τῷ σκότει σὺν τῷ τοῦ σκότους αὐτῶν ἄρχοντι καὶ τούτους συναυλισθῆναι καὶ ὑπὲρ τῶν πολλῶν ψυχῶν ὧν ἀπώλεσαν καὶ καθημέραν ἀπολλ⟨ύ⟩ουσι, τῷ ταρτάρῳ παραπεμφθῆναι· καὶ καλὸν ἦν αὐτοῖς, εἰ οὐκ ἐγεννήθησαν, ὅτι χωρὶς διωγμοῦ, χωρὶς βασάνων καὶ τιμωριῶν τὴν ἀρχαίαν καὶ πατροπαράδοτον πίστιν ἠρνήσαντο. Εἴ τις δὲ ὑπὸ τῆς αἱρέσεως ταύτης παρασυρεὶς καὶ ταῖς διαβολικαῖς παγίσιν ἁλοὺς ἐπιστρέψαι θελήσει καὶ πάλιν πρὸς τὴν ἀλήθειαν καὶ τὸν ἄρχοντα μισήσας τοῦ σκότους καὶ τὸν ζόφον τῆς πλάνης ἐκτιναξάμενος ἐπανασωθῆναι καλῶς βουληθήσεται πρὸς τὸν λέγοντα· ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου καὶ ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ, ἤγουν τῇ διαβολικῇ πλάνῃ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς, ὁ τοιοῦτος ὀφείλει ἐπ' ἐκκλησίας | ἀναθεματίζειν καὶ λέγειν ταῦτα τρανῶς, παρόντων πολλῶν χριστιανῶν καὶ ἀκροωμένων.

⟨Ε⟩ἴ τις τὴν τοῦ κόσμου τούτου τοῦ αἰσθητοῦ δημιουργίαν καὶ ἐξουσίαν τῷ ἄρχοντι τοῦ σκότους προσανατίθησι καὶ ὑπὸ τοῦ ἀκόσμου καὶ βδελυροῦ τὸν κόσμον διοικεῖσθαι διισχυρίζεται, ἀνάθεμα. Εἰ γὰρ καὶ ἄρχων τοῦ κόσμου ἐν τοῖς εὐαγγελίοις λέγεται, ἀλλ' οὐχὶ τῶν κτισμάτων, ἀλλὰ τῶν ἀνθρωπίνων θελημάτων καὶ τῆς προαιρέσεως τῶν διαπραττομένων τὰ ἔργα τούτου τὰ πονηρὰ καὶ τῆς ἁμαρτίας τὰ ἐπιτηδεύματα. Ἐβασίλευσε γάρ φησιν ἡ ἁμαρτία ἀπὸ Ἀδὰμ μέχρι Μωσέως· πατὴρ δὲ καὶ βασιλεὺς τῆς ἁμαρτίας ὁ διάβολος. Ἐπεὶ γοῦν οἱ ἐν τῷ κόσμῳ τότε ἄνθρωποι πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν καὶ ἐδουλώθησαν διὰ τὴν τῆς ἁμαρτίας ἡδονὴν τῷ τῆς ἁμαρτίας πατρί, κατὰ τὸν λόγον τοῦτον ἄρχων τοῦ κόσμου ὁ διάβολος ὠνομάσθη.

Εἴ τις λέγει, ὅτι ὁ Θεὸς τὰς ψυχὰς μόνας ἐποίησε τῶν ἀνθρώπων, τὰ δὲ σώματα ὁ διάβολος καὶ συγκοινωνοὺς εἰς τὴν

на бога и брат на Христа, но не са научили това от евангелието, понеже [в него] Христос се нарича единороден син божи, както казва евангелистът: „Единородният син на бога, който е в лоното на отца, той го изяви.“[9] А единородният няма брат. О, какво търпение и какво безмерно великодушие, царю Христе, проявяваш спрямо тези клеветници и твои хулители богомилите! Ти обезсили дявола, стъпка го с твоята божествена мощ и го подхвърли под краката на повярвалите в тебе, като им даде власт да стъпчат тази нечиста змия и скорпионите — подвластните ѝ смъртоносни сили.[10] А безбожните богомили злословят, че той притежавал равна на тебе сила и власт. Изобщо много се говори за честта, която му отдават, като в собствения си дом приемат дявола, когото са провъзгласили за цар; защото, където се намира царят им, там ще владее изцяло и неговият ред. Те живеят в мрака заедно с владетеля на този свой мрак и са пратени в пъкъла заради многото души, които са погубили и всеки ден погубват. Добре щеше да бъде за тях да не се бяха раждали, защото без преследване, без мъчения и наказание са се отрекли от старата си предадена от прадедите вяра. Ако някой, привлечен от тази ерес и хванат в примките на дявола, пожелае да се върне отново към истината и намразил началника на ада и отърсил се от мрака на измамата, щастливо пожелае да бъде спасен от този, който казва: „Аз съм светлината на света и който ме следва, не ще ходи в тъмнината“, т.е. в дяволската измама, „но ще има светлината на живота“[11], такъв трябва в църква да изрече проклятие и да го заяви ясно в присъствието на много християни и оглашени.

Ако някой смята, че създаването на този видим свят и властта над него принадлежат на управителя на мрака, и твърди, че светът се управлява от непристойния безсрамник — проклятие! Наистина в евангелието дяволът се нарича управител на света, но не и на тварите, а на човешките страсти и на волята на онези, които вършат позорните му деяния и греховните дела. Казва се: „Грехът царуваше от Адам до Мойсей.“[12] Баща и цар на греха е дяволът. Затова, когато в тогавашния свят „всички хора се отклонили, веднага са станали непотребни“[13] и били поробени от бащата на греха поради греховното удоволствие. Според това слово дяволът бил наречен управител на света.

Ако някой казва, че бог е създал само душите на хората, а телата дяволът, и прави τοῦ ἀνθρώπου πλάσιν τὸν Θεὸν καὶ τὸν διάβολον συνεισάγει οὐκ ἀκούων τοῦ μεγάλου Παύλου λέγοντος· τίς γὰρ ἡ κοινωνία φωτὶ πρὸς σκότος ἢ τίς συμφώνησις Χριστῷ πρὸς Βελίαρ; καὶ οὐχὶ μᾶλλον τὸν Θεὸν μόνον ψυχῶν καὶ σωμάτων ποιητὴν καὶ πλάστην ὁμολογεῖ κατὰ τὴν διδασκαλίαν τῆς θείας γραφῆς, ἀνάθεμα.

---

[9] Йоан 1, 18. [10] Срв. Лука 10, 17, 19. [11] Йоан 8, 12. [12] Рим. 5, 14. [13] Рим. 3, 12.

Εἴ τις τὴν παλαιὰν γραφήν, ἧς νομοδότης μὲν ὁ Θεός, νομοθέτης δὲ ὁ Μωσῆς, ἀθετεῖ καὶ ὑβρίζει καὶ τοῦ διαβόλου ταύτην παράδοσιν βλασφημεῖ κἀντεῦθεν ἄπιστος εὑρίσκεται τοῦ Χριστοῦ τοῦ λέγοντος· εἰ ἐπιστεύετε Μωσεῖ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψε, καὶ μήτε τὸν ἀπόστολον Παῦλον δεχόμενος λέγοντα, ὅτι· ὁ μὲν νόμος ἅγιος καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή, ἀνάθεμα. Ἡμεῖς γὰρ ἕνα καὶ τὸν αὐτὸν Θεὸν ἐπιστάμεθα ἐν τῇ παλαιᾷ τε γραφῇ καὶ τῇ νέᾳ λαλήσαντα, εἰ καὶ πρὸς τοὺς καιροὺς καὶ τὰ τῶν ἀνθρώπων ἤθη τὰς παραγγελίας προσήρμοσε. Καὶ γὰρ καὶ μήτηρ ἄλλῃ μὲν τροφῇ τρέφει τὸ νήπιον, ἑτέρᾳ δὲ τὸν ἀκμάζοντα μείρακα καὶ οὐκ ἐναντιοῦται αὐτὴ ἑαυτῇ, ἀλλὰ τὸ προσαρμόζον καὶ πρόσφορον τῷ καιρῷ καὶ τῇ δυνάμει τοῦ τέκνου ποιεῖ· οὕτω δὴ καὶ ὁ Θεὸς πεποίηκε. Πάλαι μὲν τὰ κατάλληλα καὶ τὰ ἁρμόδια τῇ ἰουδαϊκῇ ἀτελείᾳ καὶ νηπιότητι τῶν φρενῶν τοῦ τότε λαοῦ διαταξάμενος, ὕστερον δὲ τὸ τέλειον καὶ ἀνδρώδει τὴν φρόνησιν σταθηροῖς προσφυέστατον παραδούς. Παιδαγωγὸς γὰρ εἰς Χριστὸν ὁ νόμος γέγονε τοῖς ἀνθρώποις, ὥς φησι Παῦλος, τὸ στόμα Χριστοῦ, καὶ αὐτὸς δὴ ὁ Χριστὸς ἀρξάμενος ἀπὸ Μωϋσέως καὶ ἀπὸ πάντων τῶν προφητῶν διηρμήνευε τοῖς περὶ τὸν Κλεόπαν τὰ περὶ ἑαυτοῦ.

Τοῦ δ' αὐτοῦ χρόνου πρὸς τὸ φθινοπωρινὸν ἀποκλίνοντος ἐπὶ τέτρασι παισὶ μεταλλάττει τὸ βιοῦν ὁ κρατῶν, τρισὶ μὲν θηλυτέραις, ἑνὶ δ' ἐνναίτει ἄρρενι παππωνυμοῦντι τῷ Ἰωάννῃ· αἱ γὰρ πρῶται τῶν θυγατέρων, ἡ μὲν τῷ Βουλγαρίας ἄρχοντι Κωνσταντίνῳ τῷ Τείχῳ, ἡ δὲ τῷ τοῦ δυσικοῦ δεσπότου Μιχαὴλ παιδὶ Νικηφόρῳ, πρὸς γάμον ἔφθασαν ἐκδοθῆναι.

(I, 35_{21}—36_{3})

ГЕОРГИ ПАХИМЕР

МИХАИЛ ПАЛЕОЛОГ

1. За съпругата на българския цар Константин Тих

I. 13. През същата година[1] при настъпването на есента умря императорът[2], като остави четири деца — три дъщери и едно деветгодишно момче, наречено на дядо си — Йоан. Първите от дъщерите бяха вече омъжени — едната за българския владетел Константин Тих[3], а другата — за Никифор, сина на деспота на Запада Михаил[4].

---

[1] През 1258 г. [2] Теодор II Ласкарис, никейски император (1254—1258). [3] Константин Тих (Асен), български цар (1257—1277). [4] Михаил II Ангел Дука Комнин, епирски деспот (1237—1271).

2. *Imperator Theodorus Comnenus ab Asane rege Bulgarorum capitur*

Ἐν τοσούτῳ δὲ καὶ ὁ ἐν τῇ δύσει δεσπότης Μιχαήλ, ὁ τοῦ προβεβασιλευκότος Θεοδώρου ἀνεψιός, ἀκούσας τὰ κατ' ἀνατολὴν ὡς εἶχον, καὶ ὅτι ἐκποδὼν γεγονότος τοῦ Λάσκαρι ἐν μειρακυλλίοις μὲν ὁ ἐξ ἐκείνου Ἰωάννης τελεῖ, εἰς προνομὴν δὲ ἡ τῶν Ῥωμαίων βασιλεία κεῖται τῷ βουλομένῳ, ἀνάγει τὸν νοῦν πρὸς τὸν θεῖον Θεόδωρον, ὅπως κἀκεῖνος εὐγενὴς ὢν καὶ τὰ πρῶτα τῶν εὐγενῶν τῆς πρώτης ἐκείνης συγχύσεως συμπεσούσης Ῥωμαίοις ἑαυτὸν ἀναλαμβάνει, καὶ πλείστοις ὅσοις τοῖς κατ' Ἰταλῶν πολέμοις ἐνανδραγαθήσας τῆς βασιλείας ἐπείληπτο, στεφθεὶς παρὰ τοῦ Ἀχριδῶν Ἰακώβου, καὶ τὰ κατὰ δύσιν τοὺς Ἰταλοὺς ἀφελόμενος προσεκτήσατο, μέγας ἐπὶ τῶν πραγμάτων ἀναφανείς, μέχρι καὶ μοίρᾳ λαιᾷ προσκρούσας καὶ κατασχεθεὶς τῷ Ἀσὰν ἀφῃρέθη τῶν ὀφθαλμῶν. ταῦτα τοίνυν ὁ Μιχαὴλ ἐν νῷ θέμενος, καὶ καταλαζονευθεὶς τῶν πραγμάτων ἀρρώστως ἐχόντων, ἐπεὶ καὶ τὸ κατὰ πόλιν Ἰταλικὸν ἠσθένει τοῖς καθ' αὑτὸ πράγμασι, βουλὴν βουλεύεται ὡς λίαν νεανικὴν καὶ τῆς αὐτοῦ εὐγενείας ἀξίαν. ἡ δὲ βουλή, πλείστας ὅσας συναθροίσας δυνάμεις καὶ τῇ πόλει προσχὼν περικαθίσαι καὶ πειραθῆναι κατασχεῖν, καὶ οὕτω βασιλεὺς ἀναγορευθῆναι Ῥωμαίων· μὴ γὰρ εἶναι πρὸς αὐτὸν μηδὲν μήτε Λάσκαριν μήτ' ἄλλον ὁντιναοῦν αὐτάρκη πρὸς βασιλείαν, εὐγενῆ τε ὄντα καὶ τῶν Ἀγγέλων·

(I, pp. 81_{10}—82_{20})

2. *Българският цар Асен II пленява император Теодор Комнин*

I. 30. В това време и деспотът на Запад Михаил, братов син на Теодор[5], който бе царувал преди това, като чу какво е положението на Изток, а именно че след смъртта на Ласкарис[6] неговият син е още момче и че ромейската империя е на разположение като плячка на този, който желае [да я заграби], спомни си за чичо си Теодор[7] — как и той, благородник, и то от първите, при първото онова затруднение, сполетяло ромеите, замислил големи неща и като се отличил в многото войни против италийците, завзел царската власт, коронясан от охридския [архиепископ] Яков[8]. Той отнел от италийците земите на Запад и си ги присвоил. Прочул се много с делата си, докато [най-после], ударен от съдбата, бил заловен от Асен[9] и бил ослепен. За това мислеше прочее Михаил и окуражен от слабостта на империята и тъй като и италийците в столицата изнемогвали поради тази слабост, взима решение, твърде смело и достойно за неговия благороден произход. А решението бе да събере колкото може повече войска и като се доближи до столицата, да я обсади и да се опита да я превземе и така да се провъзгласи за император на ромеите. Нито Ласкарис, нито който и да било друг не бил с нищо по-достоен да царува от него, който бил и благороден, и от Ангеловците[10].

3. *Ioannes, Michaelis Palaeologi frater, multas occiduas arces capit*

τοῖς δὲ δυτικοῖς προσετετήκει. ὅθεν καὶ τὸν οἰκεῖον ἀδελφὸν Ἰωάννην, μέγαν ἔτι δομέστικον ὄντα, συνάμα πλείσταις δυνάμεσι πέμπει, (11) ὃς τοῖς δυτικοῖς ἐπιστὰς φοβερὸν ἔδοξε πνέειν ἐκείνοις, ἅμα μὲν τῷ θερμῷ τῆς νεότητος ἅμα δὲ καὶ τῷ περὶ ἐκεῖνον στρατεύματι κουφιζόμενος, καὶ ἀπτέρῳ τάχει αἱρεῖ μὲν τὸ περὶ τὰ Κάνινα φρούριον, αἱρεῖ δὲ καὶ τὸ περὶ τὰ Βελλάγραδα καὶ Πόλογον καὶ Κολώνειαν, χειροῦται δὲ καὶ Καστορίαν καὶ Πε-

3. *Йоан, братът на Михаил Палеолог, завзима много крепости на Запад*

II. 10. . . . Той[11] се тревожеше за западните области[12]. Затова изпраща [там] родния си брат Йоан[13], който беше все още велик доместик, заедно с извънредно голяма войска. Йоан отиде в западните области и реши да се покаже към тях страшен. Намираше опора [за това] и в буйната си младост, и във войската около себе си. Със светкавична бързина превзима крепостта Канина[14], превзима крепостта Белград[15], Полог[16] и Колония[17], подчинява си Кастория[18] и Пелагоλαγονίαν καὶ Δούρας Τζέρνικόν τε καὶ Διάβολιν καὶ τὴν Πρίλαπον Βοδηνά τε καὶ Βόστρον, ἔλλιμνον νῆσον, Πέτραν Πρέσπαν τε καὶ Στερίδολα καὶ Ἀχρίδαν καὶ τὰ Ἰλλυριῶν ὀχυρώματα, καὶ ἕως Δυρραχίου φθάνει τὸ δόρυ κινῶν. προσβάλλει δὲ καὶ Πάτρᾳ καὶ Τρίκκῃ, καὶ τὰ κύκλῳ κατὰ συνθήκας κρατήσας, καὶ ἀμαχεὶ τὰ πλεῖστα, εἰς φόβον μέγαν καθίστησι τὸν δεσπότην καὶ ἐν στενῷ κομιδῇ. τότε καὶ ἐγγίονος ἀξιῶν τύχης αὐτὸν ὁ κρατῶν, πέμψας τὰ σύμβολα, σεβαστοκράτορα καθίστα.

---

[5] Теодор Ангел Комнин Дука, епирски деспот (1215—1224), солунски император (1224—1230). [6] Теодор II Ласкарис, вж. тук бел. 2. [7] Теодор Ангел Комнин Дука, вж. тук бел. 5. [8] Яков (Яков Проархий), охридски архиепископ (между 1234 и 1246). Ив. Снегаров (История на Охридската архиепископия, I, с. 280) смята, че Пахимер е мислел погрешно,че Теодор Комнин бил коронясан от Яков Проархий, когото смесил с Димитър Хоматиан. [9] Иван Асен II, български цар (1218—1241). [10] Династията на Ангеловците (1185—1204). [11] Михаил VIII Палеолог, който бил провъзгласен на 1. I. 1259 г. за съуправител на Йоан IV, малолетния син на Теодор II Ласкарис. [12] Западните области, т.е. балканските владения на Никейската империя, където най-опасен противник на Михаил Палеолог бил епирският деспот Михаил II. [13] Йоан, брат на Михаил VIII Палеолог, севастократор. [14] Канина, гр., сега развалини на адриатическия бряг, на юг от Валона. [15] Белград (Берат), гр. в Албания. [16] Полог, област на ю.-и.от Шар планина. Вж. у А. М. Селищев. Полог и неговото българско население, София, 1929. Също у Т. Томоски, Дали постоел град Полог. Гласник на Институтот за национална историја, I, 1 (Скопие, 1957), с. 271—275. Тук Полог е град. [17] Колония, дн. Колуня в Македония. [18] Кастория, дн. Костур.

(I, pp. 106_{16}—107_{10})

4. *Constantinus Tichus a coniuge sua Irene in Michaelem Palaeologum instigatur*

Οὕτω δὲ τῶν τῆς ἀνατολῆς μερῶν κρατυνομένων καὶ κατ' ἐλπίδας ἀγαθὰς ὄντων, τὰ κατὰ δύσιν καὶ αὖθις ἐκύμαινον. (26) ὁ γὰρ δεσπότης Μιχαὴλ μὴ εὐχερῶς φέρων στερούμενος τῶν φρουρίων καὶ τῆς χώρας ἀπεληλαμένος, ἣν ὁ θεῖος αὐτοῦ καὶ πατὴρ ὁ Θεόδωρος, ὃς καὶ βασιλικῆς ἀναρρήσεως κατὰ δύσιν ἠξιώθη τοῦ Ἀχριδῶν ταινιώσαντος Ἰακώβου, ἱδρῶσι πλείστοις καὶ σπάθῃ ἐκσπάσας τῶν Ἰταλῶν τοῖς ἰδίοις προσεποιήσατο, τούτων μὴ φέρων ὁ Μιχαὴλ στερούμενος ἀνελάμβανέ τε τὰς πρὸς τὸν βασιλέα συνθήκας, καὶ τὰ κατὰ δύσιν ὑποποιούμενος εὐχερῶς πρὸς ἑαυτὸν διὰ τὸ καὶ ἄλλως τῶν δυσικῶν εὐρίπιστον ἔπειθεν ἀποκλίνειν αὖθις. διὰ ταῦτα τὸν μὲν δεσπότην ὁ βασιλεὺς Ἰωάννην, σπουδῇ τὰ φωσσάτα λαβόντα, προσέταττε τὸν πόλεμον πρὸς ἐκεῖνον ἐκφέρειν· ἐπεὶ δὲ καὶ οἱ ἀπὸ τῆς Σικελικῆς ῥηγικῆς ἐξουσίας πολλὰ τῶν Ἰλλυριῶν καὶ τῆς νέας Ἠπείρου προσεσφετερίσαντο, πέμπει κἀκεῖσε τοὺς ἀντιταξομένους. καὶ δὴ τῷ Καίσαρι Ἀλεξίῳ τὸ Σκυθικὸν παραδοὺς σὺν οὐ πολλοῖς ἄλλοις πρῶτον πρὸς Θρᾴκην ἐξώρμα, τὰ κατὰ τὴν Ὀρεστιάδα καλῶς ὡς εἶχε διαθησόμενον, ἐν δευτέρῳ κἀκεῖνα τιθέμενος. τὸ γὰρ Βουλγαρικὸν οὐκ ἤθελεν ἠρεμεῖν, καὶ μᾶλλον κατ' ἔχθραν καὶ μῖσος τὸ πρὸς βασιλέα, τῆς πρώτης τῶν θυ-

ния[19] и Дура[20], Черникон[21], Девол[22] и Прилеп, Воден и Вострон[23], езерен остров, Петра[24], Преспа, Старидол[25] и Охрид, а също и илирийските крепости и с оръжие в ръка отива чак до Дирахиум[26]. Напада Патрас и Трики[27] и като завладява предаващите се околни крепости, повечето и без бой, внушава у деспота голям страх и го поставя в тежко положение. Тогава владетелят намери Йоан достоен за по-голямо звание и като му изпрати знаците, издигна го за севастократор.

4. *Константин Тих бива подстрекаван от съпругата си Ирина против Михаил Палеолог*

II. 25. . . След като източните области бяха заздравени така и за тях изгледите в бъдеще бяха добри, западните започнаха отново да се вълнуват. Защото деспот Михаил[28] мъчно понасяше да бъде лишен от крепостите и да бъде изгонен от земята, която чичо му и баща му Теодор[29] — той бе удостоен да бъде провъзгласен за император на Запада и бе коронясан от охридския [архиепископ] Яков — с много труд и военни усилия изтръгна от италийците[30] и я присъедини към своите владения. И тъй, не понасяйки да бъде лишен от тях, Михаил наруши договора с императора и стараейки се да си подчини земите на Запад, лесно ги убеди да минат отново на негова страна, понеже и без това западните народи са лекоподатливи. Поради това императорът заповяда на деспот Йоан[31] да вземе бързо войската и да започне война с него. А тъй като и тези от сицилийската кралска войска[32] си присвоиха много места от Илирик[33] и Нови Епир[34], той изпрати и там войски, които да им се противопоставят. И на кесаря Алексий[35] той предостави скитската[36] войска заедно с други немногочислени части и го насочи най-напред към Тракия, за да уреди колкото може по-добре работите в Орестиада[37]. Но и това той поставяше на второ място, защото българският народ не желаеше да стои спокоен и най-вече поради враждебността и омразата срещу императора на Ирина, първата от дъщерите γατέρων τοῦ Λάσκαρι Θεοδώρου καὶ βασιλέως Εἰρήνης τὴν σύζυγον Κωνσταντῖνον, ὃν καὶ βασιλέα Βουλγάρων ὁ λόγος ἐδείκνυ μάλα θερμῶς ἐξοτρυνούσης κακοῦν τὴν χώραν, ἀντίποινα δῆθεν ὧν ὁ ἀδελφὸς Ἰωάννης ἔπασχε.

---

[19] Пелагония, дн. Битоля.
[20] Дурас, дн. Драч.
[21] Черникон, гр. в Елбасанско.
[22] Девол, гр. при Горни Девол в Корчанско. Вж. Златарски, Де се е намирал гр. Девол, ИИД, V, 1922, с. 40—45.
[23] Вострон (Острово) Остров, крепост до Воден.
[24] Петра, дн. с. Петра, Катеринско, в Солунска епархия.
[25] Старидол, крепост между Воден и Острово.
[26] Дирахиум, дн. Драч.
[27] Трики, гр., дн. Трикала.
[28] Михаил II, епирски деспот, вж. тук бел. 4.
[29] Теодор Ангел Комнин Дука, вж. тука бел. 5.
[30] Т. е. от Солунското царство и от другите латински държавици в Гърция.
[31] Йоан, деспот, брат на Михаил VIII Палеолог.
[32] В 1258 г. сицилийският крал вече е завладял крайбрежието на Албания от Драч до края на Керкирския пролив. Вж. Ф. И. Успенский, История Византийской империи, III, 1948, с. 532.
[33] Илирик, област, която обхващала западните земи на Балканския полуостров, покрай Адриатическото крайбрежие.
[34] Епир Нови, съответствува приблизително на дн. Албания.
[35] Алексий Стратигопулос, кесар.
[36] Със скити тук по всяка вероятност са обозначени куманите. Вж. Gy. Moravcsik, Byzantinoturcica, II, с. 282.
[37] Орестиада, т.е. Адрианопол (Одрин).

(I, pp. 137_5—138_6)

5. Bulgari aliaeque gentes partes imperii Romani inter se partiuntur

. . . ἀλλὰ θεοῦ θέλοντος, ἢ μᾶλλον παραχωροῦντος κατ' εἴσπραξιν τῶν εἰς ἐκεῖνον πλημμελημάτων, αὐτῆς ὡσανεὶ τινος καρδίας τῆς πατρίδος παθούσης συνενεκρώθησαν πάντα, καὶ τὰ μὲν Ἰταλοὶ τὰ δὲ Πέρσαι Βούλγαροί τε καὶ Τριβαλλοὶ καὶ πάντες ἄλλοι διεμερίσαντο, ἔστι δ' ἃ καὶ Ῥωμαῖοι τῇ βασιλείᾳ ὑπήκοοι νοσφισάμενοι καθ' αὑτοὺς ἦσαν δεσπόζοντες.

(I, p. 154_{1-7})

6. De coniuge Svetoslavi Iacobi

Τῷ μὲν οὖν βασιλεῖ μετὰ ταῦτα διέγνωστο ἀπαλλαγῆναι καὶ τῶν βασιλίδων τῶν καὶ αὐταδέλφων τοῦ παιδὸς Ἰωάννου, δοκουσῶν ἔχειν καὶ τούτων τὸ μέρος βασιλείας κλῆρον ἀπὸ πατρός. καὶ διὰ τοῦτο βαθὺ τι σκοπῶν ἐκεῖνος Ῥωμαίους αὐταῖς οὐ συνήρμοττε. τὴν μὲν γὰρ τῷ ἀπὸ τοῦ Μωρέου εὐγενεῖ Λατίνῳ Μαΐῳ Δεβελικούρτῳ λεγομένῳ συνῆγεν εἰς λέχος ἐντεῦθεν ἐνδημήσαντι, τὴν δὲ δευτέραν Λατίνῳ μεγιστᾶνι, ὃν ἂν ἐκεῖνοι φαῖεν σεμνύνοντες κόντον, ὄνομα Βιντιμίλια, ἀπὸ Γεννούας τότε προσελθόντι κατὰ φήμην τῷ βασιλεῖ, εἰς γάμον ἐκδοὺς καὶ δώροις τὰ εἰκότα φιλοφρονησάμενος ἀποπέμπει συνάμ' ἐκείνῃ συζύγῳ, τὴν δὲ τρίτην Βουλγάρῳ τῷ Σφεντισθλάβῳ κατὰ Μυσίαν τῶν κατὰ τὸν Αἶμον ὀρεινῶν ἄρχοντι δίδωσι. καὶ οὕτως ἐκείνων ἀπαλλαγεὶς καὶ τῶν φροντίδων τῶν ἐπὶ ταύταις ῥαΐσας ἑτέραις πράξεσιν ἐπιβάλλεται.

(I, pp. 180_{15}—181_8)

на император Теодор Ласкарис. Тя много горещо подтикваше съпруга си Константин, за когото разказахме, че е цар на българите, да опустошава земята [на Палеолог] за отмъщение, разбира се, на това, което претърпял брат ѝ Йоан[38].

5. Българите и други народи разпределят помежду си части от ромейската империя

II. 30. . . . Но по волята на бога или по-скоро с негово разрешение за наказание на извършените спрямо него прегрешения пострада един вид и самото сърце на отечеството[39] и след това всичко загина. Едни части откъсваха италийци, други перси[40], българи и трибали[41], а и всички останали [народи]. Имаше и части, които си присвояваха и ромеи, подчинени на ромейската империя, и ги управляваха като независими господари[42].

6. За съпругата на Яков Светослав

III. 6. След това[43] императорът[44] реши да отдалечи и княгините, родните сестри на момчето Йоан[45], понеже се смяташе, че и те имат като наследство от баща си част от царската власт. И затова той далновидно не ги омъжи за ромеи. Едната даде за съпруга на благородния латинец по име Май де Велткурт, който бе от Морея и бе дошъл оттам; втората омъжи за латинския велможа, когото те величаят и наричат конт, по име Винтимилия. Той беше от Генуа и тогава, увлечен от славата [на императора], беше се присъединил към него. Императорът го почете прилично с дарове и го отпрати заедно със съпругата му, а третата[46] даде на българина Светослав[47], владетеля на планинската област около Хемус[48] в Мизия. И така, освободил се от тях и от грижите около тях, той се заема с други дела.

---

[38] Йоан, вж. тук бел. 13.

[39] Става дума за падането на Цариград в ръцете на латинците.

[40] Под перси тук са обозначени селджукските турци.

[41] Трибали, сиреч сърби.

[42] Това е част от речта на Михаил VIII Палеолог, произнесена в Никея, след като се научил за превземането на Цариград, владян от латинците до 25. VII. 1261 г.

[43] Т.е. след като в 1261 г. омъжил дъщеря си Евфросина за Ногай.

[44] Михаил VIII Палеолог.

[45] Йоан IV, малолетният син на Теодор II Ласкарис, ослепен по нареждане на Михаил VIII Палеолог.

[46] По име Евдокия.

[47] Това е Яков Светослав, български деспот, по произход русин. За него вж. подробно у Златарски, История, III, с. 498 сл.

[48] Хемус, тук Ст. планина. Вж. Catherine Asdracha, Le terme „Haemos“ chez Pachymère, Studia balcanica, 10, с. 140.

7. Constantinus Tichus in fines imperii Romani irruere minatur

III, 7 . . . ἀλλ᾽ ἀναγκαῖον εἶναι πάντως εὐφυλακτότερον καὶ πρὸς τοὺς ἐχθροὺς ἔχειν ἐπὶ τῆς πόλεως ὄντας, ἧς πολὺς μὲν ὁ ζῆλος ἀναγκαῖος δ᾽ ὁ κίνδυνος, οὐκ ὀλίγων ἐπεισφρεῖν ἐχόντων, καὶ ταῦτ᾽ Ἰταλῶν τῶν ἐχόντων πρότερον, παρακεκνισμένων καὶ ἄλλως εἰς μῆνιν, ὅτι ἔχοντες ἀφῃρέθησαν. καὶ νῦν παρακινηθέντας στόλον ἀκούεσθαι φοβερὸν ἐξαρτύεσθαι, αὐτοὺς δ᾽ ἀντωπεῖν ὁρμαῖς τοιαύταις μὴ ἔχειν· οὔτε γὰρ ναυσὶ τοσαύταις εἶναι πρὸς ἐκείνους ἀντέχειν, οὔτε μὴν οἵους τ᾽ εἶναι στρατεύμασι πολεμεῖν κατὰ γῆν. τοὺς δὲ Βουλγάρους καὶ αὐτοὺς ἑτέρωθεν ἀπειλεῖν εἰσβάλλειν διὰ Θρᾴκης, καὶ μᾶλλον τῆς τῷ τῶν Βουλγάρων ἄρχοντι Κωνσταντίνῳ συνοικούσης Εἰρήνης μὴ ἠρεμεῖν ἐώσης τὸν σύζυγον τῇ πρὸς τὸν βασιλεύοντα ἀπεχθείᾳ.

(I, pp. 182_9—183_2)

7. Константин Тих заплашва да нахлуе в ромейските земи

III, 7. . . Но беше необходимо да се пази[49] и от враговете на града, чиято омраза беше голяма и опасността [от тях] реална, понеже мнозина бяха готови да се опълчат и най-вече италийците, които и без това бяха разгневени, понеже бяха загубили това[50], което имаха. Чуваше се, че те сега залягали да приготвят страшен флот. А ромеите не можеха да се противопоставят на такива нападения, защото не бяха в състояние да изкарат толкова много кораби срещу тях, нито да воюват по суша. От друга страна, и българите заплашваха да нахлуят през Тракия и най-вече понеже Ирина[51], съпругата на българския владетел Константин, не оставяше на мира съпруга си от омраза срещу императора[52].

8. Michael Palaeologus occiduas provincias fratribus suis commendat

III, 16. Τότε τοίνυν τοῖς ἀδελφοῖς ἐγχειρίσας τὰ δυσικά, τῷ μὲν δεσπότῃ Ἰωάννῃ τὰς ἀνατολικὰς παραδοὺς δυνάμεις συνάμα τῷ Σκυθικῷ τὰ κατὰ γῆν προσέταττε μετιέναι, καὶ τὰ τῶν Ἰλλυριῶν μεθέπειν καὶ Τριβαλλῶν, καὶ τὰ τοῦ Πηνειοῦ πέραν, τὴν ἰδίως Ἑλλάδα λεγομένην, κατατρέχειν, τῷ δεσπότῃ Μιχαὴλ πολεμοῦντα· οὐδὲ γὰρ ἦν αὐτῷ προφασίζεσθαι ὅτι ἔξω που τῆς πατρίδος ὄντος τοῦ βασιλέως δικαιοῖτ᾽ ἂν κἀκεῖνος τὰ μέρη κατέχειν. τὸν δέ γε σεβαστοκράτορα Κωνσταντῖνον ναυσὶν ἐμβιβάσας ἐπὶ Μονεμβασίας ἐκπέμπει, παραδοὺς κἀκείνῳ ὅσον ἦν ἐκ Μαγεδῶνος Ῥωμαίων, καὶ τὸ Περσικὸν ἅπαν·

(I, p. 205_{7-6})

8. Михаил Палеолог поверява западните области на братята си

III, 16. Тогава той повери на братята си западните области. На деспот Йоан[53] даде източните войски със скитската и после му заповяда да нападне местата по суша, да отиде до земите на илирийците и трибалите и да нахлуе, воювайки с деспот Михаил[54], в земята отвъд Пеней, наречена същинска Гърция. Деспот [Михаил] не можеше да се оправдава [вече], че законно владее земите, понеже императорът се намирал извън отечеството. А севастократора Константин[55] той натовари на кораби и го изпрати срещу Монемвазия[56], като даде и нему всичката ромейска войска от Македония[57] и цялата персийска[58].

9. Michael Palaeologus Bulgaros quiescere non patitur

III, 18 . . . πρὸς δέ γε τοὺς Βουλγάρους, οὐδ᾽ ἐκείνους ἠρεμεῖν εἴα ἀλλ᾽ ἐκ τοῦ σύνεγγυς παρεκίνει. ἦν γὰρ καὶ ἄλλως προφανὲς τὸ πρὸς ἐκεῖνον ἔχθος τοῦ Κωνσταντίνου, ἐξοτρυνομένου παρὰ τῆς γυναικὸς Εἰρήνης τοῦ παιδὸς χάριν Ἰωάννου ἀδελφοῦ γε ὄντος, καὶ ὧν ἐξ ὑπογύου οὐκ ἐνδίκως, ὦ δίκη, πέπονθεν. ἀνάγκη δ᾽ ἦν ἔχθος ἔχοντα παρ᾽ ἐκείνων τὸν βασιλέα καὶ αὐτὸν ἐχθραίνειν καὶ ἀντιξέειν τὸν

9. Михаил Палеолог не оставя българите на мира

III, 18. . . Що се отнася до българите, императорът не ги оставяше и тях на мира, а ги дразнеше отблизо. Омразата на Константин[59] срещу императора беше и без това очевидна, тъй като беше подстрекаван от съпругата си Ирина заради брата ѝ, момчето Йоан, който, о правосъдие, несправедливо пострада от техните[60] подмолни действия. Естествено беше и сам императорът да ги мрази, понеже беше мразен от тях, и да отговаря ξίοντα. μέχρις οὖν Ὀρεστιάδος ὁριζομένης τῆς Ῥωμαΐδος καὶ μόλις πρότερον, ὡς τῶν ἐκεῖθεν ὑπὸ Βουλγάροις ὄντων, πέμπων αὐτὸς συχνὰς ἀποστολὰς στρατευμάτων, αὐτὸς ἐντεῦθεν διαταττόμενος, τὸ θαυμάσιον (καὶ γὰρ ἃ μὲν ξυνέβη ἰδεῖν, τούτοις γινώσκων τοὺς πεμπομένους ἐπέταττε, καὶ ὅπου προσκαθίσαιντ' ἂν καὶ ὅπως ξυμβαλοῖεν καὶ ὅθεν ὁρμήσαιντ' ἄν, ἢ ἐκ λόχων ἢ φανεροί, ἡμέρας ἢ καὶ νυκτός, τάττων ἐντεῦθεν τὰ πάντα· εἰ δ' οὐκ εἶδε τὸν τόπον, κελεύων διαγράφειν τοὺς εἰδότας αὐτὸς καθίστα προστάττων, καὶ ἦν ἐπηρτημένη κρίσις τῷ παρακούσαντι), αὐτὸς τοίνυν πέμπων τὰς δυνάμεις τῷ τότε συχνὰ τῶν ἐκεῖ ὑφ' αὑτῷ ἐποίει, καὶ ἡλίσκετο μὲν Φιλιππούπολις, ἐκρατεῖτο δὲ Σθενίμαχον φρούριον, καὶ ἅπας ὁ ἔξω τοῦ Αἵμου ζυγὸς συγκατείχετο. ἑάλω δὲ τοῦ Μυλτζῆ διδόντος, ὡς λεχθήσεται, καὶ Μεσέμβρεια μεγάλη πόλις, καὶ Ἀγχίαλος συνηλίσκετο. καί γε τὰ πέριξ ἐκείνων, ἅπαξ γευσάμενα τῆς μεταβολῆς, ἠγάπων ὑπὸ βασιλεῖ διοικούμενα. Κωνσταντίνῳ δὲ διὰ ταῦτα ἔκπληξις ἐμπίπτει, καὶ ἀμύνεσθαι μὲν οὐκ εἶχε τὸ τηνικάδε, ὅμως δ' ἐνεκότει τοῖς πεπραγμένοις καὶ καιρὸν ἐζήτει, ὃν δὴ καὶ τῶν πραγμάτων ψυχὴν λέγουσιν, ἀξίως ἀμυνεῖσθαι.

---

[49] Става дума за Михаил VIII Палеолог, който е вече в Цариград след отнемането му от латинците в 1261 г. [50] Сиреч Цариград. [51] Ирина, дъщеря на Теодор II Ласкарис и сестра на ослепения Йоан IV. [52] Защото бил наредил да бъде ослепен брат ѝ. [53] Йоан, деспот, един от братята на Михаил VIII Палеолог. [54] Михаил II, епирски деспот. [55] Константин, брат на Михаил VIII Палеолог. [56] Монемвасия, град в Пелопонес. [57] Македония са наричали Одринска Тракия. [58] Сиреч турската. [59] Константин Тих (Константин Асен). [60] Сиреч на Михаил VIII Палеолог и на неговите близки.

(I, pp. 210_1—211_6)

на удара с удар. Когато ромейската империя се простираше до Орестиада и едва ли понататък, понеже земите оттатък бяха под властта на българите, императорът изпращаше там често военни експедиции, като за учудване сам се разпореждаше оттук. В местата, които случайно бе видял, той умело оттук инструктираше изпращаните [войски] — и къде да се разположат на лагер, и как да нападнат, и откъде да връхлетят — от засада или открито, денем или нощем. И нареждаше всичко оттук. Ако пък не знаеше мястото, той заповядваше на тия, които го познават, да го начертаят и започваше да дава нареждания. И със съд заплашваше неподчинилия се. И тъй той пращаше там войските и си подчиняваше много от тамошните места — превзет беше Филипопол, завладяна бе крепостта Станимака и бе завзета цялата планинска верига на юг от Хемус[61]. Бе превзет, предаден от Мицо[62], както ще бъде казано, големият град Месемврия, а заедно с него и Анхиало, и околните им земи, които, почувствували веднъж промяната, с удоволствие се подчиняваха на императора. Константин бе потресен от това. Не можеше да се защищава тогава, но все пак се сърдеше за станалото и търсеше удобен случай, който се смята за решаващ фактор при събитията, за да си отмъсти достойно.

10. Ioannes despotes copias suas circa Bardarium flumen hiemare disponit

III, 20. Τότε τοίνυν καὶ πάλιν ἀπεπειρᾶτο τῶν δυτικῶν. οὐδὲ γὰρ ἦν, οὐκ ἦν ἐπὶ ταὐτοῦ μένειν ἐκείνους, καὶ διὰ τοῦτο οὐκ ἦν ἠρεμεῖν καὶ τὸν δεσπότην Ἰωάννην οὐδὲ πρὸς ὀλίγον, ἅμα μὲν καθέδρᾳ ἅμα δὲ καὶ ὁρμητηρίῳ Θεσσαλονίκῃ χρώμενον. ἔνθεν τοι καὶ αὖθις, καίτοι τῶν κατ' ἀνατολὴν πονούντων, ἅμα δυνάμεσι πλείσταις τὸν δεσπότην ἐκπέμπει. καὶ δὴ τὴν ταχίστην ἐπιβὰς ἐκεῖνος Θεσσαλονίκης συνέταττέ τε τὰς δυνάμεις καὶ πόλεμον ἐξάγειν κατὰ Μιχαὴλ εὐτρεπίζετο. καὶ μηδὲ τελέως ἀκουσθεὶς ἐπιστὰς ἅμ' ἠκούετο καὶ ἅμα ταῖς χώραις προσέβαλλε, λείαν τε πλείστην περιβαλόμενος ὑποστρέφει. καὶ ὁ μὲν τὰς δυνάμεις κατεῖχε διαχειμεριούσας περὶ τὸν Βαρδάριον, ὡς ἅμα ἦρι προσβαλῶν αὖθις·

(I, 214_8—215_1)

10. Войските на деспот Йоан презимуват около Вардар

III, 20. Тогава[63] той[64] отново се опита да завладее западните земи. И наистина те не можеха, не беше възможно да останат при сегашното положение. И затова и деспот Йоан[65] не можеше нито за миг да бъде бездеен, а трябваше да използува Солун като седалище и като изходна база за нападение. Императорът отново изпраща деспота с много големи сили, макар положението на Изток да беше тежко. Йоан потегли по найбърз начин и като събра войските си в Солун, готвеше се да воюва с Михаил[66]. И още не бяха чули, че е дошъл, а едновременно със слуха си за него той [вече] нападаше земите и се връщаше натоварен с много плячка. И Йоан остави войските си да презимуват около Вардар, за да може да нападне отново с настъпването на пролетта.

---

[61] „На юг от Хемус" (ἔξω τοῦ Αἵμου). Тук ἔξω значи „на юг от". Вж. Catherine Asdracha, пос. съч., с. 138—139. Според Златарски (История, III, с. 505—506) това е Сърнена гора. [62] Мицо, зет на Ив. Асен II, женен за дъщеря му Мария. Вж. тук откъс 17. Вж. също Златарски, История, III, с. 472—473. [63] През есента на 1263 г. Вж. Златарски, История, III, с. 506, бел. 3. [64] Михаил VIII Палеолог. [65] Вж. тук бел. 53. [66] Михаил II, епирски деспот.

11. Constantinus Tichus una cum Tocharis in fines imperii Romani irruit

III, 25. Ἀναληπτέον καὶ τὸ τοῦ σουλτὰν Ἀζατίνου, ὃς μοῖρά τις γέγονε δυστυχὴς Μακεδόσιν, εἴπω δὲ καὶ Θρᾳξί, καὶ τὸ τοῦ κομήτου προάγγελμα εἰς ἔκβασιν ἔθετο προφανῆ. ἐκεῖνος γὰρ ἐπὶ πλεῖστον τῇ Κωνσταντίνου προστετηκώς, καὶ ὁσημέραι προσδοκῶν ἐπανήξειν μεθ᾽ ὅτι πλείστης ἰσχύος, ἐπεὶ τὸ ἐν ἐλπίσιν ἀπέγνωστο (ᾔδει γὰρ ἄλλα τὸν βασιλέα πραγματευόμενον, καὶ τὸ κῆδος ἔπειθε τὸ πρὸς τὸν Ἀπαγᾶν ὡς οὐκέθ᾽ ὑποστρέψειεν), εὑρὼν τῷ τότε καιρὸν ὃν ἡ τοῦ βασιλέως ἀπουσία δέοντά οἱ παρεῖχεν, διαμηνύεται τῶν τινὶ συγγενῶν, ἐπιδόξῳ γε ὄντι κατὰ τὰ πρὸς ἄρκτον μέρη τοῦ Εὐξείνου πόντου, δυσωπῶν ἐπαμῦναί οἱ ἀσιδήρῳ πεφυλαγμένῳ παρὰ φίλῳ τῷ βασιλεῖ, οὐδὲν ἐχθροῦ διαφέροντι. εἶναι γὰρ ἐκείνῳ, εἰ βούλοιτο βοηθεῖν, συνελθεῖν Κωνσταντίνῳ καὶ σπεύδοντα παρατρῦναι πρὸς τὴν τοῦ βασιλέως ἐπίθεσιν. καὶ αὐτὸν δὲ οἰκονομεῖν παρ᾽ ἐκεῖνον ἰέναι, καὶ οὕτως ἐκείνῳ συνόντα ῥᾷον καθ᾽ ὁδὸν ἐκπεσεῖν εἰς χεῖρας ἐκείνοις, εἰ μόνον Τοχάροις συνεξίοι ἅμα Κωνσταντίνῳ μετὰ Βουλγάρων. καὶ εἰ μὲν ἁλῷ καὶ αὐτὸς βασιλεύς, εὖ εἶναι τοῖς ἐπιθησομένοις· εἰ δ᾽ οὖν, ἀλλὰ λείαν περιβαλομένους πλείστην ὅσην, ἔτι δὲ καὶ τῶν τοῦ βασιλέως πολλὰ λαβόντας ἐπαναζευγνύειν, τὸ κρεῖττον τῆς λείας καὶ αὐτὸν διαφερόντως ἀγομένους. μεμνῆσθαί τε συγγενείας προτέρας καὶ δόξης. καὶ εἰ μὴ δι᾽ ἄμφω καὶ ὡς συγγενῆ σπεύδειν καὶ ὡς ἐλπίζοντα μεταλαμβάνειν πάλιν τὰ μείζω θαρρεῖν, ἀλλ᾽ οὖν δι᾽ ἓν τούτων ἄξιον συμπράττειν οἴεσθαι, ἢ ὡς συγγενεῖ βοηθοῦντα ἢ ὡς εἰδότα κατελεοῦντα. ταῦτα δηλώσας τῷ θείῳ δι᾽ ἀπορρήτων, τὰ πιστὰ λαβὼν ἐκεῖθεν διὰ γραμμάτων προσεποιεῖτο ἐφετὴν εἶναί οἱ τὴν βασιλέως θέαν, καὶ γράμμασιν ἐδήλου τῷ βασιλεῖ, καὶ ἱκέτευεν ἐφεῖναι παρ᾽ ἐκεῖνον γενέσθαι· οὐδὲ γὰρ ἀνεκτά οἱ εἶναι ἐπὶ τοσοῦτον ἐστερῆσθαι τῆς βασιλικῆς ὕψεως. εἰ γοῦν προστάσσοι· εἰ δ᾽ οὖν, ἀλλ᾽

11. Константин Тих заедно с татарите напада ромейската земя

III, 25. Трябва да разкажем и случая със султан Азатин[67], който бе станал ужасна напаст за македонците[68], а и за тракийците. И предвещанието на кометата явно се сбъдна. Той се бе задържал много дълго време в Константинопол и постоянно се надяваше, че ще се завърне [в отечеството си] с много голяма войска. Азатин се бе отчаял [вече] в надеждите си, понеже виждаше, че императорът се занимава с други неща, а родството [на императора] с Апага[69] го убеждаваше, че вече не ще може да се завърне. Той намери тогава удобен случай в отсъствието на императора и се свърза с един сродник[70], който беше твърде влиятелен по северните области на Евксинския понт.[71] Помолва го боязливо да помогне нему, когото императорът, приятел, който по нищо не се отличавал от врага, държал безоръжен. Той трябвало, ако желаел да му помогне, да се срещне с Константин[72] и бързо да го подтикне да нападне страната на императора. А и сам той щял да отиде да се навърта около императора и така, бидейки при него по пътя, по-лесно щял да им се предаде в ръцете, стига само той да бъде с тохарците[73] и с Константин и българите. И за тези, които щели да нападнат, било изгодно, ако бъде пленен и самият император. Ако ли не, щели да си отидат, като завладеят извънредно голяма плячка и вземат много от императорските вещи. Самият той щял да вземе най-доброто от плячката за разлика от другите. Нека си спомнел родството и предишната слава. И ако поради тези две причини не бърза като роднина и няма вяра да вземе участие и да се реши отново на по-големи дела, то поради една от тях смятал, че заслужава да му се съдейства — или като му помогне като на роднина, или като го съжали, знаейки положението. Това съобщил той тайно на чичо си и чрез писма получил уверения. Той се преструваше, че страшно тъгува да види императора, и с писмо заявяваше това на императора и го молеше да му позволи да отиде при него. Непоносимо му било толкова дълго време да не види царското лице. Ако само му позволи! Ако ли не, той щял да дойде и αὐτὸν ἥξειν καὶ οὕτως, ἐπεὶ πόθος ἐπείγει καὶ τυραννεῖ. ταῦτα μαθὼν ὁ βασιλεὺς (καὶ ποῦ γὰρ τὸν δόλον εἶχεν ὑπονοεῖν;) διὰ γραμμάτων ἐφίησιν ἀφικέσθαι παρ' ἐκεῖνον· ἰδεῖν γὰρ καὶ δυσικοὺς τόπους ἐγγενέσθαι οἱ, οὓς οὐκ ἦν ὁρᾶν κατ' ἀνατολὰς διάγοντα. ὁ μὲν οὖν σουλτὰν ἐκχωρηθεὶς τὴν ἔξοδον ἐπετάχυνε, καὶ πλῆθος χρημάτων ἀφείς, ἔτι δὲ καὶ γυναῖκας καὶ τέκνα καὶ ἀδελφὴν καὶ μητέρα, τὸ μὲν ἐπιλύων τὴν ὑποψίαν, τὸ δὲ καὶ τὰ ἐμποδὼν ὑποτεμεῖν ἄριστον γνούς, ἔξεισι σὺν τοῖς οἰκείοις τῆς πόλεως, καὶ καταλαβεῖν τὸν βασιλέα ἠπείγετο. ὁ δέ γε ῥηθεὶς θεῖος ἐκείνου παρὰ τὸν βασιλέα Βουλγάρων Κωνσταντῖνον γεγονώς, ἢ μᾶλλον τὴν ἐκείνου σύζυγον, τὰς κατὰ βασιλέως ὑποθήκας προτείνων καὶ πάλαι παρακεκινημένους ἔπειθε. καὶ δὴ πέμψας μετακαλεῖται πλῆθος Τοχάρων ὡς κερδανοῦντας αὐτίκα, εἰ ἐπεξίοιεν ἅμ' αὐτῷ καὶ Βουλγάροις. οἱ δὲ καὶ ἄλλως πλῆθος ὄντες αὐτόνομον ἔτι (οὔπω γὰρ τελέως τῷ Νογᾷ καθ' ὑπηκόους ὑποτετάχατο· ὁ γὰρ Νογᾶς τότε πρώτως ἀποστατεῖν τῶν δεσποτῶν ἤρχετο καὶ φίλος ἦν κατ' αὐτοὺς ἐν ἴσῳ διάγων, ὅτι καὶ μετ' αὐτῶν ἀποσταλεὶς παρ' ἐκείνων οὐ τῷ Κάνῃ, ὡς αὐτοὶ φαῖεν, τὰς χώρας ἐκτᾶτο, ἀλλ' ἀρετώσας ἰδὼν ἑαυτῷ σὺν ἐκείνοις ἐσφετερίζετο) ἅμ' ἀκούοντες τότε ἔσπευδον, δίκην κυνῶν ἀγαθὰς χώρας κατατρωξείοντες. ἔτι δὲ καὶ τὸ κῆδος τὸ πρὸς Νογᾶν οὔπω ἦν συνεστός, ὅπερ μετὰ ταῦτα ἐπὶ νόθῳ θυγατρὶ τῇ Εὐφροσύνῃ ὁ κρατῶν πρὸς ἐκεῖνον ἔμελλε συνιστᾶν. ταῦτ' ἄρα καὶ ἅμα μὲν ὁ βασιλεὺς πρὸς τὴν πόλιν τὰ κατὰ δύσιν περιελθὼν ἐνέτεινε τὰς ὁδούς, ἅμα δ' ἐκεῖνοι ἐξαίφνης καταδραμόντες σὺν Κωνσταντίνῳ τὰς δυσχωρίας τοῦ Αἵμου διεκπαίοντες παμπληθεὶ φανερῶς ἐστρατοπεδεύοντο. οὐκ ἦν δὲ τούτοις ἡ σύνταξις μία καὶ ἐφ' ἑνὶ τόπῳ κυροῦσα, ἀλλ' ἀγεληδὸν κατ' οὐλαμοὺς ἐσκεδάννυντο, καὶ κατὰ λόχους ἅμα τοῖς ἄλλοις προσέβαλλον, καὶ δεινὰ ἐποίουν σκυλεύοντες σφάττοντες ἀπαγόμενοι, οὐδὲν ὅ τι μὴ πράττοντες τῶν κακῶν. ὁ μέντοι γε βασιλεὺς τὰ κατ' αὐτοὺς ὡς εἰκὸς ἀκούσας (οὐδὲ γὰρ λάθρα καὶ πεφυλαγμένως τὰς εἰσβολὰς ἐποιοῦντο, ἀλλὰ δίκην πυρὸς ἀγρίου διὰ ταχέων τὸν χῶρον ἅπαντα διελάμβανον), τὰς φρένας κατασεισθεὶς ἀθρόον ἐπεισπεσοίσης τῆς φήμης, ἐν ἀμηχανίᾳ παντοίᾳ τοῦ ποῖ

---

[67] Азатин (Изеддин II Кайкаус), бивш селджукски султан, който от страх пред нахлулите татари избягал при византийския император.

[68] Македонците, сиреч жителите на Одринска Тракия, която се наричала Македония.

[69] Апага, татарски владетел, оженен за извънбрачната дъщеря на Михаил VIII Палеолог.

[70] Това бил чичо му Саръ Салтък, главатар на преселените със съгласието на Михаил VIII Палеолог в Добруджа 10 000 тюркски семейства от Изедин в 1263 г. Вж. Златарски, История, III. с. 500.

[71] Евксински понт, т.е. Черно море.

[72] Константин Тих (Константин Асен).

[73] Тохарците били едно от татарските племена, управляващи се самовластно. Но с името „тохарци“ са означавани общо и монголците. Вж. Moravcsik, Byzantinoturcica, II, с. 329.

така, защото се мъчел и терзаел от силното си желание. Императорът узна това и (как би могъл да подозира измамата) с писмо му позволи да дойде при него. [Така] султанът можел да види и западните области, които той, живеейки в източните, не е имал възможност да види. И тъй, като получи разрешение, султанът ускори тръгването си. Той изостави голямо количество богатства, освен това и жена си, и децата си, сестра си и майка си, от една страна, за да отклони подозрението, а, от друга, понеже знаеше, че е най-добре да се освободи от [всякакви] пречки. Излязъл извън града със слугите си, той бързаше да срещне императора. А споменатият негов чичо отишъл при царя на българите Константин или по-скоро при съпругата му, открил [им] замислите си против императора и тъй като те[74] отдавна били настроени [така], убедил ги [лесно]. Той проводил да повикат множество тохарци с обещание, че ще се обогатят веднага, ако потеглят заедно с него и българите. Те бяха и без това едно множество все още независимо, защото не бяха подчинени напълно на Ногай[75]. Ногай тогава за пръв път започна да се освобождава от деспотите и се държеше с тях като приятел и равен, защото изпратен заедно с тях, с тяхна помощ завладяваше земите не за хана, както го наричат сами, но като ги виждаше, че са богати, присвояваше си ги за себе си и за тях. Щом като чуха [за повикването], те веднага побързаха и като кучета разкъсваха хубавите земи. Сродяването с Ногай не беше още станало. Владетелят щеше да го направи след това с незаконната си дъщеря Евфросина. Когато императорът беше вече обиколил западните области и се връщаше в столицата, в същото време и те внезапно нападнаха заедно с Константин и като се промъкнаха с цялото множество през теснините на Хемус[76], открито се разположиха на лагер. Техният строй не беше единен и на едно място, но стадно се пръскаха на тълпи и заедно с другите се хвърляха в засади. Те извършваха ужасни неща — грабеха, убиваха, отвличаха и нямаше злодеяние, което да не направят. Разбира се, императорът, както е редно, чу за техните дела (те не вършеха нападенията си тайно и предпазливо, но като буен огън обхващаха бързо цялата страна). С внезапното пристигане на слуха императорът се смути и беше в пълно отчаяние къде да се насочи. Той не беше τράποιτο ἦν. οὔτε γὰρ ἦν μάχεσθαι συνταξάμενον· αἱ γὰρ δυνάμεις προδιελύθησαν εἰς τὰ ἴδια, καὶ μετ' ὀλίγων ἐκεῖνος καὶ τῶν τῆς αὐλαίας αὐτοῦ ἐπανεζεύγνυ, καὶ ἄλλως δὲ ἀμάχητα πρὸς Ῥωμαίους τὰ τῶν Τοχάρων. οὔτε μὴν φεύγειν εὐώδει· κύκλῳ γὰρ διειληφότες καὶ περισχόντες τὰ ὀχυρώματα σὺν οὐδενὶ φόβῳ διέθεον πανταχοῦ, οὓς μὲν σφάττοντες παμπληθεί, οὓς δὲ ἀπάγοντες ἐλεεινὰ τοῖς βαρβάροις σκῦλα, ὡς μηδὲν εἶναι ὅπου προσβάς τις ἤθελε σώζεσθαι ἐπιεικῶς ἐλεύθερον. καὶ δὴ κύκλῳ περιστάντες ὅσον οὔπω προσμίξειν τῷ κρατοῦντι. οὐδὲ γὰρ ὅσον καὶ ἡμισείας ἡμέρας ἱππηλατοῦντι διάστημα ἦν τῆς ὁδοῦ, ἐφ' ὅσον παρ' ἑκάτερα οἱ πολέμιοι διηγγέλλοντο τὰ δεινὰ πράττειν, ὡς ἐκείνους ἑσπέρας κατασκηνεῖν ὅθεν πρωΐας ἐξώρμα ὁ βασιλεύς, καὶ ἄλλους ἐκεῖθεν ἐξορμᾶν τήμερον ὅπου χθὲς ἐκεῖνος κατέμεινε. τόση τις ἦν σύγχυσις τῶν ἐπιόντων ὡς μηδ' αὐτοὺς κατὰ φάλαγγας μένειν, ἀλλὰ πανταχοῦ ἐκθέειν λημμάτων ἐλπίδι ὑπὲρ δέος τοῦ παθεῖν ἅπαν. ἦν δ' ἀνὰ μέρος καὶ ὁ Κωνσταντῖνος ἐφ' ἁμάξης φερόμενος (τὸ γὰρ σκέλος κατεαγὼς ποτε οὐκ εἶχε κατὰ τρόπον τοῖς ποσὶν εἰς ὁδὸν τότε χρᾶσθαι οὔτε πεζῇ, οὐχ ἧττον δὲ καὶ μεθ' ἵππων), τοὺς Βουλγάρους ἀμφ' αὐτὸν ἔχων, καὶ αἰὲν βασιλεῖ ὅπῃ σκηνοίη ἐπέχων ὡς καταληψόμενος μονωθέντα. οἱ γὰρ περὶ τὸν βασιλέα πάντες, ὅσον ἦν θεραπευτικὸν καὶ οἰκίδιον, ἀμφ' αὐτοῖς ἕκαστος δείσαντες, ἄλλος ἀλλοσέ πῃ ὁρμῇ πάσῃ φεύγοντες παρεδύοντο, ἀφέντες καὶ βασιλέα περὶ ἑαυτοῦ φροντίζειν ὅπως σωθείη. σπουδὴν γὰρ ἕκαστος ἐποιεῖτο τοῦ μόνον σωθῆναι, καὶ ἀμελεῖν παρεσκεύαζον τοῦ πλησίον οὓς μὲν οἱ προμηθεῖς φόβοι οὓς δὲ καὶ δειλίαι ἄκαιροι, τοὺς μὲν ὡς ἐξ ἀνάγκης, εἰ μὴ σπουδάσαιεν, ἁλώσεσθαι προσδοκῶντας, τοὺς δὲ μηδ' εἰδότας οἷ κακοῦ γεγόνασι, τῷ βλέπειν ἄλλους εἰς ἔννοιαν ἐρχομένους καὶ διὰ ταῦτ' ἀποχωροῦντας ὅπῃ τις ἤλπιζε σωθήσεσθαι. οὐ γὰρ ἦν συνησπικότας κατὰ συντάξεις ἐπιόντας δέχεσθαι τοὺς ἐχθρούς· ὁ γὰρ ἄγων ἐκείνους καὶ αὐτὸς συντετάρακτό τε τῷ αἰφνιδίῳ, καὶ ὅπῃ φύγοι ἐσκέπτετο. ὀλίγους γοῦν περὶ αὐτὸν ἔχων, καὶ μάλιστα τοὺς οἰκειοτάτους καὶ οἷς ἐπίστευε πλέον, σὺν ἐκείνοις ἅμα μὲν τὰς ὑποχωρήσεις τῶν φοβερῶν ἐποιεῖτο καὶ ἅμ' ἑτέροις φοβεροῖς προσέκρουεν, ὡς τοὺς μὲν ἀποδιδράσκειν τοῖς δ' ἐμπίπτειν, καὶ τῶν προτέρων μὴ φθάνειν ἀνεῖσθαι φόβων καὶ δευτέρους ἐκδέχεσθαι μείζους. καὶ γὰρ καὶ αὐτὰ τὰ τῶν ὀρῶν ἀναστήματα φαντασίαν παρεῖχον πολεμίων, ἐπεισπεσούσης δειλίας ἀφάτου. ὅμως δὲ καὶ ἄλλως ἠγγέλλετο τὸ δεινόν· οὐ γὰρ ἦν ὅστις καὶ προσιὼν ἢ καὶ φανεὶς

---

[74] Сиреч българският цар и царица. [75] Ногай, татарски хан, който се отцепил от Златната орда и се обявил за самостоятелен. [76] Хемус, тук Стара планина. Нападението станало според Златарски (История, III, с. 514) през пролетта на 1265 г. Вж. и Petri Possini Observationes Pachymerianae, Pachymeres, с. 754. Според Острогорски (История, Москва, 1963, с. 379—380) годината е 1264.

приготвен да се бие. Войските му бяха разпуснати по домовете и той се връщаше с малцина от дворцовите си хора. А и иначе тохарците за ромеите са непобедими. И нямаше възможност да бяга. Те бяха изолирали и обкръжили укрепените места и без страх се ширеха навсякъде. Едни те избиваха до крак, други отвеждаха като жалка плячка за варварите, така че нямаше място, където човек да се прислони и да спаси свободата си. И наистина те бяха обкръжили императора и почти щяха да се сблъскат с него. Помежду им нямаше и половин ден път, ако се съди по времето, за което един конник можеше да съобщи за ужасите. Така че едни се разполагаха привечер на лагер там, откъдето сутринта се беше вдигнал императорът, или пък други тръгваха днес от там, където вчера станувате той. Такова беше безредието у настъпващите, че те не вървяха на фаланги, а правеха набези навсякъде с надежда за плячка и надеждата им беше по-голяма от всеки страх, че ще пострадат. Отделно на колесница се возеше и Константин, заобиколен от българите. Той си беше счупил някога крака и не можеше да си служи нормално с краката при пътуването пеш, а още по-малко с кон. Той винаги следеше къде станува императорът, за да го залови, когато остане сам. Защото всички около него, колкото имаше служители или близки, уплашени, всеки за себе си, с най-голяма бързина се измъкнаха в различни посоки, оставяйки го да се грижи за своето спасение. Всеки се стараеше само да се спаси. Като изоставяха близкия си, едни се ръководеха от благоразумен страх, други от неуместен страх, някои по неволя, защото смятаха, че ще бъдат пленени, ако не побързат, а други, без да знаят в каква беда са попаднали, като гледаха околните, взимаха решение и се оттегляха [в посока], където всеки смяташе, че ще се спаси. Те не можеха да посрещнат нападащите врагове наредени в бойни редици, защото предвождащият ги сам бе изплашен от изненадата и гледаше къде да избяга. [Императорът] с малцина хора около себе си, и то най-близките и подоверените, се мъчеше да се измъкне от ужасните положения и същевременно изпадаше в други, така че от едни избягваше, а се натъкваше на други и още не успял да се освободи от предишния страх, обземаше го още по-голям. Понеже го обхващаше неописуем страх, дори и самите планински възвишения му изглеждаха врагове. Все пак и без това му се съобщаваше за ужасното положение· Защото нямаше човек, който се приближаваше или явяваше, да не съобщаваше с гоἐξ ἑτοίμου οὐ φόβον ἤγγελλε. κἂν που καὶ παρεσκευάζετο συγκατιέναι πρὸς τοὺς ἐχθροὺς ἐπὶ τῷ μαθεῖν ὁπόσοι καὶ ὅπως ἴοιεν, οἱ περὶ ἐκεῖνον διὰ τὸ μέγεθος τοῦ κινδύνου κατεῖχον, ὡς ἐπὶ μόνον ὁρᾶν τὸ σώζεσθαι. μόλις γοῦν νυξὶ καὶ παροδίαις βοηθούμενος προσβαίνει τῷ Γάνῳ, ἀπολιπὼν τοὺς λοιποὺς ζητεῖν ὅπῃ σώζοιντο. τῶν γὰρ κατόπιν ἰόντων καὶ μάλ' ἀπεγίνωσκεν ὡς ἁλωσομένων. ἦσαν δ' οὗτοι οἳ δὴ τὸ βασιλικὸν ταμιεῖον διεκόμιζον, καὶ οἱ ἀμφὶ τὸν σουλτὰν Ἀζατίνην. ἐκεῖνος μὲν οὖν ὑποδὺς τὸ ὄρος, ταχυδρόμους πέμπων, ἔνθεν μὲν ἐσκέπτετο τοὺς ἐχθροὺς ἐπιόντας λανθάνων ἐκφεύγειν, ἔνθεν δὲ καὶ ταχυναυτοῦσαν τριήρη προσσχεῖν διὰ ταχέων τοῖς ὄρεσι παρεσκεύαζε. καὶ δὴ τοὺς μὲν ἐκ τόπου τόπον ἀμείβων συνετῶς ἐμφανεῖς ὄντας κατὰ τὸ λεληθὸς διεδίδρασκε· τὴν δὲ μαθὼν εὐτρεπισθεῖσαν παρεῖναι, συγκαταβὰς τοῖς λοιποῖς τοῦ ὄρους ἐπέβαινέ τε καὶ ἐς Κωνσταντινούπολιν διεσώζετο. οἱ δ' ἄλλοι διασκεδαννύμενοι πανταχοῦ τῆς Θρᾴκης οἱ μὲν ἡλίσκοντο, οἱ δὲ ἐκ τοῦ παρὰ δόξαν καὶ διεσώζοντο. οἱ μέντοι γε τῶν οἰκείων, οἷς τε τὸ κοινὸν ταμιεῖον ἐπετέτραπτο, σὺν τούτοις δὲ καὶ οἱ ἀμφὶ τὸν σουλτάν, τὰς τῶν ἐχθρῶν μόλις διαδράντες χεῖρας, τὸ τῆς Αἴνου φρούριον ὑπεισδύντες τῶν δεινῶν ἀναπνέουσιν. οὐ μὴν δὲ καὶ εἰς πολὺ σφίσιν ἦν ἡ τῶν πόνων ἄνεσις, ἀλλ' ἐκεῖνοι μαθόντες τὰ περὶ τὸν σουλτάν, καὶ ὅτι τῇ Αἴνῳ προσμένει, ἅμα δὲ καὶ περὶ τῶν ἄλλων, ἐκεῖσε πανδημεὶ συνάμα καὶ τῷ Κωνσταντίνῳ συναθροισθέντες τὴν πόλιν περιεκάθηντο καὶ δεινὰ ἐποίουν, δῆλοι ὄντες ὡς ἀνάστατον ποιήσοντες. ἠκροβολίζοντο γοῦν καθ' ἡμέραν περικυκλοῦντες τὸ φρούριον, καὶ ἠπείλουν τοῖς ἐντός, εἰ μὴ προδοῖεν, τὰ χείριστα. οἱ δὲ ὁρῶντες μὲν καὶ τὰ δεινὰ ἐν χρῷ σφίσιν ὄντα, καὶ ὡς οὐ φυκτὰ τὰ κατὰ σφᾶς, εἰ ἐπιβρίσειαν πλῆθος ὄντες οὐδ' ἐπὶ μικρὸν λογιζόμενοι, ὁρῶντες δὲ καὶ τὸ φρούριον ὡς κατερηριμμένον καὶ ἐνδῶσον αὐτίκα εἰ μηχανήμασι προσκρουσθῇ, ἐν δεινοῖς ἦσαν. πλὴν οὐδ' οἵ γε κατερραθύμουν μὴ καὶ προνοεῖν ἑαυτοῖς τὰ εἰς σωτηρίαν. ἐν μέρει δὲ καὶ οἱ περὶ τὸ κοινὸν ταμιεῖον ἐν ἐννοίαις μείζοσιν ἢ φέρειν ἦσαν, πῶς ἂν διασωθείη τόσος σωρὸς χρημάτων, ὅσος ἐν νομίσμασι καὶ ὅσος ἐν διαφόροις θεωρούμενος εἴδεσι. καί γε καὶ περὶ πλείονος τῆς σφῶν σωτηρίας ποιοῦντες, δεινὸν ἡγούμενοι καὶ πεσόντων ἐκείνων εἰ τόσων τὸ κοινὸν στεροῖτο, πρόνοιαν φυλακῆς ἐποίουν. καὶ δὴ λίθους μὲν ἐκείνους καὶ μαργάρους τῶν πέπλων

товност за нещо страшно. И ако някак императорът се готвеше да отиде към неприятелите, за да научи колко са и къде отиват, хората около него поради голямата опасност го възпираха, тъй като гледаха само как да се спасят. И тъй императорът, подпомогнат от нощта и странични пътеки, едва достигна до Ган[77], като изостави останалите да търсят как да се спасят. Той се отчая напълно за тези, които вървяха отзад, като за хора, които ще бъдат пленени. Това бяха онези, които носеха царската хазна, и хората около султан Азатин. Императорът прочее се скри в планината и изпрати бързоходци — от една страна, той гледаше тайно да избяга от нападащите неприятели, а, от друга, се стараеше бързо да докара до планините бързоходна триера. Местейки се хитро от едно място на друго, той скришом се изплъзваше от тях, когато се появяваха. Когато разбра, че [триерата] е готова, той слезе заедно с другите от планината, качи се в нея и се спаси в Константинопол. От останалите, които се бяха пръснали навсякъде из Тракия, едни бяха пленени, а други неочаквано се спасиха. А тези от близките, на които бе поверена държавната хазна, а заедно с тях и тези около султана едва се изплъзнаха от ръцете на враговете, скриха се в крепостта Енос[78] и така си отдъхнаха от ужасите. Почивката им обаче от мъките не беше за дълго. Неприятелите се научиха за случилото се със султана и че той заедно с другите се намира в Енос, събраха се там масово заедно с Константин, обсадиха града, като вършеха страхотии, и очевидно беше, че ще го разрушат. Заобиколили прочее крепостта, те всекидневно я обстрелваха и заплашваха жителите ѝ с най-страшното, ако не я предадат. А [обсадените] бяха в тежко положение, като виждаха, че мечът е опрян до гърдите им и че не могат да избягнат сполетялото ги, ако онези ги нападнат, тъй като бяха множество, което не могат дори приблизително да преброят. А освен това те виждаха, че и крепостта е разрушена и ще падне веднага, ако бъде ударена с машини. Но все пак те не преставаха да мислят за своето спасение. Особено хората около държавната хазна бяха много разтревожени как да бъде спасено такова количество богатство, което се състоеше в пари и в различни предмети, и наистина грижеха се много за своето спасение, защото смятаха, че ще бъде ужасно, ако те паднат и хазната се лиши от такова богатство. И затова се стараеха да го запазят. И те свалиха камъните и бисерите от наметките ἀπέσπων καὶ ἐν ἀφανεῖ κατέκρυπτον ἅμα καὶ τοῖς βασιλείοις φορέμασι, καὶ πᾶν εἴ τι λαμπρὸν καὶ τίμιον παραβυοῦντες ἐτήρουν, αὐτοὶ δὲ πρὸς τῷ πολεμεῖν ἦσαν σὺν τοῖς λοιποῖς, καὶ ἐφ᾽ ὅσον ἴσχυον παρεσκευάζοντο, ἔνδοθεν βάλλοντες τόξοις τε καὶ σφενδόναις. ἀλλ᾽ οὐκ ἤνυτον τὸ παράπαν· τῷ γὰρ πλήθει οἱ ἐχθροὶ περιῇσαν, καὶ κλίμακας εὐτρεπίσαντες ἐπιθεῖναι τοῖς τείχεσιν ἐπειρῶντο· παρώτρυνε γὰρ ἐκείνους πλέον καὶ ἡ τῶν χρημάτων εἰς χεῖρας ὅσον οὔπω γενησομένων ἐλπίς, καὶ ἐπέβριθον ὡς λαφύξοντες. ἀλλὰ ταῦτα μὲν τὸ πολὺ πλῆθος, οἷς οὐκ ἦν ἄλλο ἢ τὸ κερδαίνειν προὔργου παντός· οἱ δέ γε προεστῶτες καὶ οἷς ἦν ἡ σκέψις, τὸ μὲν κερδαίνειν τοὺς ἐκείνων καὶ ἔξωθεν ἐκ τῆς χώρας εἶχον ἕτοιμον ὂν καὶ πλέον ἢ τὴν σφῶν ἐμπιπλᾶν ἐπιθυμίαν, αὐτοὺς δ᾽ εἰ ἀστοχοῖεν τῶν ἐξ ἀρχῆς προκειμένων γέλωτα ὄφλειν ἐνόμιζον. ὅθεν καὶ πέμψαντες μετὰ τὴν παράστασιν τῶν δεινῶν καὶ τὸ δεῖξαι ὡς ἱκανοί εἰσι περιγενέσθαι καὶ πάντ᾽ ἔχειν, ἐφ᾽ ἑνὶ τῷ σουλτὰν τὸ πᾶν ἐτίθουν, καὶ ἀπῄτουν ἐκεῖνον ἅμα λαῷ τε καὶ χρήμασι, καὶ τοὐντεῦθεν καθυπισχνοῦντο σφίσι τὴν ἄδειαν. τοῖς δ᾽ ἀκούσασιν ἡ βουλὴ διάνδιχα ἦν· τοῖς μὲν γὰρ ἐδόκει διδόναι, ὡς κρεῖττον ὂν αὐτὸν ἑκουσίως ἐκδόντας τἄλλα περιποιεῖν ἢ μὴ θέλοντας πρὸς τῷ συναποβαλεῖν αὐτῷ τὰ πάντα καὶ αὐτοὺς κινδυνεύειν, οἱ δὲ τὸν ἐκ τοῦ βασιλέως ἀντετίθουν φόβον, καὶ ὡς ὑπομονητέον ἔλεγον· τάχα γὰρ κἀκεῖθεν προσαποστελεῖ δύναμιν (μηδὲ γὰρ ἀμελήσειν τόσων χρημάτων) καὶ προσβοηθήσει διὰ θαλάσσης καὶ ἡμῖν ἐπαμυνεῖ τὸν κίνδυνον. εἰ δ᾽ οὖν, ἀλλὰ τὴν τοῦ σουλτὰν κεφαλὴν ἀποτεμόντας ἔξω τοῦ τείχους τοῖς ἐχθροῖς ῥιπτεῖν, ὡς ἢ καραδοκήσασιν ἀποχωρεῖν, ἢ ὁρμηθέντων ἀμύνεσθαι ἡμᾶς ἀντέχειν ἕως θανάτου, καὶ ἢ θεοῦ που συνεργίᾳ περιγενέσθαι ἢ πίπτειν ὑπὲρ τῆς εἰς βασιλέα πίστεως. ταῦτα βουλευομένων ἐκράτει μὲν ἡ δευτέρα βουλή, καρτερεῖν καὶ ἔτι ἐκδεχομένους βοήθειαν, καὶ τοῖς μὲν ἔξω ἀναρτᾶν ἐλπίδας ὡς ἐκδωσείοντας, αὐτοὺς δὲ μένοντας εὖ τὰ κατὰ σφᾶς ὡς οἷόν τε τίθεσθαι, ὡς ἀνθεξομένους ἐφ᾽ ὅσον παρείκει καὶ μὴ βοηθείας φανείσης. εἰ δὲ κινδυνεύοιεν πλειόνων ἐπιβρισάντων τῶν χαλεπῶν, κεφαλὴν μὲν τοῦ σουλτὰν μήτ᾽ ἐκκόπτειν μήτε ῥιπτεῖν· παραβόλων γὰρ ἀνδρῶν καὶ θανατώντων τὸ τόλμημα εἶναι, τὸ δ᾽ ἐν σπονδαῖς ἀποδιδόναι τοῦ σώζεσθαι τὰ λοιπὰ εὐβούλου ἐγγὺς προνοίας. τούτοις συγκροτηθέντες τοῖς λόγοις πέμπουσι τὴν ταχίστην καὶ ὑπισχνοῦνται βου-

---

[77] Ган, планина, дн. Текирдаг. [78] Енос, крепост при устието на Марица.

и ги поставиха на скришно място заедно с царските украшения. Те скриха и пазеха всичко, което беше блестящо и ценно. А сами заедно с останалите участвуваха в сраженията, като се въоръжиха, доколкото можеха. Стреляха отвътре с лъкове и прашки. Но те не можаха да сполучат напълно, защото неприятелите масово обкръжаваха [крепостта] ни, приготвяха стълби и се опитваха да ги поставят върху стените. Подбуждаше ги и надеждата за парите, които почти щяха да паднат [вече] в ръцете им, и те налитаха стръвно. Но това правеше голямата част от тълпата, която мислеше само [как] да спечели всякакво богатство. А началниците и тия, които ръководеха, смятаха, че хората им са грабили достатъчно и предостатъчно и извън областта, за да задоволят алчността си. Но те мислеха, че ще станат за смях, ако се откажат от първоначалния план. Затова проводиха пратеници да им изложат ужасите [на които се излага градът] и да им покажат, че са достатъчно силни да надвият и да завладеят всичко, но че всичко [това] оставят само срещу [предаването] на султана — те изисквали [само] него с хората и парите му, а след това им обещавали неприкосновеност. Като чуха това, съветът се раздели на две. Едните решават да го предадат, защото било по-добре да го предадат доброволно и да запазят останалото, отколкото, ако откажат, да загубят заедно с него всичко и сами да се изложат на опасност. Другите изтъкваха страха пред императора и казваха, че трябва да се държат. Защото той бързо щял да им прати оттам войска — не щял да пренебрегне такова количество богатство — и „ще ни помогне по морето и ще ни избави от опасността“. Ако ли не [те предлагат] да отрежат главата на султана и да я хвърлят на враговете извън стените. Така те или ще се оттеглят, след като са чакали, или ако нападнат, „ние ще продължим да се защищаваме до смърт и или с божия помощ ще надвием, или ще паднем верни на императора“. В съвещанието надвива второто мнение — да упорствуват и да чакат все още помощ. На тези отвън да подхранват надеждите, че ще го предадат, а сами, докато чакат, колкото може по-добре да подредят работите [си], за да се противопоставят, доколкото е възможно, ако не се яви помощ. Ако ли се изложат на по-големи трудности, да не отрязват главата на султана и да не я хвърлят. Тази дръзка постъпка била свойствена на безразсъдни и загубени мъже. „А да го предадем, като се договорим, за да спасим останалото — [това] е умно решение.“ С тези думи се съгласиха [всички] и бързо проводиха λευσαμένους ἐφ' ἱκανὸν ἐξανύειν ὅ τι ζητοῖεν. καὶ ἦν μὲν αὐθημερὸν ἡ ἀνακωχή, οὐ μὴν δὲ καὶ ἐς πλέον ἠφίουν, ἀλλ' ἐπολιόρκουν κυκλοῦντες καὶ μάχην καρτερὰν συνίστων, πρὸς ἣν οἱ ἐντὸς ἀντέχειν κατηναγκάζοντο. καὶ πολὺς ἦν ἡ ἐξ ἀμφοτέρων ἔρις. ὡς δ' οἱ ἐντὸς ἤδη ἠσθένουν καὶ ὁ κίνδυνος ἦν κατὰ κεφαλῆς, πρεσβεύονται παρ' ἐκείνους ἦ μὴν ἐκδιδόναι, πλὴν ὑφ' ὅρκοις τοῖς κατὰ θεοῦ καὶ θείων (καὶ γὰρ πρὸς τὸν Κωνσταντῖνον διεμηνύοντο) ἀσφαλῶς γενομένοις. οὕτω διαπρεσβευσάμενοι, κατανευσάντων κἀκείνων, ἐπὶ πᾶσι χρῶνται τῷ ἐκεῖσε ἀρχιερεῖ. ὁ δὲ τὴν ἱερατικὴν στολὴν ἐνδύς, λαβὼν τὰς θείας εἰκόνας, σὺν παντί τε ἔξεισι κλήρῳ καὶ παρὰ τὸν Κωνσταντῖνον γίνεται. καὶ δὴ τελεσθέντων τῶν ὅρκων ὑπὸ θεῷ καὶ τῷ ἱεράρχῃ εἴσεισι μὲν ὁ ἀρχιερεύς, ἐκεῖνοι δ' εὐθὺς καὶ σουλτὰν καὶ πάντα τὰ ἐκείνου σὺν τοῖς ἀμφ' αὐτὸν ἐκδιδοῦσι. καὶ αὐτίκα ἀνεχώρουν λαβόντες, μηδὲν ἄλλο προσεπιθέντες· ἦσαν γὰρ τὰ τῶν ὅρκων ἦ μὴν τὸν σουλτὰν λαβόντας ἀρκεσθῆναι, μηδὲν πράξοντας πλέον. ἀλλ' ὡς ἔοικε, τὸ μοιρίδιον ἰσχυρόν, κἂν ὅ τι βουλεύσαιτό τις ἀντιπεριστᾶν τὸ μόρσιμον. τῆς γὰρ ἐπιγενομένης ἡμέρας καὶ δευτέρας μετὰ τὴν πρᾶξιν φαίνονται κατὰ θάλασσαν καὶ αἱ τοῦ βασιλέως τριήρεις. καὶ αἱ μὲν ὅσον οὔπω ἐνώρμουν πρὸς τοῖς λιμέσι, τοῖς δὲ μετέμελε τῶν συμβάντων. ἀλλ' οὐκ εἶχόν τι πράττειν οὕτω γενομένων· τὸ γὰρ ἐπιμηθῆ μεταμέλειν ἦν, ἀλλ' οὐκ ἐξανύοι τὸ σύνολον. ὅθεν καὶ ἐπεὶ οὐκ εἶχον μεταμελόμενοι τὸ γεγονὸς ἀποίητον θεῖναι, ἐπὶ τοῖς χρήμασι τοῦ ἀσφαλοῦς προυνόουν, μὴ καὶ ἐπὶ τούτοις σφαλεῖεν. ἐπεπλήμμυρε γὰρ καὶ ἔτι ὁ τόπος ἐχθρῶν διασκεδαννυμένου τοῦ πλήθους. τῷ τοι καταντικρὺ μὲν τῆς πόλεως τὰς τριήρεις ἔστησαν φέροντες, στῖφος δ' ὁπλιτῶν ὡς τεῖχος ἐφ' ἑκάτερα στήσαντες οὕτως ἐξῆγον τὰ τῶν βασιλείων χρημάτων, καὶ φέροντες ταῖς τριήρεσιν ἐναπετίθουν. τέλος δὲ καὶ αὐτοὶ ἐμβάντες ἀπέπλεον. ἐπεὶ δὲ κατέλαβον τὴν Κωνσταντινούπολιν καὶ τῷ βασιλεῖ ἠγγέλλοντο τὰ πραχθέντα, αὐτίκ' ἐκεῖνος πρὸς τὴν ἀγγελίαν παροξυνθεὶς ἄσχετος ἦν τῷ θυμῷ καὶ δεινὰ ἐποίει. καὶ δὴ τὸν μὲν ἀρχιερέα εἰς τὴν παρὰ τῆς ἐκκλησίας κρίσιν καθίστα, καὶ ἐκρίνετο, καὶ ἐγγὺς ἦλθε τοῦ κινδυνεύειν εἰς τὴν ἰδίαν ἐπιτιμίαν ὡς τοῖς πραχθεῖσι μεσολαβήσας ἐκεῖνος· τοὺς μέντοι γ' οἰκείους ὁ βασιλεὺς μαστίξας καὶ ὡς ἦν γυναικείαις ἀτιμώσας στολαῖς ἀπὸ προσώπου ἐποίει. καὶ πέμψας τὰς μὲν τοῦ σουλτὰν εἰς γυναῖκα

[148] Мария е против сключената в Лион през 1274 г. уния, с която папата е бил признат за глава на цялото християнство. В случая е наречена „схизматичка“, понеже останала вярна на православието и не приела унията.

[149] Защото Михаил VIII Палеолог сключил в 1274 г. унията с Римската църква.

[150] Евлогия.

[151] Катар, сиреч „чист“.

[152] Елийски, сиреч ерусалимски.

[153] Мария, както и майка ѝ Евлогия, сестрата на императора, са били против сключената през 1274 г. уния с Римската църква.

[154] На Мария и Евлогия.

[155] През 1276 г. Вж. Petri Possini Observationes Pachymerianae, Pachymeres, I, с. 761.

[156] Михаил, син на Мария и Константин Тих (Асен).

[157] Светослав, т.е. Яков Светослав, български деспот (срв. тук бел. 47).

[158] Константин Тих (Асен).

(I, pp. 427_1—430_{17})

такива неща, защото се боеше за сина си. Тя прочее проводи пратеници и с клетвите [си], че не злоумишлява против него, убеди Светослав да дойде при нея. А той, уповавайки се на клетвите, дойде в Търново и поиска, макар и на напреднала възраст вече, да бъде осиновен. И той тържествено бе осиновен в църква от Мария. След молитвите на йерея при [светлините на] свещите тя разтвори горната си дреха и прегърна от двете си страни двамата — Михаил и Светослав. След сключването на споразумението Светослав, наречен син на господарката на българите след Михаил, си отиде у дома. Не измина много време от осиновяването и постъпилата коварно мнима майка убива[159] повярвалия, че е осиновен. Но Справедливостта не се забави според обичая си много, но подбуда човек, който да отмъсти за кръвта на несправедливо убития. Но за събитията трябва да се върна в разказа си по-горе.

20. *De Ivailo*

VI, 3. Ἦν ἀγρότης ἐκεῖσε μισθοῦ βόσκων χοίρους, Κορδόκουβας κεκλημένος· τὸ δ' ὄνομα ἡ Ἑλλήνων γλῶσσα εἰς λάχανον ἐκλαμβάνει, καὶ Λαχανᾶς ἐντεῦθεν φημίζεται. οὗτος τῶν χοίρων ἐπιμελῶς ἔχων ἑαυτοῦ κατημέλει, οὔτ' ἐπὶ τροφαῖς οὔτ' ἐπ' ἐνδύμασιν ἀσχολούμενος, μόνῳ δ' ἄρτῳ ἀποζῶν καὶ ἀγρίοις λαχάνοις ἀπερίττως εἶχε καὶ ἀφελῶς, καὶ πρὸς τοὺς ἑταίρους καὶ αὐτοὺς κατ' ἐκεῖνον ὄντας οἷς διεξῄει πολλάκις, δῆλος ἦν μεγάλα περὶ ἑαυτοῦ φανταζόμενος. οἱ δὲ οὐχ ἧττον κατεγέλων ἢ μὴν ἐπίστευον. ἐντεῦθεν ἐκεῖνος τοιαύταις οὐκ οἶδ' ὁπόθεν ἐλπίσι μετεωρίσας τὸν νοῦν ἑαυτῷ προσεῖχε, καὶ εὐχὰς ἀπεδίδου θεῷ ὡς ἔχων ἔτυχε· ποῦ γὰρ ἐκείνῳ μετὸν καὶ θείων λογίων κἂν ἐπὶ νοῦν, ἐν τοῖς ἀγροῖς ἴσα καὶ τοῖς παρ' αὐτοῦ βοσκομένοις χοίροις τὸ παράπαν ἐκδεδιῃτημένῳ καὶ ἀφελῶς ἔχοντι; σύννους οὖν τὰ πολλὰ διάγων, καὶ οὐδὲν προὔργου τιθέμενος τῆς πρὸς ἀρχήν τινα καταστάσεως, πολλάκις τὰ αὐτὰ διεξῄει τοῖς ἀγρόταις ἐκείνοις καὶ συφορβοῖς, ἁγίων τινὰς ἐντυχίας λέγων καὶ παρακινήσεις τὰς παρ' ἐκείνων εἰς ὃ κινηθῆναι καὶ ἔθνους ἄρξαι. ταῦτα πολλάκις διεξιὼν ἐπιστεύετο. καὶ ἤδη ἄλλως προσεῖχον αὐτῷ ἢ ὡς ἐδόκει· τὴν γὰρ προθεσμίαν ἐγγὺς ἐδήλου τοῦ κινηθῆναι. μιᾶς οὖν τὸ τῆς ὁρμῆς σύνθημα λέγων λαβεῖν,

20. *За Ивайло*

VI, 3. Там имаше селянин, по име Бърдоква, който пасеше свине срещу заплащане. Гръцкият език сближава това име със „зеленчук“ (*λάχανον*), поради което той се нарича и Лахана.[160] Той се грижеше за свинете, но към себе си нехаеше — не се грижеше нито за храната, нито за облеклото си. Хранейки се само с хляб и диви зеленчуци, той живееше скромно и бедно. Често разговаряше с другарите си, които бяха също като него, и беше явно, че той си въобразява много нещо за себе си. Те по-скоро му се присмиваха, отколкото да му вярваха. После той бе обхванат от толкова големи, не зная откъде появили се, надежди, стана внимателен към себе си и отправяше, както можеше, молитви към бога. Та откъде той би знаел, и то по памет, божествените молитви, като постоянно живееше бедно и почти на полето сред пасените от него свине? Прочее той прекарваше повечето време замислен и смяташе, че лесно ще вземе някаква власт. Често разправяше същото на ония селяни и свинопаси, като им разказваше за някакви явявания на светии, които го подбуждали да се разбунтува и да вземе властта над народа. И понеже разказваше често тези неща, хората му повярваха и вече се отнасяха с него поиначе, отколкото преди. Той съобщаваше, че е близо определеното за бунт време. И така един ден каза, че е получил знак за действие αὐτίκ᾽ ἐκείνους ἐφέλκεται πρὸς τὴν ἑαυτοῦ θεραπείαν, κἀκείνῳ ἕπονται ὡς μέγα τι ἐλπίζοντες πράξειν. ἀπέρχονται γοῦν εἰς χώραν, καὶ τὸ τοῦ συφορβοῦ κηρύττουσιν ὄνομα, ὡς θεόθεν ἧκέ οἱ τοῦ ἄρξαι σύνθημα. καὶ ἅμα λέγοντες ἔπειθον, καὶ προσεπετίθεντο πλείους ἑκάστης. κἀκεῖνος πρὸς τὸ εὐσταλέστερον μετεβάλλετο, ἀμπεχόνην τ᾽ ἐνεδιδύσκετο καὶ σπάθην περιεζώννυτο ἵππου τ᾽ ἐπέβαινε, καὶ ἐθάρρει πρὸς ἔργα μείζω ἢ κατ᾽ αὐτόν. τοῦ γοῦν Κωνσταντίνου ἀσθενῶς τοῦ σώματος ἔχοντος (τὸ γὰρ σκέλος κατεαγὸς ἔχων ἀκίνητος ἦν, κἄν που καὶ ἀπελθεῖν ἔδει, ἐφ᾽ ἁμάξης ἐφέρετο φόρτος κενὸς) πολλοὶ κατωλιγώρουν, καὶ μᾶλλον οἱ πρόσοικοι Τόχαροι, ἐκδρομὰς ἑκάστης ποιοῦντες καὶ Μυσῶν ὄντως λείαν τὰ Μυσῶν τιθέντες. φάλαγγι γοῦν Τοχάρων προσκρούσας ὁ Λαχανᾶς ἐμπίπτει σφίσι μεθ᾽ ὧν ἐπεφέρετο, καὶ κατὰ κράτος νικᾷ, καὶ αὖθις ἄλλῃ, καὶ οὕτω πρὸς τὸ μεγαλειότερον ἐπ᾽ οὐ πολλαῖς ἡμέραις καθίστατο. χῶραι τοίνυν προσετίθεντό οἱ, καὶ ἐπ᾽ αὐτῷ πολὺν τὸν τοῦ εὖ πράξειν ἐλπισμὸν ἀραρότως εἶχον. καὶ ὁ Λαχανᾶς πολὺς ἦν φημιζόμενος πανταχοῦ· οὐδὲ γὰρ ἡμέρα ἐφίστατο καθ᾽ ἣν οὐ πλείους τῶν προτέρων εἶχε καὶ ἠνδραγάθει προσβάλλων. τοῦτο ἐθορύβησε μὲν καὶ τὸν Κωνσταντῖνον τὰ πλεῖστα, ἀγγελθὲν δὲ παρὰ δόξαν καὶ αὐτὸν θορυβεῖ βασιλέα· τὸ γὰρ οὕτως ἐπελθὸν παρ᾽ ἀξίαν οὐκ ἂν ἐπελθεῖν εἰ μὴ ἐπὶ μεγίστοις τισὶν ᾤοντο. ὁ μὲν οὖν Κωνσταντῖνος μόνον ταράξας τὰ κατὰ τὸν ζυγὸν μετήνεγκε τὸν νοῦν πρὸς τὸ ἀπροσδοκήτως φανὲν καὶ ὡς οὐκ ἂν μὴ ὅτι γ᾽ οὗτος, ἀλλ᾽ οὐδ᾽ ἄλλος τις ᾠήθη ποτέ. ὁ δὲ βασιλεὺς τοῦτο μὲν καὶ τἀκεῖ καταστῆσαι θέλων, τοῦτο δὲ καὶ πρὸς τὰ ἀκουσθέντα διαταραχθείς, προλαβεῖν ἠπείγετο καὶ τὰς ἄκρας κατοχυροῦν. καὶ δὴ ἐξελθὼν τῆς Κωνσταντίνου ἐπ᾽ Ὀρεστιάδος ἤλαυνεν ὅλῳ ῥυτῆρι. χειμῶνος δ᾽ ἐξελθὼν καὶ πάγοις ἐπιὼν πάσχει τι καὶ τῶν ἀνηκέστων· συμποδίζεται γὰρ ὁ ἵππος ἐπὶ πάγων βαίνων τῷ βασιλεῖ, καὶ συμπεσὼν ἐκείνῳ ὁ ἐποχούμενος πτῶμα δεινὸν χεῖράς τε καὶ πρόσωπον δρύπτεται, οὕτω χαλεπῶς ὡς μηδ᾽ ἀρκέσαι τὸν τῆς ἐκστρατείας ὅλον χρόνον ἀπαλεῖψαι τὰ τραύματα, ἀλλ᾽ ἔτι λείψανα τῶν πληγῶν ἐμμένειν ἐπανελθόντι τῷ βασιλεῖ. ἅμα γοῦν ἐπέβη ὁ κρατῶν τῆς Ἀδριανοῦ, καὶ ἅμα ἡ σφαγὴ τοῦ Κωνσταντίνου ἀγγέλλεται. ὡς γὰρ αὐξάνετο καθ᾽ ἡμέραν ὁ Λαχανᾶς καὶ πολλοὶ προσεχώρουν ἐκείνῳ κατολιγω-

---

[159] През 1277 г. Вж. Petri Possini Observationes Pachymeranae, Пахимер, I, с. 761. [160] Бърдоква и гръцкото „Лахана“ са прекори на Ивайло, бъдещия български цар (1277—1279). Вж. Златарски, История III, с. 544.

и веднага ги привлича за свои помощници. И те го следват, като се надяват, че ще извършат нещо велико. Разпръсват се из страната и разгласяват името на свинепаса, [казвайки] че му бил даден от бога знак да управлява. И като говореха [така], веднага убеждаваха хората и към него всеки ден се присъединяваха [все] повече [привърженици]. Той започна да се облича по-добре, наметна връхна дреха, препаса меч, възседна кон и смело се впусна в дела, съвсем не по силите му. Тъй като Константин[161] беше болен (той не можеше да се движи, понеже си бе счупил крака, и когато трябваше да отиде някъде, возеха го в колесница като обикновен товар), мнозина се отнасяха към него с пълно пренебрежение и особено съседните тохарци, които вършеха набези всеки ден и правеха наистина имуществото на мизите мизийска плячка[162]. И тъй Лахана се сблъска с един тохарски отред, нападна ги с хората, които водеше, и ги разби напълно. И същото направи в другите дни. И така в продължение на немного дни той се прослави. Областите се присъединяваха към него и бяха напълно убедени, че ще бъдат добре под негова власт. И Лахана беше прославян навсякъде много. Не минаваше ден, в който да не спечелваше повече привърженици от предишните и да не се проявяваше смело в нападенията. Това изплаши твърде много и Константин, а неочакваното съобщение изплаши и самия император. Мислеха, че така случилото се би могло да стане естествено само при много велики хора. [От двамата] само Константин загуби равновесие и насочи вниманието си към това неочаквано явление, за което не само той, но и никой друг никога не бе помислял. Императорът пък, от една страна, искаше да се оправят тамошните работи, а, от друга, разтревожен от чутите неща, побърза да изпревари и да укрепи крепостите. Той излезе от Константинопол и се отправи за Орестиада с най-голяма бързина. Императорът тръгна през зимата и движейки се по поледици, пострада ужасно: конят, вървейки по леда, се спъна и падна заедно с него. И ездачът, падайки лошо заедно с него, се нарани в ръцете и лицето така тежко, че цялото време на похода не беше достатъчно да се заличат раните, следите от които останаха до завръщането му. Щом владетелят влезе в Адрианопол, в същия момент бе съобщено за убийството на Константин. Лахана с всеки ден се усилφροῦντες τοῦ σφῶν βασιλέως, ἐκποδὼν δ' ἦν ἤδη καὶ ὁ Σφεντίσθλαβος τῶν δόλων ἀπονάμενος τῆς Μαρίας, οἱ δέ γε προσῳκειωμένοι τῷ Κωνσταντίνῳ ἐξ ἀνθρώπων ἦσαν ταῖς τῆς Μαρίας κακεντρεχείαις κατειργασμένοι, ὅσοι δὲ καὶ περιῆσαν, οἱ μὲν παρ' ἐκείνων ἐπὶ δυσνοίαις ὑπωπτεύοντο οἱ δὲ καὶ ταῖς ἀληθείαις ἐδυσνόουν, μόνος ἢ μετ' ὀλίγων ἐγκαταλειφθεὶς Κωνσταντῖνος ὁρμᾷ μετελθεῖν τὸν ἤδη καὶ αὐτοῦ κατολιγωροῦντα. καὶ δὴ συνταξάμενος τὰς δυνάμεις ἐφέρετο μὲν ἐφ' ἁμάξης, οἱ δὲ οἷς ἐκεῖνος ἐπίστευε τὰς ὑπὲρ ἐκείνου ὁρμὰς κατεκλῶντο. ὁ δὲ Λαχανᾶς ὁμόσε χωρήσας ἐκείνῳ, ἅμα φανεὶς ἐπεισπίπτει καὶ κατὰ κράτος αἱρεῖ, κἀκεῖνον μηδὲν κατὰ πόλεμον πράξαντα βασιλείας ἄξιον δίκην ἱερείου κατασφάττει. τινὰς δὲ τῶν ἐκείνου καταγωνισάμενος τοῖς λοιποῖς ὡς σφετέροις ἐχρᾶτο. καὶ ἤδη βεβαίως ἐπισχὼν τὴν χώραν καὶ πόλεων ἥπτετο, καί γ' αὐτὰς αἱρῶν οὐκ ἀνίει ὡς ἄρχων καὶ βασιλεὺς φημιζόμενος. ἀλλὰ τὰ μὲν κατ' ἐκεῖνον οὕτω, καὶ οὕτως ὁσημέραι πλέον ἐμεγαλύνετο καὶ εὐοδούμενος ἐπεδίδου.

---

[161] Константин Тих (Асен). [162] Понеже мизите от Мизия, област в М. Азия, били твърде слаби, за да се отбраняват, те били нападани и напълно ограбвани. Оттук се явява и изразът „мизийска плячка", който означава пълно ограбване на дадена област или място.

VI,4. Ὁ δὲ βασιλεὺς τῷ μὲν παρὰ δόξαν συμβάντι ὡς εἰκὸς ἐπαλγήσας, τὰ δὲ καθ' αὐτὸν ὡς ἐνῆν κατασφαλιζόμενος, ὅσον ἀσφαλῶς εἶχεν ἐκ Κωνσταντίνου πεσόντος, ἐπαύξειν ἤθελε ταῖς πρὸς τὸν Λαχανᾶν ἀγχιστείαις. καὶ πέμψας μὲν ἐπεπειρᾶτο τοῦ βαρβάρου, ἐφ' ᾧ καὶ γνῶναι εἰ ἱκανῶς ἔχοι καὶ πρὸς τὸ πρόσω χωρεῖν, οὕτως ἀρξάμενος μὲν ἀπερίττως, τὰ μέγιστα δ' εὐτυχηκὼς ἐκ τοῦ ῥᾷστα. καί γε καὶ γαμβρὸν ἐπὶ θυγατρὶ διενοεῖτο ποιεῖν, εἰ σφίσι δόξειεν ἐνικανωμένος καὶ πρὸς αὐτὴν τὴν τῶν Βουλγάρων ἀρχήν. ὅμως δ' ἐνορῶν καὶ τὸ τῆς τύχης ἄστατον, ὡς ἅμα μὲν χαρίζεσθαι καὶ τὰ μέγιστα ἅμα δὲ καὶ τὰ ἀρχαῖα προσαφαιρεῖσθαι κλίνουσαν τὰ ζυγά, ἀρετῇ δὲ καὶ τὸ προσγενόμενον οἰκεῖον καὶ τὸ ἀπογενόμενον οὐκ ἀνέλπιστον, ὑπώπτευε τὰ πολλὰ τὴν τύχην, μὴ δοῦσα μεγάλα ἐξαίφνης τὸ πᾶν ταχέως ἀφέληται, καὶ ἀρετῆς μὴ οὔσης μηδὲ βραχὺ καὶ τὸ παρ' ἐκείνης διδόμενον ἀμαυροῖτο, ὡς μὴ φθάνειν ἐπιτυγχάνοντα θαυμάζεσθαι καὶ ἐλεεῖσθαι ἀποτυγχάνοντα. διὰ τοῦτο καὶ ταῦτα στρέφων ἐπὶ λογισμῶν, βουλὴν συνέλεγε τοὺς ἀμφ' αὐτὸν συγκαλῶν. ἔβλεπε γὰρ τὴν τῶν Βουλγάρων ἀρχὴν τοῦ προστατήσοντος χρή-

ваше и мнозина се присъединяваха към него, понеже се отнасяха с пълно пренебрежение към собствения си цар. Пък и Светослав[163] поради интригите на Мария бе вече премахнат. Близките от хората на Константин бяха унищожени поради злоумисъла на Мария. Колкото пък оставаха, едни от тях бяха заподозрени в заговорничене, а други наистина заговорничеха. И Константин, останал сам или с малцина, реши да нападне Лахана, който вече напълно пренебрегваше и него. Той подреди войските си, а сам се возеше на колесница. Онези, на които той повери защитата си, се отпуснаха. А Лахана също идваше срещу него и още щом се появи, веднага нападна и го разби напълно.[164] Той го закла като жертвено животно, без да беше направил във войната нещо достойно за царуването си. След като погуби една част от войниците му, останалите използуваше като свои. И вече държейки здраво в ръцете си страната, той се залови с градовете ѝ, провъзгласяван за владетел и цар, не преставаше да ги завзема. Такива бяха неговите работи и така с всеки изминат ден той все повече се усилваше и щастливо преуспяваше.

VI. 4. Като се понатъжи, както е редно, от това неочаквано събитие и желаейки да осигури своите придобивки, доколкото ги владееше сигурно след загиването на Константин, императорът пожела да ги доосигури чрез сближаването си с Лахана. И като изпрати хора, мъчеше се да събере сведения за варварина, та да узнае дали той е в състояние да напредва и в бъдеще, след като е започнал така скромно и твърде лесно е преуспял толкова много. И възнамеряваше да го ожени за дъщеря си, ако [пратениците] сметнат, че той е достоен да управлява българите. Все пак той виждаше непостоянството на съдбата, която ту подарява найголеми блага, ту като наклонява везните на другата страна, отнема и това, което човек е имал отдавна, а пък [виждаше и това, че] добродетелта прави сигурно това, което човек притежава, и го кара да се надява, че ще получи онова, което няма. Затова той силно заподозря съдбата да не би, като е дала неочаквано много нещо, да отнеме всичко бързо, и даденото от нея, когато няма добродетел, да помръкне бързо, така че човек да не успее да се зарадва, че го е получил, и вече да съжалява, че го е загубил. Затова обмисляйки тези неща, той свика своите хора и се съветваше. Той виждаше, че българската власт се нуждае по необходимост от ζουσαν ἐξ ἀνάγκης, παρετίθει δὲ καὶ τῷ Λαχανᾷ τὸν ἐκ τοῦ Μυτζῆ Ἰωάννην, καὶ τῷ μὲν τύχην καὶ θράσος καὶ τὸ ἐπὶ τῶν πραγμάτων εἶναι εἰς πρόσβασιν τῆς ἀρχῆς συντελέσοντα ἐγίνωσκε, Ἰωάννην δὲ τὸ γένος καὶ τὴν ἀφ᾽ αὐτοῦ σύναρσιν κατοχυροῦν εἰς ἀρχὴν οἷά τ᾽ ὄντα καὶ μᾶλλον διέκρινε. καὶ πολλοῖς γε ἤρεσκεν ἡ βουλή, τὸν τοῦ Μυτζῆ υἱὸν εἰς γαμβρὸν γενέσθαι τῷ βασιλεῖ, καὶ οὕτως ἐπὶ τῇ πρόσθεν βασιλείᾳ καταστάντα συνεγερθῆναι καὶ ἀπ᾽ αὐτοῦ βασιλέως, ἅμα μὲν διὰ τὸ πρὸς τῷ Μυτζῆ δίκαιον καὶ τὸ ἀπὸ τῶν πατέρων αὐτοῦ πρὸς σφᾶς ἱλαρόν, ἅμα δὲ καὶ διὰ τὴν τοῦ βασιλέως πρὸς αὐτὸν κηδεμονίαν, ὅσα καὶ πενθεροῦ πρὸς γαμβρόν. εἰκὸς δὲ καὶ τὸν Λαχανᾶν ἐκ τύχης ἐξαίφνης φυσηθέντα, ὑποχαλάσαντα τὰς ὁρμὰς φανεισῶν Ῥωμαϊκῶν ἐκεῖσε δυνάμεων ἢ πρὸς δουλείαν ὑποπεσεῖν ἢ μὴν καί που κρυβῆναι φεύγοντα, μὴ ἔχοντα ὅπῃ ἄρα καὶ ἰσχυρίσαιτο. Μαρίαν δὲ καὶ παῖδα ταύτης ῥᾷον τοὺς Τερνοβίτας προδοῦναι· τὰ γὰρ πρὸς αὐτοὺς ἐκείνης κακὰ οὐ τοσοῦτον μικρὰ ὥστε καὶ λήθῃ διδόναι.

---

[163] Яков Светослав. [164] През 1277 г. Вж. Petri Possini Observationes Pachymerianae, Пахимер, I, с. 761. Също Златарски, История, III, с. 551.

VI, 5. Ταῦθ᾽ ὁ βασιλεὺς βουλευσάμενος, καὶ τὴν ἀπὸ τοῦ πατριάρχου βουλὴν πέμψας ἐν ἀπορρήτοις ἐζήτει. καὶ ὃς τὰ πολλὰ πρὸς τὸν Μυτζῆν ἔρρεπε, καὶ γράφων τὴν ἐπὶ τῇ βουλῇ ῥοπὴν ἐδίδου. τοῦτο καὶ Πρίγκιψ ὁ ἱερομόναχος Θεοδόσιος, ἀξιωθεὶς καὶ οὗτος πρὸς συμβουλὴν τὴν περὶ τούτων, ἔγραφεν, ἤδη εἰς ψῆφον ὢν πατριαρχείου· ὁ γὰρ Εὐθύμιος ἐτεθνήκει τῆς Θεουπόλεως. τὸ δ᾽ ὅπως οὐ χεῖρον εἰπεῖν. κεχήρωτο μὲν οὖν τὸ πατριαρχεῖον, καὶ πολλοὶ τῶν τῆς ἀνατολῆς ἐπισκόπων παρῆσαν, οἱ μὲν ἐκεῖθεν ἰόντες, οἱ δὲ καὶ ἐνταῦθα ταῖς ἐκείνου προτροπαῖς γενόμενοι· ἤρεσκε γὰρ ἐπὶ τούτοις καὶ ἡ τοῦ Ἀναζάρβου Θεοδωρήτου βουλή, εἰς νόσον ἤδη κλιθέντος τοῦ πατριάρχου, τοὺς ἱκανοὺς ἐκ προτροπῆς ἐκείνου γίνεσθαι, ἐφ᾽ ᾧ τὸν μετ᾽ ἐκεῖνον προσκληθησόμενον ἀνεπιλήπτως ὡς ἱκανῶς ψηφίζοιντο. ὡς γοῦν ἐζητεῖτο ὁ χρησιμεύσων, καὶ οὐδεὶς τοῦ Πρίγκιπος ἀπεγίνωσκεν, ἦν οὖν εὐθὺς καὶ ψηφίζεσθαι καὶ προσκαλεῖσθαι τὸν ἄνδρα. ἀλλ᾽ ὁ βασιλεὺς σοφόν τι συνορῶν ἐπὶ τούτοις ὑπώπτευε τὴν χλεύην, καὶ τὸν κρεμάμενον ἐκ τῆς ὑποψίας κατάγελων μήπως ὀφλήσῃ προυνόει. τὸν γὰρ Πρίγκιπα μὴ δι᾽ ὅλου τῇ ἐκκλησίᾳ ἑνούμενον διὰ τὰ συμβάντα οὐδ᾽ ὅλως ἠγνόει, τὸ δὲ συνυποκλίνεσθαι κατὰ τιμὴν ὑπερτάτην προτεινομένην ᾤετο μέν, οὐκ εἶχε δ᾽ ἀραρότως πιστεύειν. εἰ γοῦν ψηφισθεὶς ἀπερεῖ, εἶναι

бъдещ владетел. И императорът противопоставя на Лахана сина на Мицо — Йоан[165]. Той виждаше, че на първия помагат да получи властта щастието, дързостта и обстоятелствата. Предпочете Йоан, тъй като по произход и родствени връзки беше достоен за властта. На мнозина се понрави мнението синът на Мицо да стане зет на императора и така, като бъде поставен на принадлежащия му от по-рано престол, да бъде подкрепян и от самия император, от една страна, поради правата на Мицо и доброто отношение на дедите му към ромеите, а, от друга страна, поради грижата на императора към него като на тъст към зет. Естествено било възгорделият се от внезапното щастие и смирил се малко Лахана от нападенията на явилите се там ромейски войски или да попадне в робство, или да избяга и се скрие, тъй като нямало къде да се укрепи. Търновчани лесно щели да предадат Мария и сина ѝ, защото злините ѝ спрямо тях не били така малки, че да се забравят.

VI, 5. След като се посъветва по тези въпроси, императорът изпрати хора и поиска тайно съвет и от патриарха. Този бе напълно благосклонен към Мицо и с писмото си оказа влияние за решението. Удостоен да даде съвет по тези въпроси, същото написа и Принкепсът[166] йеромонах Теодосий, който вече бе избран за патриарх[167], защото Евтимий Теополийски[168] беше умрял. А не е лошо да се каже как стана това. Патриаршеският престол[169] бе овакантен и мнозина от източните епископи се явиха, едни идвайки от там, а други се намериха тук, поканени от Евтимий. Защото, когато патриархът се бе вече разболял, хареса се и съветът на аназарбския Теодорит[170], а именно да дойдат по покана на патриарха достатъчно епископи, та напълно безупречно да изберат този, който ще бъде извикан след него. Но понеже се търсеше човек, който ще бъде полезен, и никой не отхвърляше Принкепса, този човек можеше да бъде веднага и избран и повикан [за патриарх]. Императорът обаче, като погледна сериозно на това, заподозря подигравка и обзет от подозрение, обмисляше как да не се изложи някак на присмех. Той твърде добре знаеше, че Принкепсът поради събитията не е напълно в единомислие с църквата, но мислеше, че ще се подчини заради предложената му голяма чест, обаче не беше напълно уверен. Ако бъдел избран и не отμὲν ἐκείνῳ τὴν υἱεῖ καὶ ἀξιούμενος οὐχ ὑπήκουσεν αὐτάρκη τιμήν, τοὺς δέ γε καλέσαντας ἐξ ἀνάγκης ἀποφέρεσθαι τὸ ἧττον, ὅτι καὶ ἀξιοῦντες οὐ προσεδέχθησαν. γράφει γοῦν καὶ ταῦτα ἐν ἀπορρήτοις τῷ πατριάρχῃ, πειρᾶν πρότερον, εἶθ' οὕτω καὶ ἐφιέναι ψηφίζεσθαι. ἡ δὲ πεῖρα ἦν διὰ τοῦ συγγράφοντος τάδε· οὗτος γὰρ συνήθειαν ἔχων εἰς ἐκεῖνον τὴν μεγίστην καὶ ἐπὶ τῇ πείρᾳ ταύτῃ τῶν ἄλλων προυκρίνετο. τότε γοῦν κατὰ τὰ ἐν ἀπορρήτοις ἐπεσταλμένα μὲν πρὸς βασιλέα τῷ πατριάρχῃ ἐπεσταλμένα δὲ παρὰ πατριάρχου τῷ συγγραφεῖ, φοιτῶν ἐκείνῳ συχνάκις καὶ τὰ περὶ τοῦ πατριαρχείου προτεινόμενος, εἰδὼς μὴ εἰδότι τὸν νοῦν ἐθηρώμην καὶ τὴν γνώμην ἐνεχύραζον, καί γ' ἐπληροφόρουν πληροφορούμενος ὡς κληθεὶς ὑπακούσειε καὶ τὴν εἰς τὸ πατριαρχεῖον κλῆσιν προσήσεται. γέγονε ταῦτα, καὶ ὡς ὑποψηφίῳ ἐντεῦθεν προσφερόμενος ὁ κρατῶν τὰ φιλικά τε ἐπέστελλε καί γε τῶν ἀναγκαίων κατὰ βουλὴν κοινωνὸν ἐποίει. τότε τοίνυν τὰς αὐτῶν δεξάμενος συμβουλάς, καὶ πρό γε τούτων τὴν τῆς δεσποίνης, ἔργῳ τὰ τῆς βουλῆς ἐπλήρου, καὶ πέμψας ἄγει τε εἰς ἑαυτὸν τὸν Ἰωάννην ἐκ τῶν κατὰ Σκάμανδρον Τρωϊκῶν (ἐκεῖ γὰρ καὶ τὰς διατριβὰς ἐποιεῖτο, αὐτάρκως τῶν εἰς πρόνοιαν ἔχων) καὶ μετασχηματίσας γαμβρὸν ἐκάλει καὶ βασιλέα Βουλγάρων. μετετίθει δὲ καὶ τοῦτον εἰς τὸ τοῦ πάππου Ἀσὰν ἀνὰ πᾶσαν τὴν περὶ αὐτὸν πληθὺν θριαμβεύων τοὔνομα, καὶ δίκας προστιθεὶς τὰς ἀξίας τοῖς γε μὴ οὕτως λέγουσι κατά τινα μεμνημένοις χρείαν. καὶ τῶν Βουλγάρων τοὺς μὲν προσχωρεῖν ἑτοίμους ἐκάλει ὡς αὐτίκα εὐεργετήσων, τοὺς δέ τι καὶ προνοοῦντας τοῦ ἀσφαλοῦς πέμπων δώροις μὲν ἤγαλλεν, ἀνερρώννυε δὲ ταῖς ἐλπίσιν ὡς εὖ πράξοντας εἰ τὸν Ἰωάννην δέξοιντο βασιλέα ἀποστάντες Μαρίας. ταῦτα μὲν οὖν ἐκ τῆς Ἀδριανοῦ ᾠκονόμει, καί τινας αὐτίκα πρὸς μόνην τὴν φήμην προσχωροῦντας εὖ ἔδρα, καὶ κατεδημαγώγει Βουλγάρους ταῖς ὑποσχέσεσιν.

---

[165] Йоан, т.е. бъдещият български цар Иван Асен III (1279—1280). [166] Принкепс, фамилно име. Води началото си от управляващата фамилия на пелопонеските князе (principes). [167] За патриарх на Антиохия. [168] Теуполийски, сиреч антиохийски (Антиохия била наречена от християните Теуполис). [169] Става дума за антиохийския патриаршески престол. [170] Аназарбски, т.е. на гр. Аназарба в Стара Киликия.

VI,6. Ἐπανελθόντι δ' ἐς πόλιν ἠγγέλλετο καὶ ἡ τοῦ Μιχαὴλ ἐκ τῶν δυσικῶν ὅσον οὐκ ἤδη ἄφιξις. ὁ δ' ἦν ὁ τοῦ Μιχαὴλ δεσπότου υἱὸς ὕστατος, Δημήτριος μὲν τὸ κατ' ἀρχὰς λεγόμενος, θανόντος δὲ τοῦ πατρὸς τοὔνομα κατὰ μνήμην ἐκείνου ἀνταλλαξάμενος. ᾧ δὴ καὶ μοῖρα τῶν τοῦ πατρὸς χωρῶν προσκεκληρωμένη οὐκ ἀποχρῶσα τῷ μεγέθει τῆς κατ' αὐτὸν ἀξίας,

стъпел, той, като удостоен с толкова голяма чест, не щял да го слуша, а и избралите го щели естествено да пострадат не по-малко, понеже, макар и да са го удостоили, биха били пренебрегнати от него. И така той писа, и то тайно, на патриарха, та като проучи дали е така, да допусне избирането. Изпитването стана посредством пишещия това. Той беше много близък с Принкепса и затова за изпитанието бе предпочетен пред другите. Тогава съгласно тайно изпратеното писмо от императора до патриарха патриархът писа на пишещия [тази история] да посещава често Принкепса и като заговорва по въпроса за патриаршеския престол, без той да подозира, умно да проследи мислите му и да улови намеренията му, а също уверено да го убеждава, че ако бъде избран и се подчини, ще получи патриаршеско достойнство. Това и стана, след което владетелят, отнасайки се с него като с избран, му изпрати приятелско писмо и го направи съучастник във важните работи на съвета. Тогава прочее, след като им взе мненията и преди техните това на господарката, той изпълни решението на съвета. И като изпрати хора, доведе при себе си Йоан[171] от троянските места при Скамандер (той живееше там и имаше достатъчно [земи] в прония)[172], промени му облеклото и го нарече свой зет и цар на българите. Даде му името на дядо му — Асен — и обявявайки това име тържествено пред цялата си свита, определи съответното наказание за тези, които по навик не го наричат така. Той призоваваше тези от българите, които бяха готови да се присъединят, за да ги награди веднага, а на онези, които проявяваха предпазливост, изпращаше дарове и ги ласкаеше. Той ги уверяваше, че ще бъдат добре, ако приемат за цар Йоан и се отцепят от Мария. Той уреди тези неща от Адрианопол. А някои, които се присъединиха веднага още при първия слух, той облагодетелствува и [така] привличаше българите с обещанията си.

VI, 6. Когато пристигна в Константинопол, бе му съобщено за скорошното идване от запад на Михаил[173]. Той беше най-малкият син на деспот Михаил[174]. Отначало носеше името Димитрий[175], но след смъртта на баща си промени името си в негова памет. Падналата му се част от бащиното наследство му се струваше съвсем несъответствуваща на голямото му достойнство, получено от владеἧς παρὰ τοῦ κρατοῦντος ἐτύγχανεν ἤδη γαμβρὸς ὑπεσχημένος γενέσθαι, οὐδαμῶς ἐδόκει. τῷ τοι κἀκείνην ἀφεὶς βασιλεῖ προσεχώρει, πιστεύων γράμμασιν ὅρκοις κατησφαλισμένοις. ἦσαν μὲν οὖν τῷ βασιλεῖ ἑκατέρων τῶν θυγατέρων Εἰρήνης ἅμα καὶ Ἄννης (ἡ γὰρ Εὐδοκία μικρὰ ἦν καὶ ἔτι) αἱ πρὸς τοὺς νυμφίους συναρμόσεις ἐμπρόθεσμοι· ἀλλ' οἱ τῆς Εἰρήνης γάμοι τῷ ἤδη βασιλεῖ φημιζομένῳ Βουλγάρων Ἀσὰν ἐτελοῦντο περιφανέστερον. συμβόλοις γὰρ ἐχρῆτο βασιλικοῖς, ἐξ ἐρίων μὲν κατ' ἐφεστρίδας, τοῖς δ' ἄλλοις τοῖς αὐτοῖς βασιλεῖ· καὶ συνθεσίαι ἦσαν, εἰ μὲν εὐοδοῖντο ἐπιβαίνειν Τερνόβου συνάμα καὶ ταῖς τοῦ βασιλέως δυνάμεσιν, εἰ δ' οὖν, ἀλλὰ καὶ αὖθις εἰς δεσπότας τῆς Ῥωμαΐδος σεμνύνεσθαι. τοῖς μὲν οὖν τετελεσμένοι ἦσαν οἱ γάμοι, καὶ βουλαὶ προυτίθεντο συνεχεῖς ὅπως ἂν καὶ τὰ πρόσω κατ' εὐμάρειαν προχωροῖεν· τοῖς δὲ τοῦ Μιχαὴλ γάμοις καὶ τῆς δευτέρας τῶν βασιλέως θυγατέρων Ἄννης προσίστατό τι τῶν τῆς ἐκκλησίας κανόνων, οὓς δὴ Σισίνιος πάλαι θεὶς ἀφορισμοῖς ἐκράτυνεν ἀσφαλέσιν. ἡ μὲν οὖν τοῦ δεσπότου Νικηφόρου Ἄννα τῆς τοῦ βασιλέως θυγατρὸς Ἄννης αὐτανεψία ἦν, Νικηφόρος δὲ καὶ Μιχαὴλ αὐτάδελφοι πάντως. περιισταμένου γοῦν τοῦ κατ' αὐτοὺς συνοικεσίου εἰς ἕκτον βαθμὸν τὸν ἔνθεν μὲν ἐκ τεσσάρων ἐκεῖθεν δ' ἐκ δύο συγκείμενον, ἔδει συνόδου περὶ τούτων σκεψομένης καὶ τῆς παρ' αὐτῆς λύσεως. ἐπεὶ δ' ἐσκέπτοντο, καὶ τὰ τῶν βασιλέων συναλλάγματα ὡς εἰς εἰρήνην γινόμενα ἐδόκουν πλείω τὴν ἄνεσιν ἔχειν ἢ δὴ τὰ τῶν ἄλλων, ἀντισηκοῦσθαι τὸ ὡς δῆθεν παρὰ κανόνας γινόμενον τῷ πρὸς τοὺς δεομένους ἐλέει κοινῶς ἐδόκει. καὶ τόνδε τὸν τρόπον τοῦ προσισταμένου λυθέντος ἐτάττετο μὲν εἰς δεσπότας ὁ Μιχαήλ, τῇ Ἄννῃ δὲ βασιλίδι οὔσῃ γε συνεζεύγνυτο. καὶ ἦν ἐντεῦθεν ὁ μὲν Μιχαὴλ βασιλεῦσι δοῦλος ἐν ὅρκοις, ὁ δ' Ἰωάννης ἔνσπονδος δι' ὅλου, εἰ βασιλεύσοι Βουλγάρων, Ῥωμαίοις ἐν ὅρκοις, εἰ δ' οὖν, ἀλλὰ καὶ αὐτὸς ὅρκοις πιστῶς δουλεύσων τοῖς βασιλεῦσιν, ὑπὸ τούτοις δεσπότης ταττόμενος.

---

[171] Йоан, син на Мицо. Вж. тук бел. 165.
[172] Прония, пожизнено владение, давано за заслуги или срещу задължение за военна служба. По-късно пронията станала наследствена. Вж. общо З. В. Удальцова, Советское византиноведение за 50 лет, Москва, 1969, с. 188 сл.
[173] Михаил, син на епирския деспот Михаил II. Вж. тук бел. 95.
[174] Михаил II Ангел Дука Комнин, епирски деспот (1237—1271).
[175] Димитър (после Михаил), син на епирския деспот Михаил II. Вж. тук бел. 95.

VI, 7. Ἐβούλετο δὲ βασιλεὺς προλαμβάνειν Μαρίαν, μὴ καὶ φθάσῃ τὰ καθ' αὑτὴν εὖ θεμένη ἀλιώσῃ τε τὴν βασιλέως βουλήν, καὶ κατέσπευδε συχνοὺς ἐπ' ἐκείνην πέμπων, οὐ τόσον τἀκεῖ καταστρέψοντας ὅσον ἡμέρως μεταχειριουμένους ἐφ' ᾧ παραδοῖεν Μαρίαν καὶ τοὺς τοῦ βασιλέως δέχοιντο παῖδας.

теля, който му бе вече обещал да го направи зет. Затова, вярвайки на потвърдените с клетви грамоти, той изостави бащиното наследство и отиде при императора[176]. На императора предстоеше да омъжи две от дъщерите си — Ирина[177] и Ана[178] (Евдокия беше още малка). Бракосъчетанието на Ирина с вече провъзгласения за цар на българите Асен[179] бе извършено твърде тържествено. Той носеше същите знаци като царските с изключение на тези по наметките, които бяха от вълна. Имаше и спогодба: ако работата тръгне добре, да влезе в Търново заедно с войските на императора, ако ли не — да бъде отново почитан като деспот на ромейската държава. Бракосъчетанието бе извършено при тези условия, а после ставаха постоянни съвещания как и занапред работите да вървят успешно. А на брака на Михаил с Ана, втората от дъщерите на императора, пречеха някакви църковни канони, които в миналото бе съставил Сисиний[180] и ги бе укрепил със [заплаха за] сигурни отлъчвания. И тъй Ана[181] [жената] на деспот Никифор[182] беше родна братовчедка на императоровата дъщеря Ана, а Никифор и Михаил бяха родни братя. Понеже на брака им пречеше шеста степен родство — от едната страна, четири, а от другата две — трябваше съборно разглеждане на тези въпроси и негово постановление. След като прочее разгледаха въпроса, те решиха, че връзките между царете, като станали в интереса на мира, трябва да бъдат третирани по-снизходително, отколкото тези на другите хора, а станалото против каноните ще трябва да се изкупи с милостта към молещите се. След като пречката бе отстранена по този начин, Михаил бе провъзгласен за деспот и се ожени за княгиня Ана. След това Михаил даде клетви, че ще служи на императорите, а пък Йоан — че ще бъде постоянен съюзник на ромеите, ако стане цар на българите, ако ли не — че и той клетвено ще служи вярно на императорите, провъзгласен от тях за деспот.

VI, 7. Но императорът поиска най-напред да залови Мария[183], да не би тя, като подреди добре работите си, да осуети плана му. И затова бързо изпрати при нея много хора не толкова, за да разстроят тамошните работи, колкото кротко да предразположат [българите] да предадат Мария и да приемат

---

[176] Михаил VIII Палеолог. [177] Ирина, дъщеря на Михаил VIII Палеолог и съпруга на Ив. Асен III. [178] Ана, дъщеря на Михаил VIII Палеолог, съпруга на Михаил, сина на епирския деспот Михаил II. [179] Асен, сиреч Иван Асен III. [180] Сисиний II, цариградски патриарх (996—998). [181] Ана, жена на деспот Никифор, сина на епирския деспот Михаил II, и дъщеря на Евлогия, сестрата на Михаил VIII Палеолог. [182] Никифор, деспот, син на епирския деспот Михаил II и брат на Михаил (Димитър). [183] Мария, българска царица, жена на Константин Тих и дъщеря на Евлогия, сестрата на Михаил VIII Палеолог.

Ἡ μέντοι γε Μαρία ἐν ἀφύκτοις ἔγνω γενομένη καὶ δυοῖν μέσον ἐναπειλημμένη κακοῖν· ἔνθεν μὲν γὰρ τὸ φανὲν ἐκ νέου κακὸν ὁ Λαχανᾶς προσκείμενος ἠρήμου τὴν χώραν καὶ προσεκτᾶτο τὰ πέριξ προσβάλλων μόνον, ἐκεῖθεν δ' αἱ δυνάμεις τοῦ βασιλέως ἐπιοῦσαι πλείους δῆλαι ἦσαν τὸ μὲν ταπεινὸν καὶ ὅσον ἐκτὸς ζημιοῦντες, τὸ δὲ ἐντὸς καὶ περιφανὲς ἐκ παντὸς τρόπου ὑποποιούμενοι. ὅθεν καὶ περὶ ἑαυτῇ τε καὶ τῷ παιδὶ τετρεμαινούσῃ δειναὶ φροντίδες ἐτάραττον τὴν ψυχήν, καὶ πρὸς ἀμφότερα μέρη μὴ σθένουσα ἵστασθαι θάτερον ἐξημεροῦν ἔγνω, πλὴν ὅσον καὶ ταύτην ἀπόνασθαι τῶν καθ' ἡμέρωσιν πραχθέντων τὰ μείζω. τὸ μὲν οὖν πρὸς βασιλέα κλίνειν τῶν εἰκότων μὲν ἔκρινε, καὶ ἄλλως εὐπρεπὲς ἑαυτῇ σωζούσῃ μὲν τὰ τῆς σωφροσύνης καὶ τὰ πρὸς τὸν ἀποιχόμενον δίκαια (δίκαια δὲ πάντως μὴ συνοικεῖν τῷ σφαγεῖ), ζητούσῃ δὲ παρ' ἐκείνου σώζεσθαι παρ' οὗ δὴ καὶ τὴν τιμὴν ἐκτήσατο. διὰ ταῦτα γοῦν τὸ πρὸς βασιλέα πέμπειν καὶ ἱκετεύειν τῶν δικαίων ἔκρινεν. ὅσον δὲ τὸ καθ' αὐτὴν συνοῖσον καθ' ὃ ἦν βουλομένη, καὶ λίαν ἀπᾷδον ἐγίνωσκεν· αὐτῇ μὲν γὰρ τὴν τιμὴν κατοχυροῦν αὐτῇ τε καὶ παιδὶ Μιχαὴλ διὰ σπουδῆς εἶναι, βασιλέα δὲ μηδ' ἂν ἐν ὕπνοις θελῆσαι ἀφέντα τοὺς παῖδας, οὓς δὴ καὶ ἤρξατο καθιστᾶν, ἐκείνοις περιποιεῖν τὴν ἀρχήν. οὕτω μὲν οὖν τῶν ἀπὸ βασιλέως καὶ μᾶλλον ἱκανῶς ἀπεγίνωσκε, τὸ δὲ πρὸς τὸν βάρβαρον πέμπειν καὶ ἀξιοῦν σπενδομένην καθ' αὐτὴν διατελεῖν τοῦ ἔθνους ἄρχουσαν, οὔτ' ἔχειν λόγον τὴν ἀξίωσιν ἔκρινε· τὸν γὰρ ἀρχῆς ταύτης ἀντιποιούμενον σπένδεσθαι πρὸς τὴν κατέχουσαν ταύτην ἀδύνατον. καὶ τὰ ἀπὸ βασιλέως συννοοῦσαν φροντίζειν ἐποίει· μηδὲ γὰρ ἠρεμεῖν βασιλέα ἅπαξ ὑπὲρ παίδων περὶ τῆς ἀρχῆς ἀρξάμενον διαφέρεσθαι. ἔγνω τοίνυν παριδεῖν μὲν τὰ τοῦ ἀποιχομένου δίκαια, παριδεῖν δὲ καὶ ἀνθρώπων νέμεσιν, εἰ τοιαύτη τις οὖσα τοιούτῳ ἑαυτὴν ἐκδοίη, πρὸς μόνον δὲ τὸ δοκοῦν συνοῖσον αὐτῇ τε καὶ παιδὶ συνιδεῖν. τὸ δ' ἦν, ὡς ἐδόκει, ὅλην ἑαυτὴν ἐπιρρῖψαι τῷ συφορβῷ, καὶ ὑπανοῖξαι θύρας αὐτῷ βασιλείας καὶ πόλεως, αὐτῷ τε συνεῖναι καὶ συνοικεῖν ὡς βασιλεῖ δέσποινα. ταῦτα διανοησαμένη αὐτίκα πέμπει (οὐδὲ γὰρ ἠρεμεῖν εἴων αἱ τοῦ βασιλέως ἀποστολαί) τοὺς διασαφήσοντας τῷ βαρβάρῳ τὰ τῆς βουλῆς τε καὶ ἀξιώσεως.

децата[184] на императора. Мария разбра, че се е намерила в безизходно положение и че е обкръжена от две злини: от една страна, новопоявилото се зло — Лахана нападаше и опустошаваше страната и само с набези завладяваше околните земи, а, от друга страна, настъпващите войски на императора ставаха все по-многочислени. Те причиняваха вреди на бедните и на тия [които живееха] извън града, а тези в града и знатните [тях]те се мъчеха да привлекат по всякакъв начин. Затова страшни безпокойства измъчваха душата на изплашената и за себе си, и за сина си [царица]. И понеже не можеше да се противопостави на двете страни, реши да привлече единия от двамата, но да извлече от постъпката си повече изгоди. Тя реши прочее, че е редно да се обърне към императора, което без съмнение беше прилично за нея, която спазваше изискванията на целомъдрието и задълженията си към покойния (а задълженията бяха без съмнение да не съжителствува с убиеца). Редно бе за нея да търси да бъде спасена от този, от когото бе получила [царското] достойнство. Затова тя реши, че е справедливо да се обърне към императора и да го помоли. Но тя разбра колко малко това, което бе пожелала, ще ѝ бъде от полза и че то е твърде много нереално. Нейна грижа бе да заздрави властта за себе си и за сина си Михаил, а императорът и на сън не би пожелал да изостави децата [си], които бе започнал да настанява, и да даде властта на онези. Така прочее тя напълно се отказа от помощта на императора. А да се обърне към варварина[185] и да иска да се споразумее с него, за да може сама да продължава да управлява народа, тя реши, че такова намерение е безсмислено. Невъзможно беше човекът, който се стреми към властта, да се споразумее с тази, която я има. И държането на императора я караше да се замисли и загрижи. Императорът нямало да остане спокоен, щом веднъж е започнал да враждува заради властта на децата. Тя прочее реши да пренебрегне задълженията си към покойния, да пренебрегне и упреците на хората, ако бидейки господарка, се отдаде на такъв човек, стига само да разбере, че решението ѝ ще бъде от полза за нея и сина ѝ. А то беше, както изглеждаше, да се предаде изцяло на свинопаса, да му отвори вратите на царството и на града и да се свърже и заживее с него като деспина с цар. Като обсъди тези неща, тя веднага проводи хора (защото пратеничеството на императора не я оставаше да се бави), които да открият на варварина καὶ ὃς ἀκούσας πρῶτον μὲν καθυπερηφανεύετο δῆθεν καὶ τοῖς ἀπεσταλμένοις ἀπεσεμνύνετο, διαθρυπτόμενος οἷον, εἰ ἀρχὴν ὅσον οὔπω κτησομένην αὐτῷ σπάθῃ καὶ δυνάμει κρείττονι ἐκείνη φθάνοι χαρίζεσθαι. ὅμως καὶ τὰ τοῦ λέχους προσίετο, πονηρῶς ἄγαν καὶ βαθέως, οὐχ ὥς τις ἂν εἴποι φιλόγυνις καὶ τῆς γυναικωνίτιδος ἐραστής· τὸ γὰρ μαλάττειν τὰ ἤθη τῶν δεξομένων καὶ λίαν ὡς καταφρονησόντων αὐτίκα διεφυλάττετο, ἄλλως δὲ κατ᾿ εἰρήνην καὶ τοῦ μὴ χέεσθαι ἐμφυλίοις πολέμοις αἵματα κατεδέχετο, ὡς χάριν διδούς, οὐ λαμβάνων. ὅρκων οὖν γενομένων καὶ συνθηκῶν ἐξ ἑκατέρων ὑπανοίγνυσί τε αὐτῷ τὰς πύλας, καὶ ἐντὸς δεξαμένη τελεῖ ἑαυτῇ σὺν ἐκείνῳ τοὺς γάμους, καὶ τὰς ταινιώσεις τῆς βασιλείας καὶ αὖθις συνάμα δέχονται, καί γε παρασκευάζει τῷ βασιλεῖ ἀντίπαλον, ὡς ᾤετο, ἱκανόν. τοῦτο συμβάν τε καὶ ἀκουσθὲν τὸν βασιλέα αὐτάρκως καὶ ὡς ἐνῆν διετάραξεν, ὑπεκρίνετό τε κἀκεῖνος μὴ ἀθυμεῖν σφαλλόμενος τῶν ἐλπίδων, ἀλλὰ στυγεῖν τῷ παρ᾿ ἀξίαν ἐκείνης πταίσματι, ὥστε καὶ τὸ γένος καταισχῦναι καὶ τὴν ἀρχὴν προσαπολλύναι τῷ μηδενὸς ἀξίῳ κατεγχειρίσασαν· μηδὲ γὰρ ἀνθέξειν ὅλως καὶ ὑποσχεῖν ἐκεῖνον ἐπιβρίσασαν ἐκ Τοχάρων δύναμιν, ἣν εἰκὸς ἐπεισπίπτειν, ἅμα μὲν ὡς ἐχθρὸν προφανῆ, ἅμα δὲ καὶ παρὰ τῶν οἰκείων καταφρονούμενον. ταῦτα λέγων οὐκ ἀνίει καὶ αὖθις πέμπων τε δυνάμεις ἀγωνιουμένας καὶ τὰ πρὸς καταβολὴν Μαρίας κατασκευαζόμενος. ὁ τοίνυν Λαχανᾶς πρὸς τὰς τῆς γυναικὸς θρύψεις καὶ ἀπήχθετο καὶ βαρβαρικῶς ἤθελε διαζῆν, τοὺς ἀμφ᾿ αὐτὸν καὶ λίαν ὑποποιούμενος· ἔγνω γὰρ ἀμφοτέρωθεν ἐξαρτυομένους πολέμους καὶ τὰς βλακείας μηδὲν οἵας τε οὔσας κατευνάζειν τοὺς ἐκ τῶν πολέμων κινδύνους, ὥστε καὶ πολλάκις πρὸς ἐκείνην διαφιλονεικοῦντα ἐντείνειν πληγάς. αὐτὸς δὲ κρείττω πάσης ἀσχολίας τὰ κύκλῳ συνανιστάμενα κρίνων ὑπεποιεῖτο τε τοὺς ἄρχοντας τῶν Βουλγάρων, καὶ πρὸς πολέμους ἡτοιμάζετο τοὺς κατ᾿ ἄμφω. οὐδὲ γὰρ ἦν οὔτε Τοχάροις διὰ τὰ πραχθέντα σπένδεσθαι οὔτε τοὺς τοῦ βασιλέως ὁπωσοῦν ἀναρτᾶν. διὰ τοῦτο καθ᾿ ὅσον ἴσχυεν ἀντιπαρετάττετο, τὸ μὲν ἑκὼν τὸ δ᾿ ἄκων. ἀρχὴν γὰρ λαβὼν ἣν οὐκ ἤλπιζεν, ἔσπευδε μὴ μόνον ἔχειν ἀλλὰ καὶ συνιστᾶν. ἐπιτιθεμένων δ᾿ ἄλλως καὶ τῶν ἔξωθεν ὁσημέραι

---

[184] Сиреч Иван Асен III и жена му Ирина.

[185] Сиреч Ивайло.

желанието и намерението ѝ. А той като чу, най-напред привидно прояви гордост и започна да важничи пред пратениците, възгордявайки се някак от това, че тя бърза да му подари властта, която той още не бе спечелил с меч и с по-силна войска. Все пак той прие условията на брака много трудно и тежко, за да не би някой да каже, че е женолюбец и женкар. Той се боеше да не би да го изнежат нравите на тия, които ще го приемат и които ще го презират много, но все пак се съгласи заради мира и за да не се пролива кръв в междуособни войни, но като човек, който не приема, а оказва благоволение. След като двете страни направиха клетвен договор, тя му отвори вратите и като го прие вътре, омъжи се за него[186]. И занапред поеха заедно знаците на царската власт и така тя си подготвя, както мислеше, достоен противник на императора. Слухът за случилото се, както беше естествено, доста много смути императора, който, измамен в надеждите си, реши да не пада духом, но заслужено се отврати от недостойната ѝ постъпка, с която тя опозорила рода си и погубила властта си, като я предала на един съвсем недостоен човек. Той не щял да може изобщо да се противопостави и да задържи връхлитащата татарска сила, която вероятно нападала него, от една страна, като открит враг, а, от друга, понеже бил ненавиждан от сънародниците си. Като казваше това, императорът не преставаше отново да изпраща войски, които да се бият, и подготвяше падането на Мария. А на Лахана омръзнаха нежностите на жена му и пожела да живее по варварски, като твърде много привличаше [на своя страна] окръжаващите го хора. Той наистина разбра, че [срещу него] от две страни се готви война и че нежностите, каквито и да са, не могат да отстранят военните опасности, така че често се караше с нея и ѝ нанасяше удари. Преценявайки, че заобикалящите го събития не търпят никакво бездействие, той привличаше на своя страна българските велможи и се готвеше за война срещу двете страни. Защото поради станалото той не можеше нито да сключи примирие с тохарците, нито да спечели хората на императора. Поради това ще-неще той се готвеше, доколкото можеше за борба. Защото, като получи неочаквано власт, той искаше не само да я има, но и да я заздрави. А като нападаха и неприятелите всекидневно отвън, той по неволя се принуждаваше καὶ ἄκων κατηναγκάζετο μάχεσθαι· ᾔδει γὰρ καὶ βάρβαρος ὢν πολεμήσοντα ἐξ ἀνάγκης τὸν μὴ θέλοντα πολεμεῖν. διὰ ταῦτα γοῦν τὰ κατ' ἐκεῖνον εὐώδει παραβολώτερον συμπλεκόμενα. οὔτε γὰρ οἱ ἀνθιστάμενοι ἴσχυον ὁρμαῖς ἀτακτούσαις ἀντισχεῖν, καὶ τὸ διευτονοῦν κατωρρώδει τὴν ἀπέντευξιν ὡς μὴ καλῶς χρησομένου τοῦ περιγεγονότος. τὸ γὰρ εἰς χεῖρας γενέσθαι τῷ Λαχανᾷ ἴσα καὶ θάνατος ἦν ἀπηνείας ἕνεκα τῆς ἐσχάτης· βάρβαρα γὰρ ἤθη τὰ ἐκ τύχης ἐλεεινὰ μαλάσσειν οὐκ οἶδεν. ὅθεν καὶ πολλάκις ταῖς τόλμαις περιγενόμενοι παραυτίκα τῷ τῶν δεινῶν ἐλπισμῷ, εἰ ἁλῷεν, συστελλόμενοι ἀπηντεύκτουν. πολλαῖς μὲν οὖν ταῖς ἀμφὶ τὸν Ἀσὰν δυνάμεσι περιεστοιχίζετο· πλὴν οἱ ἐκεῖθεν ἐνίοτε καὶ ἄκοντες ἁλισκόμενοι ἐν καλοῖς ἦσαν διὰ τὸ προσπίπτειν αὐτίκα, ὡς δῆθεν τυράννου μὲν ἀπαλλαγέντες, βασιλεῖ δὲ προσγινόμενοι. τοῖς δ' ἐντεῦθεν ἀπαγομένοις ἐκεῖ οὐκ ἦν ὑπονοηθῆναι τὸ σῶζον, ἀλλ' ὡς ἐχθροὶ ἐκολάζοντο.

---

[186] През пролетта на 1278 г. Вж. Petri Possini Observationes Pachymerianae, Pachymeres I, с. 761. Също П. Ников, Изправки към българската история, ИИД, V, 1922, с. 82—84. Златарски, История, III, с. 558.

VI, 8. Ἐτρίβοντο μὲν οὖν ἐντεῦθεν τὰ πράγματα, ἄλλην δ' ἀπαλλαγὴν τῶν κακῶν οὐκ ἦν ἐλπίζεσθαι εἰ μὴν τοῦ βαρβάρου ἀπαλλαγήν. ἧς καὶ ταχέως ἐξελθόντος ἐπιστάσης (τὸ γὰρ παλίμβολον τῆς τύχης ὅσον οὔπω οὐκ ἦν ἐκφυγεῖν ἐκεῖνον, καὶ μᾶλλον φυσηθέντα τὸ πᾶν ἐκ τύχης, ὅθεν καὶ Τοχάρων ἡττημένος ἠγγέλλετο) ταῖς ἐκεῖθεν φήμαις ἐμπίπτει Τερνοβίταις καιρὸς ὡρμημένοις πάλαι κατὰ Μαρίας, καὶ ἅμα παιδὶ προδιδόναι ταύτην ἔγνωσαν τοῖς τοῦ βασιλέως, τὸν Ἀσὰν δὲ δεσπότην ἐδέχοντο καὶ ὅτι καὶ ἐκ παλαιοῦ προσῆκέ οἱ τὰ Βουλγάρων πράγματα. ἡ μὲν οὖν Μαρία ἔμφορτος οὖσα τῷ ἀπὸ τοῦ βαρβάρου κυήματι, ἅμα παιδὶ Μιχαὴλ πρὸς βασιλέα (ἐπεδήμει γὰρ τῇ Ἀδριανοῦ τὸ δεύτερον) ἤγετο, καὶ φυλακαῖς ταῖς προσηκούσαις ἐδίδοτο· Ἀσὰν δὲ καὶ σὺν Εἰρήνῃ, οὐχ ἅμα, ἀλλὰ μετὰ τὸν Ἀσὰν ἐκείνη, βασιλέως πρὸς πόλιν ἐλθόντος ἀνέδην ἐπέβαινον Τερνόβου καὶ βασιλεῖς ἐφημίζοντο. ἦν δ' ἐν τοῖς μάλιστα τῶν προυχόντων καὶ Τερτερῆς, ᾧ δὴ καὶ μεγάλως τὸ Βουλγαρικὸν προσεῖχε καὶ παρ' ἐκείνοις ἐμεγαλίζετο. τοῦτον ἐβούλετο μὲν βασιλεὺς τῷ Ἀσὰν κατὰ γένος συνείρειν καὶ τιμᾶν ἀξιώμασι· τὸ γὰρ ἔφεσον ἀπ' ἐκείνου πρὸς βασιλείαν πολὺ ἦν, ἐπεὶ καὶ στρατηγῶν δῆλος ἦν τοῦ μείζονος ἐφιέμενος. ἐμποδὼν δ' ἦν τοῖς

да воюва. Той знаеше, ако и да беше варварин, че ще трябва да се сражава, макар да не желаеше. Затова завързваните от него схватки излизаха успешни. И противниците не бяха в състояние да се противопоставят на неочакваните му нападения и силната войска се боеше от срещата [с него], защото оцелелият щеше да си изпати зле. Да паднеш в ръцете на Лахана беше равносилно на смърт поради крайната му кръвожадност. Варварският му нрав не познаваше що е милост към нещастните по съдба. Поради това често, макар и по-силни, [нашите] се отправяха срещу врага паднали духом от страх пред ужасите, ако бъдат пленени. Лахана прочее беше обкръжен от многочислените войски на Асен. Освен това някои от противната страна, пленени против волята им, се чувстваха добре веднага след случилото се, тъй като се отървахa от тиранина и се присъединяваха към императора. А пък отмъкнатите там наши войници не можеха да се надяват на спасение, тъй като бяха наказвани като врагове.

VI, 8. После работите се протакаха и не можехме да се надяваме на друго спасение от злините освен на надеждата да се спасим от [самия] варварин. Това спасение от излезлия [на поход варварин] настъпи скоро. Той наистина не можеше да избегне променливата съдба, на която надменно приписваше всичко, и затова бе известено, че е бил победен от тохарците. Търновци, които отдавна бяха настроени против Мария, благодарение на слуховете за станалото намериха удобен случай и решиха да я предадат заедно със сина ѝ на хората на императора и приеха деспот Асен[187], защото нему отдавна принадлежеше управлението на българите. Мария, която беше бременна с плода на варварина, бе отведена със сина си Михаил при императора (той за втори път беше дошъл в Адрианопол) и бе предадена на подходяща стража. А Асен с Ирина, след като императорът пристигна в Константинопол, влязоха безпрепятствено в Търново — не заедно, а тя след него — и бяха приветствувани като царе. Между най-изтъкнатите [в Търново] беше и Тертер[188], към когото българският народ беше много привързан и когото българите величаеха. Него императорът пожела да го сроди с Асен и да го почете с достойнства, защото у него влечението към царската власт беше голямо. Освен това беше явно, че макар да беше стратег, той се домогваше до по-висок пост. На плановете [на импераβουλευομένοις ἡ σύζυγος· τὸ γὰρ ταύτην ἔχοντα τιμᾶσθαι μηδὲν τῷ Ἀσὰν κατὰ γένος συνάπτοντα λαμβάνοντος μᾶλλον ἦν πρὸς τὴν τῶν ἐπινοουμένων ἄναψιν πλεῖστον ὅσον ἐμπύρευμα. διὰ τοῦτο καὶ δεσπότην προτείνει ποιεῖν, εἰ τῆς γυναικὸς ἀποστὰς τῇ τοῦ Ἀσὰν αὐταδέλφῃ εἰς γάμον συνάπτοιτο. γέγονε ταῦτα, καὶ ἡ μὲν τοῦ Τερτερῆ σύζυγος ἀχθεῖσα πρὸς βασιλέα τῇ κατὰ Νίκαιαν ἐδίδοτο φυλακῇ σὺν υἱῷ Ὀσφεντισθλάβῳ, ἡ δὲ τοῦ Ἀσὰν αὐταδέλφη τῷ Τερτερῇ συνηρμόζετο καὶ τῷ τῆς δεσποτείας ἀξιώματι ἐσεμνύνοντο. (9) εἶχεν οὖν ἐντεῦθεν τῷ δοκεῖν τὰ μεγάλα πρὸς συνεργίαν ὁ Ἀσάν, καὶ χρόνος ὀλίγος αὐτῷ παρεμέτρει τὴν τῶν Βουλγάρων ἀρχήν. ἐπεὶ δὲ ταχέως παρακεκίνηντο (πρὸς γὰρ ἀπιστίαν τὸ Βουλγαρικὸν ἕτοιμον, καὶ αὔραις ἔστι πιστεύειν ἀνέμων μᾶλλον ἢ σφῶν εὐνοίαις), καὶ τὰ τῆς ἀποστασίας δῆλοι ἦσαν ἐκ πολλῶν ὠδίνοντες, ἀνεζωπύρει δὲ τούτοις τὰς γνώμας καὶ Τερτερῆς κρυφηδὸν βασιλειῶν ἤδη, καὶ τἄλλα φανερὸς ὢν εἰς τὴν ὑποψίαν μόνῳ τῷ πρὸς τὸν Ἀσὰν κήδει συνεκαλύπτετο, ὡς μὴ προδώσων δῆθεν ᾧ κατὰ γένος συνήπτετο, συνιδὼν τὴν παρακίνησιν ὁ Ἀσάν, καὶ δείσας μὴ προλαβόντες ἐκρήξοιεν τὸ δεινὸν καὶ οὐ φευκτὰ ἔσοιτό οἱ τὰ τοῦ κινδύνου, τὴν φυγὴν εὐσχημόνως ποιεῖσθαι προυνόει καὶ μετὰ κέρδους. ὃ δὴ καὶ ἐνεχώρει κερδαίνειν· τὰ γὰρ τῆς βασιλείας τῶν Βουλγάρων πράγματα, ἃ δὴ καὶ κάλλιστ' εἶχον ἐκ Ῥωμαίων λαβόντες ἡττημένων τὸ πάλαι στρατηγοῦντος τοῦ βασιλέως Ἰσαακίου, καί γ' ἐνέκειντο τεθησαυρισμένα κατ' αὔχημα μᾶλλον ἢ κατὰ χρείαν, ταῦτα δὴ καὶ ὅσον ἦν ἄλλο φόρτος εὐκόμιστος, ἐν ἀφανεῖ περισχόντες σάκκοις καὶ τῆς πόλεως ἐκβαλόντες νυκτός, αὐτοὶ τοὺς εἰς ἄνεσιν καὶ τρυφὴν τῶν ἔξω που τῆς πόλεως ἐξιόντας σχηματισάμενοι ἀνὰ κράτος εὐθὺ τῆς μεγαλοπόλεως ἔφευγον. καὶ πρῶτον εἰς Μεσέμβρειαν ὑπὸ βασιλικῷ κόμπῳ καὶ τρυφῇ φθάσαντες, ὡς μὴ φωραθεῖεν φεύγοντες, οὕτω θαλάσσῃ χρῶνται καὶ πλῷ πρὸς τὴν πόλιν. καὶ δὴ καταχθέντας τῇ κατὰ τὸν Ἀνάπλουν τοῦ ἀρχιστρατήγου μονῇ ἐφ' ἡμέραις ὁ κρατῶν οὐκ ἐδέχετο, ἐν ὀργῇ παντοίᾳ τὴν ἀποφυγὴν ποιούμενος, καὶ τὸ πᾶν δειλίᾳ καὶ κακανδρίᾳ ἐκείνων κρίνων, πολλῶν πόνων καὶ ἐξόδων ἀπώλειαν ἐν βραχεῖ. ὡς δ' οὐκ ἦν τὸ γεγονὸς ἀναλύεσθαι, ἐκείνοις μὲν ἐκχωρεῖται τὴν πόλιν εἰσελθόντας τῷ βασιλεῖ ἐμφανίζεσθαι, ὁ δέ γε Τερτερῆς ἐρήμης βασιλείας, θελόντων καὶ τῶν Βουλγάρων, ἐπι-

---

[187] През февруари 1279 г. Вж. Златарски, История, III, с. 565. [188] Георги Тертер I, бъдещ български цар (1280—1292).

тора] пречка беше женитбата [на Тертер]. Ако [императорът] приеме да го почете, като има такава жена, без да е сроден с Асен, това значеше по-скоро да се прибави найголямо количество масло към пламъка на неговите замисли. Затова той му обеща да го направи деспот, ако се разведе с жена си и се ожени за родната сестра на Асен. Това и стана, а жената на Тертер бе отведена при императора и бе предадена под стража в Никея заедно със сина си Светослав. Родната пък сестра на Асен се омъжи за Тертер и бе почетена с деспотско достойнство (VI, 9). Асен имаше привидно полза от сътрудничеството [с Тертер] и властта над българите държа малко време. После те веднага се разбунтуваха (българският народ е склонен към измяна и по-скоро може да се вярва на полъха на вятъра, отколкото на тяхната преданост). Явно беше, че те отдавна са замислили измяната. А умовете им възбуждаше Тертер, който тайно вече се домогваше до царската власт. Той и иначе беше подозиран, но се прикриваше само с родството си с Асен — нима той наистина ще предаде този, с когото се е сродил? Асен съзираше бунта и се боеше да не го изпреварят с извършване на злото, та да не може да избегне опасността. Затова той замисли да устрои бягството си под благовиден предлог и с печалба. И му се удаде да сполучи. Съкровищата на българското царство, най-хубавите, които имаха, взети от победените ромеи, когато ги предвождаше едно време император Исак[189], лежеха в съкровището по-скоро за показ, отколкото за употреба. Тези неща и каквото имаше друго удобно за носене те скрили под дрехите си и излезли през нощта от града. Те се престорили на хора, които излизат извън града, за да си отдъхнат и отпочинат, но веднага с най-голяма бързина избягали към великия град. Най-напред влезли в Месемврия с царска пищност и разкош, за да не бъдат открити като бегълци. Така те се отправили с кораб по морето към Константинопол. Когато пристигнаха в манастира на архистратега при Анапл[190], владетелят не ги приемаше дни наред, разгневен много заради бягството им. Той приписваше всичко на техния страх и малодушие, с които провалиха за кратко време резултатите на толкова труд и походи. Но тъй като останалото не можеше да се поправи, бе им позволено да влязат в Константинопол и да се представят на императора. А Тертер по желанието λαμβάνεται. καὶ ἐν ὀλίγῳ ἅμ' ἠκούετο βασιλείας ἐπιβαίνων, καὶ ἅμα ταινιούμενος κατὰ βασιλέας ἐγκρατὴς τῶν Βουλγάρων ἦν. ἀλλὰ ταῦτα μὲν ἐς τοσοῦτον, τὰ δ' ἐντεῦθεν ἐσαῦθις ἐροῦμεν.

---

[189] Исак II Ангел, виз. император (1185—1195). Войската му била победена в Тревненския проход през 1190 г. [190] Анапл, местност и селище близо до Цариград, известни с храма „Св. Архангел Михаил", издигнат от Константин Велики.

(I, pp. 430_{18}—449_{18})

VI, 19. Τοῦ δ' αὐτοῦ ἔτους, ἐπεὶ οὐκ ἦν τὸν Λαχανᾶν ἠρεμεῖν ἀφαιρεθέντα καὶ Τερνόβου καὶ συνοικούσης, λαὸν συναθροίσας τὸν ἱκανὸν τοῖς Τερνοβίταις περιεκάθητο. καὶ ἔτι μὲν τοῦ Ἀσὰν ἐντὸς ὄντος, ἔχων μεθ' ἑαυτοῦ Τζασίμπαξιν πρωτοστράτορα, ὃν καὶ βασιλεὺς ἐτίμα τῷ αὐτῷ ὀφφικίῳ Ἀσὰν εὐνοοῦντα τὸ πρότερον, τὰς τῶν Ῥωμαίων δυνάμεις ἔδρα τὰ χείριστα. καὶ γὰρ πρῶτον μὲν περὶ δέκα χιλιάδας οὔσας καὶ συμμαχούσας ἔξωθεν τοῖς ἐντός, ἃς ὁ πρωτοβεστιαρίτης Μουρῖνος ἦγεν ἐπὶ τῷ Διαβαινᾷ στρατοπεδευσάμενος, Λαχανᾶς πολλοῖς μὲν μετ' ὀλίγων προσβάλλει, καὶ ἑπτακαιδεκάτῃ μηνὸς Ἀνθεστηριῶνος συρράξας πόλεμον σφίσι κατὰ κράτος νικᾷ, καὶ πολὺν φόνον ἐργάζεται, οὓς μὲν κατὰ πόλεμον οὓς δὲ καὶ αὐτὸς κατασχών, ἀπηνῶς ὕστερον κατασφάξας. αὖθις δὲ μετ' ὀλίγον Ποσειδεῶνος πεντεκαιδεκάτῃ τοῖς ἀμφὶ τὸν Ἀπρηνὸν πρωτοβεστιαρίτην ἐπεισπεσὼν κατὰ τὸν ἔξω ζυγόν, ὡσεὶ πέντε χιλιάδας μαχίμων ἄγοντα, τοὺς μὲν εἰς τέλος κατηγωνίσατο, τὸν δ' ἔργον δεικνύει μαχαίρας. καὶ πολλὰ τότε λυσσομαχῶν κατειργάζετο. ὕστερον δὲ ἀποχωρήσαντος τοῦ Ἀσάν, τοῦ Τερτερῆ δὲ τὴν βασιλείαν λαβόντος, ἔγνω Νογᾷ προσχωρεῖν, καὶ οἱ ἀμύνειν καθικετεύει. οὐ μὴν δὲ καὶ βασιλεὺς ἑτέρωθεν κατημέλει, ἀλλὰ καὶ αὐτὸς πρὸς Νογᾶν τὸν Ἀσὰν πέμπει συνάμα καὶ δώροις πλείστοις, ἀξιῶν μὴ παριδεῖν τὸν ἐκ γένους Βουλγάρων ἄρχοντα, ἀλλὰ προσεπαμύνειν ἀδελφῷ ὄντι καὶ τῶν καθ' αὐτὸν δικαίων χρῄζοντι. ὁ μέντοι γε Νογᾶς δέχεται μὲν καὶ Λαχανᾶν ἐλθόντα πρότερον, δέχεται δὲ καὶ Ἀσὰν εὐμενῶς. πλὴν δῶρα μὲν δέκτο καὶ ἀμφοτέρων, πόνον δ' ἀμέγαρτον ὤφελλε. κατέχων γὰρ ἐκείνους ἐπὶ πολύ, καί γε περιφέρων μεθ' ἑαυτοῦ (ἡ γὰρ πρεσβεία μία ἦν ἀμφοτέροις κατὰ τοῦ Τερτερῆ, εἰ καὶ καθ' ἑαυτοὺς ἠμφισβήτουν πρὸς ἀλλήλους τῆς βασιλείας καὶ πλεῖστον ὅσον διενηνεγμένοι ἦσαν) οὐδὲν ἐκεῖνος ἐποίει, ἀλλ' ἔτριβε χρόνον, ποτὲ μὲν τούτῳ ποτὲ δὲ θατέρῳ προσυπισχνούμενος. ἐδούλευον δ' ἐκεῖνοι καὶ ἄκοντες ταῖς ῥοπαῖς. τέλος καθίζει συμπόσιον, καὶ ὁ πότος ἐς πολὺ προέβαινε πίνουσιν. ὡς δὲ μέθυος ἦσαν

на българите завзе изоставената царска власт. И скоро след това се чу, че се възкачил на царския престол и че, коронован като цар[191], станал владетел на българите. Това са събитията досега, а за следващите ще разкажем после.

III, 30- - - [270] Но той[271] имаше за съпруга дъщерята на Тертер[272], родена му от сестрата на Асен[273], която бе взел, след като даде сигурни клетви. Той имаше преди това друга — дъщерята на севастократора Йоан[274] от Запад. А преди нея — трета, с която се раздели без никаква причина. Нея, която бе напълно законна, той изостави и се сврза с дъщерята на Йоан. Но още докато бе жива законната му жена, той я отпрати при баща ѝ, без да имаше някаква справедлива причина да се разведе с нея, и се ожени за дъщерята на Тертер. Тази му беше трета след законната. А първата, докато беше жива, изобличи следващите като незаконни. Тъй като императорът бе чул, че първата му жена е умряла и сега след нея е позволено на тази, която ще се омъжи за него, да бъде законна, като тези след първата бъдат отстранени като незаконни, той прочее само разузна дали варваринът, който вече бе се склонил към мир, като отпрати дъщерята на Тертер, би пожеκαὶ τέως ἐπ' αὐταδέλφῃ τῇ Εὐδοκίᾳ ἤδη κατὰ τὴν πόλιν οὔσῃ κεχηρωμένῃ τοῦ Ἰωάννου. ὁ δὲ μηδὲν μελλήσας, ἀλλ' ὡς τὰ μέγιστα καὶ ληψόμενος, ἕτοιμος ἦν ἐφ' ὁμολογίαις τε καὶ συνθήκαις τὴν τοῦ Τερτερῆ ἀποπροσποιεῖσθαι καὶ τὴν τοῦ βασιλέως δέχεσθαι ἀδελφήν· ἔσπευδε γὰρ τὰς παρὰ τοῦ βασιλέως ἐλπίδας, καὶ ὡς μεγάλων ἐπιτευξόμενος ἤθελε τὸ συνάλλαγμα, ἐπεὶ καὶ πρὸς τὴν ἀρχὴν ἐκραδαίνετο τοῦ ἀδελφοῦ Στεφάνου προήκοντός τε τῷ χρόνῳ καί γε τῷ δικαίῳ προτιμωμένου, εἰ κἀκεῖνος ἐπίχωλος ὢν καὶ μῶμον φέρων ἐν σώματι, ἔτι δὲ καὶ ἀπραγμοσύνῃ συζῆν ἐθέλων, χώραν τὴν ἱκανὴν ἀποτεμόμενος ἑαυτῷ τὴν τῆς ἀρχῆς ἀσχολίαν πρὸς ἐκεῖνον ἠφίει, τοῖς παισὶν ἑαυτοῦ τὴν ἀρχὴν φυλάξοντα μετὰ θάνατον. ὥστε καὶ διὰ ταῦτα παντοίως ὑπῆκτο τῷ τοῦ βασιλέως θελήματι, καὶ προσελιπάρει φίλος γενέσθαι καὶ συγγενής. τὸν δέ γε Κοτανίτζην καὶ λίαν καθυπισχνεῖτο παραδιδόναι· τὸν γὰρ γαμετῆς προϊέμενον οὐκ εἰκὸς εἶναι ἀλλοτρίου φείδεσθαι. τούτοις κατανεύει καὶ βασιλεύς, καὶ ἤδη τὴν ἀδελφὴν παντοίως ὑπέρχεται, νόμιμόν τε τὸ συνάλλαγμα βεβαιούμενος· ἡ γὰρ νόμιμος ἐτεθνήκει, ἡ δὴ ταῖς μὲν ἐπιούσαις περιοῦσα ἔτι τὸ νόθον εἰργάζετο καὶ παράνομον, τῇ δὲ ἐφεξῆς ἔκτοτε τελευτήσαντα νόμιμον δίδωσι καὶ ἄξιον προσέτι ἀξίᾳ. ἀλλὰ καὶ πόλλ' ἄττα λέγων οὐκ ἔπειθεν· ἠβούλετο γάρ, ὡς ἐῴκει, ἐκείνη τῷ ἀνδρὶ φυλάττειν τὰς πίστεις καὶ τελευτήσαντι, καὶ μὴ ὅτι γε κράλῃ Σερβίας, ἀλλ' οὐδὲ καὶ τούτου πολλῷ μείζονι εἰς λέχος δεύτερον συνιέναι. — — —

---

[268] Оттук, сиреч от византийска страна. [269] Стратопедархът имал девети ранг в йерархията. Отговарял за въоръжението и снабдяването на войските. Вж. Bréhier, цит. съч., с. 397. [270] В предходния текст се разказва за изпратения срещу сърбите куропалат Глава. Той видял, че войската му не можда се справи с внезапните нападения на сърбите, и предложил на император Андроник да сключи мирен договор с краля им. Императорът одобрил този съвет, но като знаел, че сърбите са непостоянни, решил да обвърже сръбския крал, като го ожени за сестра си или дъщеря си. [271] Стефан Урош II Милутин, сръбския крал. [272] Дъщерята на Георги I Тертер — Ана. [273] Иван Асен III. [274] Йоан, севастократор, вж. тук бел. 222.

(II, pp. 272_{17}—274_{14})

III, 31. . . . ἀπογνοὺς δ' ἐκεῖθεν ὁ βασιλεὺς τῆς μετὰ τῇ ἀδελφῇ πείρας, τὸν κράλην Σερβίας ἀδοξότερον ἢ πρὸς οἰκειότητα τὴν ἐξ ἰδίας θυγατρὸς ἔκρινε, μείζονα δ' αὖθις ἢ καταφρονεῖσθαι. διὰ τοῦτο καὶ τὸν καιρὸν τῷ ἐλλείποντι προστιθεὶς ἀξιώτερον ἐποίει πρὸς τὴν ἐπὶ θυγατρὶ συζυγίαν. ἦν οὖν πάνυ ἀστεῖον τοῦτο τὸ θυγάτριον, οὔπω τὸν ἕκτον παραλλάττον ἐνιαυτόν, ἀγαπητὸν μὲν ἑαυτῷ, ἀγαπητὸν δ' ἐκτόπως καὶ τῇ μητρί. ἐπὶ τούτῳ τὸ κῆδος ἠβούλετο συνιστᾶν, οὐ κατὰ χρείαν μᾶλλον ἢ κατ' ἀνάγκην.

(II, p. 275_{5-13})

III, 31. . . . καὶ δὴ ὅλον οἰκειοῦται διὰ πρεσβείας τὸν κράλην, μαθόντα τὴν ἐπὶ θυγατρὶ ἀντὶ τῆς ἀδελφῆς τοῦ βασιλέως συγγένειαν· καὶ ὅρκοι τὸ λοιπὸν προὔβαινον ἐπὶ τούτοις καὶ συνθεσίαι, καὶ ἡ δεσπόσυνος κράλαινα

лал да се ожени, и то за родната му сестра Евдокия, която е вече в столицата като вдовица на Йоан[275]. А кралят[276] никак не се поколеба, но като човек, който ще получи най-голямата облага, беше готов при споразумение и договор да отпрати дъщерята на Тертер и да вземе сестрата на императора. Той наистина подхранваше надеждите, породени от императора, и желаеше договора, тъй като щял да спечели много. Той наистина се боеше за властта, понеже брат му Стефан[277] бе по-възрастен и имаше предимство по закона, макар да беше куц и недъгав и освен това не желаеше да участвува в политическия живот. За себе си той си бе отделил достатъчно земя, а политическата власт беше предоставил нему, който щеше да я запази след смъртта му за неговите деца. Така че и поради това той напълно се съгласи с желанието на императора и настоятелно молеше да му бъде приятел и роднина. И обеща твърдо да предаде Котаница. Защото, който жертвувал жена си, не било редно да щади чужденеца. С това се съгласи и императорът. И вече всякак се мъчеше да спечели сестра си, желаейки да изпълни според закона споразумението. Защото законната съпруга била умряла, а от останалите тази, която още била жива, била неистинска и незаконна. На следната по ред той предлагал човек, който се е освободил от законния брак, и при това човек, достоен за достойна жена. Но той не я убеди, макар и да каза много други неща. Както беше редно, тя желаеше да запази дадената клетва към мъжа си, макар и починал, и не с краля на Сърбия, но и с много по-голям от него човек не щяла да сподели за втори път легло.

III, 31- - - След това императорът се отказа от опита си със сестрата. Той реши, че кралят на Сърбия е твърде недостоен да се сроди с него чрез дъщеря му, но че все пак е твърде силен, за да бъде пренебрегнат. Страхувайки се от неуспеха, той реши да го ожени за дъщеря си. Тази дъщеричка беше много нежна, още ненавършила шест години, обичана от бащата, обичана извънредно много и от майката. Затова той искаше бракът да се състои, но не поради нужда, а по неволя.

III, 31- - - И наистина той[278] спечелва напълно чрез пратеничество краля, когато този се научил, че се сродява с императора чрез дъщеря му, а не чрез сестра му. Най-после бяха направени клетви и споразумения по този въпрос и господарката бе наречена „кра-

---

[275] Йоан, управител на лазите. [276] Стефан Урош II Милутин. [277] Стефан Драгутин, по-големият брат на Стефан Урош II Милутин. [278] Андроник II Палеолог.

ἐπικέκλητο. μόνον δ' ἦν ἀπαντᾶν λοιπὸν κατὰ τὴν Θεσσαλῶν μητρόπολιν βασιλέα, ὡς διαπρεσβευομένοις συνέκειτο, καὶ οὕτως ἐλθεῖν κράλην, καὶ τὴν τοῦ Τερτερῆ μὲν ἀποστέλλειν τῷ βασιλεῖ, προδιδόναι δὲ καὶ τὸν Κοτανίτζην, λαμβάνειν δὲ τὴν τοῦ βασιλέως γνησίαν, ἣν δὴ καὶ Σιμωνίδα ἐκυριωνύμουν Ῥωμαῖοι, καὶ οὕτως αὐτῇ συνοικοῦντα, πλὴν τὸν συναφείας καιρὸν ἀναμένοντα, ἐν παισὶ τετάχθαι καὶ φίλοις γνησίοις τῷ βασιλεῖ.

(II, p. 276_{5-15})

IV, 1. *Μηνὸς δὲ Ληναιῶνος ἐνεστηκότος ὑπὸ χιόνι ἐσκιρρωθείσῃ τῇ γῇ καὶ πάγοις στερροῖς τοῖς ἐκ ταύτης, ὡς καὶ αὐτῶν ἔτι τῶν ἀεννάων ποταμῶν ἐπεχομένων τὸ ῥεῦμα διὰ τὴν ἐν τῷ βάθει τοῦ ὕδατος πῆξιν, παρ' ἣν αἰτίαν καὶ γῇ συστελλομένῃ τῷ κρύει ἐζήμει τὰ φυέντα καὶ τὰ ἐσπαρμένα παντάπασιν ἠχρειοῦντο, ὀψὲ παρασκευῆς ὑπὸ λύχνων ἁφάς, τῶν κεκοιμημένων κατ' ἔθος μνημονευομένων ἀρχαῖον, ἔξεισιν ὁ βασιλεὺς καὶ τῇ Δριπείᾳ ἐφ' ἡμέραις αὐλίζεται. καὶ ὁ μὲν τέως ἐπεῖχε τὸν ἐς τὸ πρόσω δρόμον, διδοὺς μὲν δεσποίνῃ ἐνευκαιρῆσαι τὰ εἰς τὴν ἔξοδον, διδοὺς δὲ βασιλεῖ Μιχαὴλ συνάμα συζύγῳ κατὰ σχολὴν τὰ τῆς ἀπάρσεως ἑτοιμάζεσθαι, καιρὸν δὲ καὶ τοῖς ἀμφὶ τὸν δέσμιον ἀδελφὸν ὑφιείς, ἐπεὶ κἀκεῖνον ἀπάγεσθαι ἔγνω, κατὰ τρόπον ὑπεξιέναι. καὶ ὁ μὲν ταῦτα· Ἰωάννης δὲ ὁ τηνικάδε πατριάρχης, ἐπεὶ οὐδ' ἀφανῆ ἦσαν τὰ τῷ βασιλεῖ πραττόμενα ἀλλ' ἀνάπυστα γεγονότα καὶ τῷ τυχόντι εἰκὸς ἦν κἀκεῖνον μὴ ἀγνοεῖν, εἰ καὶ ὁ βασιλεὺς ἐν δευτέρῳ εἶχε τὸ δῆλα γίνεσθαι ταῦτα τῷ πατριάρχῃ οὐχ ἧττον ἢ καὶ τοὺς τῆς θαλάσσης χόας, ὡς λέγεται, ἐξιὼν ὡς δῆθεν συντακτηρίους ἀποδώσων τῷ βασιλεῖ, καὶ τὰ περὶ τούτου κινεῖν ἐν πρώτοις ἐβούλετο. βασιλεὺς μὲν γάρ, ἐπεὶ πόλλ' ἄττα τὰ προσιστάμενα τῷ συναλλάγματι κατεφαίνετο, τό τ' ἐφ' ὁρκωμοσίαις τὸν κράλην φρικταῖς τὴν τοῦ Τερτερῆ προσλαβέσθαι, τό τε νομίμως δοκεῖν συνεζεῦχθαι, ἥ τ' ἀφηλικίωσις τῆς νεάνιδος, καὶ τὸ φθάσαι τὸν Σέρβον τὴν τἀδελφοῦ Στεφάνου γυναικαδέλφην, εἴτ' οὖν καὶ αὐτοῦ βασιλέως, τὴν τοῦ ῥηγὸς Οὐγγρίας κόρην, κατὰ χρείαν τοῖς τῆς Σερβίας τόποις ἐπιστᾶσαν καὶ τὰ μοναχικὰ ἠμφιεσμένην πορνικῶς γνῶναι. ταῦτ' εἰς ἓν συναγόμενα αὐτάρκη τῇ πράξει προσίστασθαι κατεφαίνετο. ὁ γοῦν βασιλεὺς διὰ ταῦτα, ἅμα μὲν τὰ πολλὰ θεραπεύων, ἅμα*

лица“. Както бе уговорено с пратениците, оставаше само после императорът да отиде в главния град на тесалийците[279], а също така да дойде кралят, за да изпрати на императора дъщерята на Тертер, да предаде и Котаница и да вземе истинската дъщеря на императора, която ромеите наричат със собственото ѝ име Симонида. И така той живял с нея, само че изчаквал да порасне, и се наредил между децата и знатните приятели на императора[280].

IV, 1. В началото на месец линеон[281], когато земята бе скована от студ и покрита от твърд лед, така че вече и постоянно течащите реки спряха течението си поради дебелия лед, вследствие на което замръзналата почва порази растенията и напълно унищожи посевите, [тогава] късно вечерта в петък, когато по стар обичай се поменават покойниците, императорът излезе и се разположи за няколко дни в Дрипия[282]. И той за известно време прекъсна пътуването си, за да даде на господарката възможност да се подготви за път, на император Михаил[283] да се приготви заедно със съпругата спокойно за тръгване, а също така да остави време на охраната на затворения брат[284] да излезе подготвена, тъй като той реши да отведе [със себе си] и него. Това [правеше] императорът. А естествено беше и тогавашният патриарх Йоан[285] да знае това, което вършеше императорът, защото не беше скрито, но бе станало известно на всеки, въпреки че императорът не бързаше да осведомява патриарха за това, както и бог според поговорката не бърза да осведоми [хората] за безмерното количество вода в морето. Патриархът, излизайки уж да се сбогува с императора, желаеше главно да засегне въпросите около този случай. Императорът [се страхуваше], тъй като наистина много неща се оказаха, че пречат на споразумението, а именно: че кралят беше взел дъщерята на Тертер, след като бе дал ужасни клетви, и изглеждаше, че бракът е бил сключен законно, че момичето е много малко, че сърбинът бил посегнал на балдъзата на брат си Стефан и на самия император — дъщерята на унгарския крал[286], която трябвало да отиде в Сърбия, макар и да била облечена в монашески дрехи. Това, общо взето, пречеше, изглежда, достатъчно много на работата.[287] Поради това императорът δέ γε καὶ λογιζόμενος ὡς εἴ τι καὶ παρασπονδοίη ὁ κράλης ἐπὶ τοῖς συγκειμένοις αὐτῷ τε καὶ Τερτερῇ, οὐδὲν ἐσεῖται μῖσος τῇ ἐκκλησίᾳ μὴ ἀνάγκην ἐχούσῃ καθ' ἱερὰς τελετὰς διὰ τὴν ἀμιξίαν ἐκείνου μιμνήσκεσθαι, διὰ ταῦτα θαρρῶν οἷς ἐλογίζετο, οὔτ' ἐκοινοῦτο τῷ πατριάρχῃ τὴν πρᾶξιν καὶ ὅλαις ὁρμαῖς ἐχώρει διαπραξόμενος τὸ συνάλλαγμα. πατριάρχης δ' αὖθις ὑβριοπαθῶν ἴσως ὑπερφρονούμενος ἐν τοιούτοις οἷς καὶ μᾶλλον ἔδει τῆς αὐτοῦ γνώμης, δοκῶν δὲ καί τι λέγειν ἄξιον εἰς τὸ καὶ ἑαυτὸν δεικνύναι μετεῖναι τῶν τοιούτων οὐχ ἧττον, καίτοι γε καὶ τῶν ἐνοχῶν ἀνεὶς τὴν τοῦ κράλη μητέρα ἀξιώσασαν πρότερον ἐφ' οἷς ἐπὶ τῇ τοῦ Τερτερῆ ἐνείχετο, εὔλογα λέγειν ἐδόκει. ὡς τοίνυν βασιλεὺς ᾔδει εἰς τοῦτ' ὄντα τὸν πατριάρχην, προῆγε τοῦτον εἰς Σηλυβρίαν, αὐτὸς ἐν Δριπείᾳ καὶ ἔτι παρακαθήμενος.

---

[279] Сиреч Солун. [280] Т.е. бил приет в семейството на владетелите, чийто „баща“ бил византийският император. Вж. Фр. Дьолгер, Средновековното „семейство“ на владетелите и народите и българският владетел, СпБАН, кн. LXVI, с. 189 сл. [281] Линеон — февруари (1299 г. Вж. Petri Possini Observationes Pachymerianae, Pachymeres, II, с. 848). [282] Дрипия, между Анастасиевата стена и Цариград. [283] Михаил, син на Андроник II Палеолог и негов съимператор. [284] Деспот Константин. [285] Йоан XII Косма, цариградски патриарх (1294—1303). [286] Тази дъщеря на унгарския крал е сестра на съпругата на Стефан Драгутин и на съпругата на Андроник II Палеолог. [287] Т.е. на замисления брак със Симонида.

(II, pp. 278_9—280_{17})

32. *Crales Serbiae uxorem suam, filiam Terteris, imperatori tradit*

IV, 3 - - - προὔργου δ' ἦν τῷ τοῦ Σέρβου, καὶ πέμπων ἀνελάμβανέ τε τὰς κοινὰς συνθεσίας, καὶ κατηνάγκαζεν ἐγχειρίζειν μὲν Ῥωμαίοις καὶ Κοτανίτζην καὶ τὴν τέως εἰς γαμετὴν οὖσαν, ἀντιλαμβάνειν δ' εἰς γυναῖκα νόμιμον τὸν τοῦ βασιλέως θυγάτριον. (4) ἀλλ' ἐκεῖνος δεδιὼς ἴσως μή πως παραλογισθείη τὰς ὁμολογίας, καὶ δῷ μὲν οὐκ ἀντιλάβῃ δέ, ἢ καὶ αὐτὸς ἐμπέσοι γε εἰς ἀρκύστατα, ὑπὸ πιστοῖς ὁμήροις ἐζήτει τὰς πράξεις γίνεσθαι· οὕτω γὰρ καὶ ῥᾳδίως ποιεῖν τὰ συγκείμενα, εἰ αὐτὸς ἀξίως προσλήψαιτο τοὺς ὁμήρους, ὑφ' οἷς συνισχημένοις ἑτοίμως καὶ αὐτὸς ἀπαντᾶν. ἑνὸς γὰρ τοῦ τὴν παῖδα τοῦ βασιλέως γυναῖκα σχεῖν τὰ πάντα προΐετο· εἰ δ' ἀστοχοίη τούτου ἔκ τινος ἀπάτης, ὡς ὑφωρᾶτο, ἐπὶ κεφαλαίῳ ζημιοῦσθαι δικαίως ᾤετο. ὅθεν καὶ ὡς εἶχε κατησφαλίζετο, καὶ λαμβάνειν ὁμήρους διὰ τοὺς αὐτοῦ, ἀντιδιδόναι δ' ὁμήρους διὰ τὴν τοῦ βασιλέως παῖδα ἠξίου τε καὶ ἀντηξιοῦτο, βασιλέως ἐπὶ τούτοις νεύσαντος. πέμπονται τοίνυν ἑκατέρωθεν ὅμηροι, καὶ κατὰ μέσον τὸν ποταμὸν Βαρδάριον ἀνταλλάττονται, τοῦ Σέρβου δόντος μὲν καὶ Κοτανίτζην καὶ τὴν τοῦ Τερτερῆ, ἀντιλαβόντος δὲ τὴν τοῦ βασιλέως παῖδα, μεθ' ὅτι πλείστης τῆς σπατάλης τε καὶ δορυφορίας πεμφθεῖσαν. καὶ δὴ καὶ παρὰ τοῦ Ἀχριδῶν Μακαρίου τελεσθεισῶν τῶν συνήθων ἱερολογιῶν τὰς τιμὰς προσηκούσας ἐδέχετο, ὅτι καὶ αὐτὸς ὁ κράλης μεῖζον ἢ κατὰ

беше много загрижен, но същевременно мислеше, че църквата не ще може да го отлъчи дори ако кралят наруши споразумението между него и Тертер, тъй като тя не беше длъжна да го споменава в светите тайнства, понеже той не беше в общение с нея. Затова той[288] беше смел в плановете си, не споделяше с патриарха [нищо] по работата и с много голямо усърдие отиваше да изпълни споразумението. А пък патриархът, дълбоко оскърбен естествено като пренебрегнат в тези неща, за които най-вече бе необходимо неговото мнение, смяташе да каже и нещо важно, за да посочи, че и той има не по-малко отношение към тези неща. Като изключи обаче от всяка вина майката на краля, която преди бе сметнала справедливи условията, при които той се бе свързал с дъщерята на Тертер, той реши да говори ясно. Императорът знаеше, че патриархът има такива намерения и затова го изпрати в Силиврия, а сам все още пребиваваше в Дрипия.

32. *Сръбският крал предава на императора жена си, дъщерята на Тертер*

IV, 3- - - [За императора][289] беше важно уговореното със сърбина. И като проводи пратеници, той потвърди взаимното споразумение и настояваше да предаде на ромеите Котаница и тази, която дотогава имаше за съпруга[290], а да вземе срещу това за законна жена дъщеричката на императора. (4) Но онзи естествено се уплаши да не бъде измамен в договора и да даде, а да не получи или и сам да падне в примката. Затова той поиска работата да се извърши, като се дадат сигурни заложници, при наличието на които да бъде готов да се срещне. Той жертвуваше всичко срещу единственото нещо — да има за съпруга дъщерята на императора. Ако не сполучел в това поради някаква измама, той смяташе за справедливо да бъдат наказани със смърт. Затова бързо се осигуриха взаимно, като си поискаха заложници — той да ги получи заради своите хора, а другият да ги даде заради детето на императора. При тия условия императорът се съгласи.[291] От двете страни се изпращат заложници, които се разменят посред р. Вардар. Сърбинът предаде Котаница и дъщерята на Тертер, а в замяна получи момичето на императора, изпратено с най-богати украшения и охрана. И след като охридският Макарий[292] му даде обичайната благословия, то получи подоба σύζυγον τὴν τοῦ βασιλέως καθυπεδέχετο. οὐ γὰρ ὡς εἶχεν ἔφιππος ἠνείχετο ὑποδέχεσθαι, ἀλλ᾽ ὑποπτώσεως σχήματι, αἰδοῖ τῷ πρὸς βασιλέα, ἀποβὰς τοῦ ἵππου προσερχομένην, ὡς δεσπόσυνον δῆθεν καὶ οὐχ ὡς σύζυγον, φιλοφρονούμενος ὑπεδέχετο. (5) τότε καὶ βασιλεὺς κατὰ τὴν πόλιν Θεσσαλονίκην, ἐκεῖνον μεγαλοπρεπῶς ἐθεράπευεν καὶ δώροις καὶ τιμαῖς ἐφ᾽ ἡμέραις ἤγαλλε, καὶ τοὺς αὐτοῦ μεγιστᾶνας βασιλικῶς ἐδωρεῖτο τοῖς μείζοσιν. εἶτ᾽ αὖθις καὶ ἀποπέμπει πολυταλάντους ἐκχέας τὰς δόσεις, παρακεκινημένου τἀδελφοῦ Στεφάνου (ὑπενόει γὰρ κἀκεῖνος ἤδη τὴν ἰδίαν παρακινδύνευσιν ὡς αὐτίκα τἀδελφοῦ μεῖζον ἢ πρότερον κατὰ τὸ εἰκὸς φρονήσαντος, καὶ διὰ τοῦτο ἔσπευδε προκαθιστᾶν ὡς εἶχε τὰ καθ᾽ ἑαυτὸν) πέμπων συμμαχικὸν βασιλεύς, ὡς οἷόν τ᾽ ἦν, ὑπέθραυε τὰς ὁρμὰς τῷ Στεφάνῳ.

---

[288] Андроник II. [289] Андроник II. [290] Дъщерята на Георги I Тертер. [291] През 1299 г. Вж. Petri Possini Observationes Pachymerianae, Pachymeres, II, с. 849. [292] Макарий, охридски архиепископ. За него се споменава в един надпис на охридската катедрална църква Св. Климент от 1295 г. Вж. Ив. Снегаров, пос. съч., с. 212.

(II, pp. 284₂₁—286₁₃)

IV, 8. . Τέως δ᾽ ἐπεὶ καὶ ὑποστροφῆς ἔδει τούτοις τὰ περὶ τὸν κράλην διευθετήσασι καὶ τὰ δυτικὰ ὡς οἷόν τε καταστήσασιν, ἐπαγόμενοι μὲν καὶ τὴν τοῦ Τερτερῆ, ἐπαγόμενοι δὲ καὶ τὸν Κοτανίτζην ἐν τηρήσεσι προσηκούσαις, ἔξω που τῆς πόλεως κατεσκήνουν. καὶ ἡ κυρία τῆς ὑπαντῆς ἐνειστήκει· ἡ δ᾽ ἦν ἡ μηνὸς Μουνυχιῶνος εἰκοστὴ δευτέρα.

(II, p. 290₈₋₁₃)

IV, 8 — — —

Ἐπεὶ δὲ πάντα τἀκεῖ τῷ βασιλεῖ κατὰ νοῦν προκεχωρήκει, καὶ μόνον τὸ τοῦ πατριάρχου διὰ φροντίδος ἦν, ὑπὸ γωνίᾳ καθημένου τῇ τῆς Παμμακαρίστου μονῇ, διὰ ταῦτα πέμπων πολλάκις ἠξίου μικροψυχίας πάσης ἀφέμενον ἀπαίρειν ἐκεῖθεν καὶ πρὸς τὸ πατριαρχεῖον μετασκηνοῦν. ἀλλ᾽ οὐκ ἔπειθεν ἀξιῶν πολλάκις. ἐδίδοτο δέ τις καὶ ἔννοια τοῦ ἀλύειν χάριν τῶν γεγονότων, πλὴν οὐ γυμνῶν καὶ μόνων ἐκείνων, ἀλλὰ καί τιν᾽ ἄλλα συμπλέκοντος, ἐφ᾽ οἷς προσελθεῖν μὲν βασιλέα ἠξίου, προσελθεῖν δὲ καὶ τινας τῶν τοῦ κλήρου, καὶ ἀρχιερέων ὁπόσοι καὶ δόξειαν ἀποχρώντως ἔχειν, καὶ λόγους κινηθῆναι, καὶ οὕτω πως θεραπευθέντα τὸν πατριάρχην, εἰ ἐγχωροίη, τὴν οἰκείαν διακονίαν ἀναλαμβάνειν, ὡς ἔλεγεν, εἰ δ᾽ οὖν, ἀλλὰ παραιτεῖσθαι καὶ καθ᾽ ἡσυχίαν τὸ λοιπὸν διαφέρειν τοῦ βίου. (9) πρώτῃ γοῦν Ληναιῶνος ὀψὲ τῆς νυκτὸς γίνεται τοῦτο· διὰ σπουδῆς γὰρ ἦν βασιλεῖ τῆς μεγίστης ἐπὶ τῷ μὴ τηνικάδε παραιτεῖσθαι τὸν πατριάρχην, καὶ πολλοῖς δόξαι ὡς οὐδενὸς χάριν ἄλλου ἢ τοῦ κατὰ τὸν κράλην συναλλάγματος παρῃτήσατο, κἀντεῦθεν σκάνδαλον συμβῆναι γενέσθαι τοῖς τῆς ἐκκλησίας πράγμασι. διὰ τοῦτο καὶ δυοῖν μεταξύ, τῆς τε πρὸς τοῦτον θωπείας καὶ τῆς δοκούσης αὐτῷ δικαιολογίας, ἐναποληφθεὶς συνετῶς ὑπήγετο πρὸς ὅ τι καὶ δόξοι πατριάρχῃ. παραγίνεται τοιγαροῦν βασι-

ващи почести, защото и самият крал го почете повече като дъщеря на императора, отколкото като съпруга. Той не я посрещна, както беше на кон, но като слезе от коня, коленичил и с почит към императора, я посрещна любезно не като съпруга, а наистина като господарка. Тогава и императорът го почете великодушно в гр. Солун и го отрупа с дарове и почести в продължение на няколко дни. Той царски надари с големи дарове и неговите велможи. После го отпрати, като пръсна прескъпи дарове. И понеже брат му Стефан бе възбуден, императорът изпрати военна помощ, доколкото можеше, и осуети [неговите] опити за нападение. Защото и той[293] подозираше, че се излага на опасност, тъй като брат му естествено веднага се възгордял много повече от преди, и затова побърза да приготви незабавно своите войски.

IV, 8. Между това, след като бяха уредили въпросите около краля и доколкото можеше, нещата на Запад, те трябваше да се върнат. И водейки с подходяща охрана дъщерята на Тертер и Котаница, те се разположиха някъде извън столицата. И беше настъпил определеният за посрещане ден. Това беше 22 мунихион[294].

IV, 8- - - След като всичко там бе станало според замислите на императора, грижа му беше само патриархът, който пребиваваше в един кът на манастира Паммакарист. И затова често изпращаше хора и го молеше, като се отърси от всяка дребнавост, да излезе оттам и да се пренесе в патриаршията[295]. Но не го убеди, макар да го молеше много пъти. Той даваше някак да се разбере защо е опечален от станалото, и то не само от онова[296], но загатваше и за други неща, заради които искаше да дойде императорът, да дойдат и някои от клира и от архиереите толкова, колкото да имат достатъчно авторитет, да се изкаже и, както казваше, като бъде зачетен така някак като патриарх, ако е възможно, да поеме отново своята служба, ако ли не, да се оттегли и да прекара остатъка от живота си в спокойствие (9). Това стана на 1 динеон[297] късно през нощта. Наистина императорът се тревожеше много да не би патриархът да се оттегли тогава и мнозина да сметнат, че той е напуснал не за нещо друго, а само заради споразумението му с краля и от това да произлезе смут в църковните работи. Затова той умно реши да отиде, за да разбере какво мисли патриарλεύς, καὶ τοῖς περὶ τὸν πατριάρχην συγγίνεται· ἦμεν δὲ καὶ ἡμεῖς σὺν ἄλλοις ἐκεῖ. τότε καθίσαντος μὲν βασιλέως, συνεδριασάντων δὲ καὶ τῶν ἱερῶν ἀνδρῶν, ἐκίνει πατριάρχης πρὸς βασιλέα τὰ ὀχλοῦντά οἱ πρὸς παραλύπησιν, δι' ἃ καὶ ἐγγωνιάζειν ἐθέλει καὶ παραιτεῖσθαι καὶ ἐκκλησίας προεδρίαν καὶ ἱερωσύνην αὐτήν, εἰ πλέον συναναγκάζοιτο. καὶ πρὸ τῶν ἄλλων τὸ τοῦ κράλη προετίθει, καὶ τὰ δοκοῦντά οἱ προσίστασθαι ἀνετύττετο, ὅτι δηλαδὴ συνεστὼς κατὰ νόμους γάμος διαλυθείη καὶ τὴν τοῦ βασιλέως ἐκεῖνος, ἠθετηκὼς τὴν ἰδίαν, νηπίαν οὖσαν ἀγάγοιτο· καὶ ὅτι χρυσολογεῖταί τε καὶ ἀργυρολογεῖται τὸ πᾶν, τετιμιουλκημένου μὲν τοῦ χρειώδους ἅλατος τετιμιουλκημένου δὲ καὶ σιδήρου, συχνῶν δὲ καὶ συνδοσιῶν γινομένων, καὶ τρίτον ὡς καταφρονεῖται αὐτὸς ἀναφορὰς πολλάκις ὑπὲρ τοῦ δοκοῦντος δικαίου ποιούμενος. ἐντεῦθεν δὲ βασιλεὺς εἰς τὴν ὑπὲρ τούτων ἀπολογίαν καταστὰς ἐπὶ μὲν τῷ τοῦ κράλη συναλλάγματι οὐκ ὄρεξιν ἰδίαν καὶ τὴν ἐκεῖθεν ἑαυτῷ ὄνησιν ᾐτιᾶτο· πολλῷ γὰρ ἥκιστα τοῦτο, ὅσῳ καὶ προσζημιωθείη αὐτὸς τὰ μεγάλα, κόριον ὃ ἐκ ψυχῆς ἔστεργε καὶ ᾧ προσετετήκει καὶ αὐτὸς καὶ μήτηρ καὶ γάμους ἑτοιμάζειν ἐγκαίρους τοὺς ἐκ ῥηγῶν ᾤετο, ἐξ ἀγκαλῶν οἰκείων ἀναρπασθὲν βαρβάρῳ τε καὶ τὰ πάντα ἀστόργῳ καὶ μηδὲν σεμνὸν ἐπὶ τῆς ἀρχῆς ἔχοντι καταπροϊέμενος. ἀλλ' ἀνθρώπων καὶ χωρῶν καὶ πραγμάτων προσηκόντων τῇ βασιλείᾳ, τῶν μὲν ἀπαγομένων ἀθλίως, τῶν δ' ἐρημουμένων ἐσχάτως, τῶν δὲ σκυλευομένων ἀναποδότως, καὶ αἰχμαλωσίας τοσαύτης τε καὶ τοιαύτης χάριν ταῦτα πράττοι καὶ παρὰ γνώμην καὶ παρὰ θέλησιν· πολλὰ γὰρ καὶ εἰρήνην ἀνύτειν ὅσα σίδηρος οὐκ ἰσχύει, καὶ σπονδὰς καταπράττειν, καὶ μόλις τὰς ἐκ τῶν γάμων συντακτικωτάτας οὔσας καὶ ἀσφαλεῖς, ὅσα μὴ μάχαι καὶ πόλεμος οὐμενουν κατεπράξαντο. οὐ μὴν δ' αὖθις καὶ νόμων ἐς ἅπαν ἐκτός, ὡς αὐτὸν οἴεσθαι, πράττειν. δῆλον γὰρ εἶναι καὶ κανόσι καὶ νόμοις προστεταγμένον, μὴ ἂν ἐκχωρεῖσθαι τὸν νόμιμον ἀγαγόμενον ταύτην μὲν ἀφεῖναι παρὰ μηδεμίαν αἰτίαν εὔλογον, συμπλέκεσθαι δ' ἄλλῃ· εἰ δέ τις τολμῴη, αἰτίαν μὲν μοιχείας ἀποίσεσθαι τὸν τολμῶντα, τὴν δὲ συνοίκησιν εἶναι παράνομον, ὥστε τῆς πρώτης ἠθετημένης καὶ ζώσης, ὁπόσας τοὐντεῦθεν ἠγάγετο, μὴ ἐγκεκριμένας τοῖς νόμοις μηδ' ἐν γυναιξὶ νομίμοις τάττεσθαι.

---

[293] Стефан Драгутин. [294] Мунихион, т.е. ноември (1299 г. Вж. Petri Possini Observationes, Pachymeres, II, с. 849). [295] Патриархът бил недоволен от императора и в знак на протест, използувайки като повод болестта на очите си, отишъл в манастир и не желаел да изпълнява задълженията си на патриарх. [296] Загатва се за брака на сръбския крал с шестгодишната Симонида. [297] Динеон, т.е. февруари (1300 г. Вж. Petri Possini Observationes Pachymerianae, Pachymeres, II, с. 850).

хът, обладан еднакво от почит към него и от увереност в защитата си. И тъй императорът дойде и се намери между хората около патриарха. И ние бяхме там заедно с другите. Тогава, когато патриархът седна и светите мъже също седнаха, патриархът изложи пред императора това, което смята, че го наскърбява, и заради което искаше да се усамоти и да се откаже от оглавяването на църквата и от самото духовно звание, ако все още би бил принуждаван. Преди всичко той изтъкна споразумението с краля и изложи това, което смяташе, че не одобрява, а именно че е разтрогнат сключеният очевидно според законите брак[208] и че кралят е взел незаконно собствената дъщеря на императора, която бе дете, че събира всичкото злато и сребро, като е увеличил цената на [така] необходимата сол, като е поскъпил и желязото и като е увеличил много данъците; и, трето, че самият той е пренебрегван, когато често отправял искания за защита на това, което намирал за законно. След това императорът пристъпи към защитата си срещу тези обвинения. При споразумението с краля той не бил проявил лично желание и не бил търсел облага за себе си. Ни най-малко, тъй като той бил пострадал много: момичето, което обичал от все сърце и към което бил привързан, което и той, и майката мислели да омъжат подходящо за мъж от кралски род, било изтръгнато от родителските прегръдки и предадено на варварин, напълно безсърдечен и нямащ нищо свято в царството си. Но той правел това против волята и желанието си заради толкова голямото и страшно опленяване, заради хората, провинциите и богатствата, принадлежащи на империята — едните отвличани по жалък начин, вторите до крайност опустошавани, третите непоправимо ограбвани. С мир се постигали много неща, които оръжието не можело да постигне, и с договори, особено брачни, които били твърде добре съставени и сигурни, се уреждали такива неща, каквито битките и войните наистина не били постигали. И наистина, както той мислеше, това правел съвсем не против законите. Защото ясно било предписано от каноните и законите, че не е позволено на законно взелия съпруга да се отказва от нея без някаква справедлива причина и да се свързва с друга. Ако ли някой се одързостел [на подобно нещо], одързостилият се щял да бъде обвинен в прелюбодеяние, а съжителството щяло да бъде незаконно, така че, ако първата [законна жена] бъде отстранена, но е жива, каквито и жени да вземе след това, ἢ οὐ ταῦθ᾽ οὕτω καὶ ἐν ἡμῖν ἔχει;” φησὶν ὁ κρατῶν. “πυνθάνου τοιγαροῦν τῶν εἰδότων, καὶ πιστῶς μάνθανε ὡς οὐκ ἄλλως ἡμῖν ἐγένετο καταδέξασθαι τὸ συνάλλαγμα, εἰ μὴ καὶ ὅρκους τοὺς πρέσβεις προσαπῃτήσαμεν βεβαιοῦν, ἦ μὴν καὶ ἔτι περιεῖναι τὴν νόμιμον ὅτε τῇ τοῦ Τερτερῇ συνεπλέκετο, καὶ ἄρτι μὴ ζῆν ὅθ᾽ ἡμεῖς εἰς γαμβρὸν ἐτάττομεν, ὡς ἐντεῦθεν τὴν μὲν συμβαίνειν εἶναι παράνομον, τὴν δ᾽ ἡμετέραν, εἰ καὶ νηπίαν, ἀλλ᾽ οὖν ἔννομον.”

---

[208] Става дума за брака с дъщерята на Георги I Тертер.

(II, pp. 291$_{15}$—295$_{3}$)

те не щели да бъдат утвърдени от закона и не щели да бъдат законни съпруги. „Не е ли такъв и нашият случай?“, каза владетелят. „Попитай прочее тези, които знаят, и ще научиш сигурно, че ние не иначе приехме договора [с краля], освен като поискахме от пратениците да потвърдят с клетва, че законната [съпруга] е била все още жива, когато той се е свързал с дъщерята на Тертер, и че не е жива сега, когато ние го направихме зет. От което следва, че онази е незаконна, а нашата е законна, макар и невръстна.

33. *Michael despota Terteris filiam uxorem ducit*

IV, 13. Ἐν τούτῳ δὲ καὶ Μιχαὴλ ὁ δεσπότης τὴν συνοικοῦσαν πρὸ χρόνων ἀποβαλὼν (ἡ δ᾽ ἦν ἡ τοῦ βασιλέως αὐταδέλφη) τῇ τοῦ Τερτερῇ κεχηρωμένῃ ἤδη τοῦ κράλη Σερβίας ἐποφθαλμίζει, καὶ θέλων θέλουσαν ἄγεται, ἐφιέντος μὲν βασιλέως, ἐφιείσης δὲ καὶ ἐκκλησίας ἐν ὑστέρῳ τῶν γενομένων. ἣν δὴ καὶ ἁρμοσάμενος ἑαυτῷ, τὸ τῆς δεσποτείας ἀξίωμα ἔχων καὶ ἔτι, συμμετεδίδου τῆς ἀξίας καὶ τῇ συνῳκημένῃ ἐκ κραλαίνης, ἐξ ἧς καὶ παῖδας ἀποτετόκει. καί γε δῆλος ἦν τῇ τοῦ Τερτερῇ συνοικῶν ὡς γνησίᾳ.

(II, p. 301$_{3-11}$)

33. *Деспот Михаил взима за жена дъщерята на Тертер*

IV, 13. Между това деспот Михаил[299], който преди време беше загубил съпругата си (тя беше сестра на императора), се вгледа в изоставената от сръбския крал дъщеря на Тертер и по взаимно съгласие се ожениха със съгласието на императора, а съгласието на църквата бе дадено по-късно. След като се ожени за нея, имайки от по-рано достойнството деспот, той предаде това достойнство и на съпругата си — бивша кралица. От нея той придоби и деца. И ясно беше, че той има дъщерята на Тертер като законна съпруга.

34. *De Alanis in militiam imperatoris transeuntibus*

IV, 16. Ταῦτα μὲν τοῦ ἔτους ἐκείνου γεγόνει· Ἀλανῶν δὲ μεγάθυμον ἔθνος ὡσεὶ δέκα καὶ ἓξ χιλιάδας ποσούμενον, ὧν τὸ ὑπὲρ ἥμισυ μάχιμον ἦν, ἀπολυθὲν Νογᾶ καὶ τῆς ὑπ᾽ ἐκείνῳ δουλείας ἐν πολέμῳ ἀπολωλότος, ἐζήτουν προσχωρεῖν βασιλεῖ, καὶ τῷ ἀρχιερεῖ προσελθόντες Βιτζίνης ἱκέτευον δι᾽ αὐτοῦ βασιλέα σφᾶς δέχεσθαι. ἐνόσουν γοῦν καὶ δεινῶς εἶχον τότε τὰ κατὰ ἀνατολήν, καὶ τοῦ Βιτζίνης τὴν σφῶν ἀγγέλλοντος ἱκετείαν ἕρμαιον ἐλογίζοντο ὡς καιρόνδ᾽ ἐπιστάντων· αὐτοὺς γὰρ εἶναι καὶ τοὺς τῷ Νογᾷ παρασπίζοντας, καὶ δι᾽ ὧν ἐκεῖνος τὰ μεγάλα κατώρθου. καὶ διὰ τοῦτο τὴν σφῶν ἄφιξιν θεόθεν τινὰ μηχανὴν ἡγοῦντο εὐκαίρως σχεδιασθεῖσαν εἰς ἀρωγήν. γράμματά τε παρ᾽ αὐτοὺς βασιλικὰ κατεπέμποντο· καὶ παμπληθεὶ ἐφ᾽ ἁμαξῶν καὶ λαμπήναις προσηυτομόλουν. καὶ βασιλεὺς ὅτι πλείστην ἐκ χω-

34. *За аланите, постъпващи във войската на императора*

IV, 16. Това се случи през онази година[300]. А храброто племе на аланите, на брой около шестнадесет хиляди, от които половината бяха боеспособни, след като се освободи от Ногай и от робуването си нему, тъй като той бе загинал в сражение, искаха да минат на страната на императора[301]. Те отидоха при епископа на Вичина[302] и чрез него молеха императора да ги приеме. Тогава източните области изнемогваха и бяха в ужасно положение и когато епископът на Вичина съобщи за тяхната молба, това бе сметнато като добре дошло, тъй като се явиха навреме. Те бяха военната сила на Ногай и с тяхна помощ той бе извършил великите си дела. И заради това тяхното идване се смяташе като нещо пратено навреме от бога, за да ни помогне. До тях беше изпратено императорско писмо и те масово преминаха насам с коли и талиги. И императорът приготви за тях извънредно много храна от тракийските ρῶν Θρακικῶν τε καὶ Μακεδονικῶν τὴν ἐκείνων παρεσκευάκει οἴκησιν. τοὺς δέ γε μεγιστᾶνας ἐκείνων εἰσαγαγὼν καὶ φιλοφρόνως δεξιωσάμενος, ἐκ συνδοσιῶν κοινῶν τὰ ἐκείνων ἑτοιμάσας ὀψώνια, ἔτι δὲ καὶ ἵπποις ἱκανώσας ἐκ τῶν ἰδίων στρατιωτῶν μάλιστα, τοῖς ἱκανῶς ἔχειν σφίσι δοκοῦσι παραδοὺς διασωσταῖς Ῥωμαίοις, ἐπ᾽ ἀνατολῆς ὥρμα. ἦν δὲ καὶ προστεταγμένον πρὸς βασιλέως αὐτοὺς κατοικίζειν τῇδε. καὶ ἦν ὁ σκοπὸς τῷ κρατοῦντι καὶ λίαν εὔελπις· εὐάγωγον γὰρ ἐμάνθανεν εἶναι τὸ ἔθνος καὶ εὐπειθές, πρὸς δὲ πολέμους καὶ λίαν ἀρεϊκόν τε καὶ μάχιμον. καὶ διὰ ταῦτα κατωλιγώρει σχεδὸν τῶν Ῥωμαίων ὡς γυναικισθέντων ἄντικρυς καὶ ἐξ ἀνάγκης μὲν τὰ πολλὰ καταμαλακισθέντων, οὐχ ἧττον δὲ καὶ ἀπὸ κακοθελοῦς γνώμης καὶ προαιρέσεως.

---

[299] Михаил (Димитър), деспот, син на епирския деспот Михаил II. [300] Става дума за появилата се през 1301 г. в Цариград комета. [301] Андроник II. [302] Вичина (Вича, Бичина), гр. при устието на Голяма Камчия. Вж. В. Бешевлиев, За името Дичина или Вичина на р. Тича ИИБЕ, VIII, 1962, с. 175—179.

(II, pp. 307_1—308_7)

и македонските земи[303]. А техните първенци прие и почете любезно. Той им определи възнаграждението от държавните средства. Освен това снабди с коне, взети най-вече от собствените си войници, тези, които му изглеждаха годни за кавалеристи. Той ги придаде на помощните ромейски войски и ги изпрати на Изток. Императорът бе наредил те да бъдат заселени там. Намерението на владетеля бе много обещаващо. Той беше научил, че племето е лесно управляемо и послушно, а в сраженията много войнствено и храбро. И поради това той почти напълно пренебрегваше ромеите като съвсем изнежени и станали много мекушави по неволя, а и от злонамереност и умисъл.

35. *De morte Asanis, Michaelis imperatoris avunculi*

IV, 19 . . ταῦτα λέγοντες δῆλοί τε ἦσαν ἕτοιμοι ὄντες ἀναχωρεῖν καὶ βασιλέως μὴ ἀφιέντος, καὶ τοῖς ἐπισχεῖν ὡρμημένοις ἀντιστῆναι. ταῦτα μὲν μαθὼν βασιλεύς, καὶ πολλῶν ἀβουλήτων ἑτέρων αὐτὸν περιστάντων — καὶ γὰρ ἔνθεν μὲν ὅσον ἦν περὶ αὐτὸν Ῥωμαϊκὸν μάχιμον, πεπυσμένοι περὶ τῶν σφῶν οἰκιῶν κειμένων ἤδη εἰς ὄλεθρον, ἀφέντες τὴν περὶ τὸν βασιλέα στρατείαν ἀνεχώρουν, τὰ ἑαυτῶν ἕκαστος περιποιησόμενος· ὁ τούτου τε θεῖος ὁ Ἀσὰν ἐτεθνήκει, ὁ δ᾽ ἕτερος θεῖος αὐτοῦ Μιχαὴλ ὁ δεσπότης νόσῳ περιπεσὼν ἀνεχώρει καὶ αὐτὸς πρὸς τὰ οἴκοι, καὶ τὸ πᾶν ἦν ἐν τοῖς Ἀλανοῖς. τὸ μὲν βιάζεσθαι σφᾶς καιρὸν οὐκ εἶχεν, ὅμως δὲ κατεῖχεν ἐκείνους ἐπὶ ῥητῷ τριμηνιαίῳ καιρῷ ἐφ᾽ ὁμολογίαις ἐν ὅρκοις, ἦ μὴν ἢ ἱκανοῦν ῥόγαις ἢ ἀπολύειν ἐντεῦθεν, ἐλπίζων διὰ τῶν πρὸς τὸν πατέρα καὶ βασιλέα γραφῶν τε καὶ μηνυμάτων πόρον ἐπὶ τούτοις σχεῖν ἢ μὴν χρημάτων ἢ καὶ βουλῆς.

(II, p. 315_{3-17})

35. *За смъртта на Асен, вуйчото на император Михаил*

IV, 19. Казвайки това[304], беше ясно, че те[305] са готови да се оттеглят и без позволението на императора и че ще се противопоставят на тези, които рекат да ги задържат. Когато се научи за това, и много други нежелани неща измъчваха императора[306]. Защото, от друга страна, каквато ромейска боеспособна войска имаше, като научаваше за своите жилища, че вече са към унищожение, изоставяха военната служба около императора и се оттегляха, за да се погрижи всеки за своето. Вуйчо му Асен[307] беше умрял, а другият му вуйчо, деспот Михаил[308], заболя и сам се оттегли у дома си. И всичко се крепеше от аланите. Той[309] нямаше време да ги принуди [да се подчинят], но все пак ги задържа с думи за три месеца при клетвено споразумение, че ще ги задоволи със заплати или ще ги освободи след това. Той се надяваше с писма и съобщения до баща си император[310] да намери изход за тези неща — или чрез пари, или чрез съвети.

36. *Rogerius Mariam, filiam Asanis in matrimonium ducit*

V, 12 . . . διὰ ταῦτα τοῖς ὅλοις ἀπορηθεὶς ἐκεῖνος πέμπει πρὸς βασιλέα καὶ ἱκετεύει δέχεσθαι· ἔχειν γὰρ καὶ λαὸν ἱκανὸν συμμαχεῖν

36. *Рогерий се оженва за дъщерята на Асен*

V, 12 - - - Поради това[311], поставен напълно в затруднено положение, той[312] провожда пратеници при императора[313] и моли да бъде приет. Той имал войска, способна да помогне, ὅπου βούλοιτο βασιλεύς. ἦν γὰρ ταῖς ἀληθείαις, ὡς ἔδοξε, καὶ λῆμα ἔχων γενναῖον καὶ πλέως Ἀρεϊκοῦ φρονήματος, πολλῷ δὲ μᾶλλον καὶ τῷ τῆς γνώμης σπουδαίῳ καὶ βαθυσκόπῳ λαὸν δουλαγωγῶν ἀτάσθαλον καὶ τούτῳ κατορθοῦν τὰ μέγιστα φημιζόμενος. ὁ μέντοι γε βασιλεὺς διὰ τὴν ἀνάγκην ἀρξάμενος ἤδη ξενοτροφεῖν ὡς ἕρμαιον ἁρπάζει τὸ σύμβαμα, καὶ πέμπων πίστεις ἐκ χρυσοβούλλων αὐτὸν ἀνεδέχετο καὶ λαὸν προσεδέχετο, ὥστ' ἐκεῖνον μὲν τῷ τοῦ μεγάλου δουκὸς τιμᾶν ἀξιώματι καί γε καὶ γαμβρὸν ἐπ' ἀδελφιδῇ Μαρίᾳ τῇ τοῦ Ἀσὰν θυγατρὶ καθιστᾶν, τοὺς δέ γε περὶ αὐτὸν ῥόγαις ταῖς προσηκούσαις ἐξικανοῦν ὑπηρετοῦντας τὰ κατὰ πόλεμον. τὸ γὰρ Ῥωμαϊκόν, ὡς εἴρηται, ἐξησθενηκὸς καὶ κατὰ δύσιν διασπαρὲν παρεώρατο, ζητοῦν τοὐντεῦθεν ὅπου δουλεύσειε καὶ τραφήσαιτο. (13) παρ' ἣν αἰτίαν καὶ Μιχαὴλ ὁ δεσπότης αἰτίαις ὑποβληθεὶς κεκινδύνευκεν. ἐπεὶ γὰρ ὁ μὲν βασιλεὺς ἤπειγε τοῦτον εἰς Νίκαιαν συνάμα τῷ ὑπ' αὐτὸν λαῷ στρατηγήσοντα, ἐκεῖνος δὲ πολλάκις γράψας μετεκαλεῖτο τὸν ἴδιον, κἀκεῖνοι κατερραθύμουν, διὰ ταῦτα ἔδοξε χρῆσθαι τοῖς βασιλέως ὡς ὑπηρέταις, ἤδη ἀπολέμοις ἐκ τῆς ἀνάγκης γεγενημένοις, καὶ πέμψας συνῆγε, πλὴν οὔτε βασιλέως εἰδότος, καὶ ὅρκους ἀπαιτῶν ἐκείνους ὡς περὶ ἑκατὸν ὄντας, καὶ κρυφηδὸν λαμβάνων καὶ μέρει διδοὺς πρὸς ἐκείνους. ἦν δ' ὁ ὅρκος βασιλεῖ πρέπων, οἶμαι, καὶ μόνῳ· εἶναι γὰρ τῶν ἐχθρῶν ἐχθροὶ καὶ τῶν φίλων φίλοι τοῦ τέως δεσπότου ἐπώμνυον. ὃ δὴ προσαγγελθέν, βασιλεὺς καὶ ταῦτα καὶ ἄλλα πλεῖστα συνηθροικώς, συνοικοῦντος καὶ τῇ τοῦ Τερτερῆ θυγατρί, λιπαρῶς ὑπώπτευε κατ' αὐτοῦ ἀπιστίας μελέτημα, καὶ τὸ γεγονὸς εἰς κρίσιν ἐτίθει, καὶ τὸν προσαγγελλόμενον κατεδίκαζεν. ἀλλὰ ταῦτα μὲν μικρὸν ὕστερον καὶ ῥηθήσεται· τότε δὲ βασιλεὺς τοιαύτας ἐδίδου τὰς πίστεις τῷ Ῥοντζερίῳ. ὁ δὲ λαβὼν τὰ γράμματα, ὡς ἂν καὶ μέγας τις δόξοι, οὐχ ὅσους ἀνὰ χεῖρας καὶ μόνους εἶχε τοσούτους καὶ ἄγειν ἠβούλετο, ἀλλὰ προσφιλοτιμούμενος καὶ ἄλλους συνῆγε, ταῖς ἀπὸ βασιλέως ἐλπίσιν ἀναπτερῶν, ὥστε μηδ' ἔχειν αὐτάρκεις ναῦς συνεκφέρειν τὸ στρατολόγημα, μηδέ γε χρήματα τόσα ὥστε καὶ προκαταρκτικὰ διδόναι ἐπὶ βασιλεῖ ἐχεγγύῳ τὰ πλεῖστα παρέξοντι. διά τοι ταῦτα καὶ Γεννουΐταις προσσχὼν

---

[303] Македонските земи, т. е. земята на Одринска Тракия. [304] Аланите молели и дори заплашвали да бъдат освободени да си отидат, тъй като тримесечният срок, за който се били наели, бил изтекъл и те дълго време носели военната служба. [305] Аланите. [306] Михаил, сина на Андроник II. [307] Иван Асен III, който бил женен за дъщеря на Михаил VIII. [308] Михаил (Димитър), син на епирския деспот Михаил II, зет на Андроник II, по-късно се оженва за дъщерята на Георги I Тертер, изоставена от сръбския крал (вж. тук откъс 33). [309] Михаил, синът на Андроник II. [310] Андроник II Палеолог. [311] В предходния текст става дума за каталонеца Рогерий (Рожер де Флор), който със своята пиратска флота бил в услуга на сицилийския крал Тевдерих (Фридрих). Понеже папата поискал да му бъде предаден, за да го накаже, той със съгласието на сицилийския крал предложил в 1302 г. услугите си на Андроник II Палеолог срещу турците. [312] Рогерий (Рожер де Флор). [313] Андроник II Палеолог.

където би пожелал императорът. И наистина, както изглеждаше, той беше истински храбър, изпълнен с войнствен дух. Със смелата си и далновидна мисъл държеше в подчинение разбойническия народ, с който се славеше, че извършва най-големите си подвизи. Разбира се, императорът, който бе принуден да започне да поддържа вече наемна войска, прие като щастлива находка случилото се. И като изпрати гаранции с хрисовул, очакваше него и хората му, за да го почете с достойнството велик дук и да го направи зет, като го ожени за братовчедката си Мария[314], дъщерята на Асен, а неговите хора с подобаващи възнаграждения да накара да изпълняват военните си задължения. Защото ромейската войска, както се каза, отслабнала и пръсната на Запад, бе пренебрегвана и затова търсеше къде да служи и да се храни. (13) Поради тази причина и деспот Михаил[315] бе обвинен и се изложи на опасност. Защото, когато императорът го караше да отиде бързо като военачалник в Никея заедно с подчинената си войска и той често ги викаше с писма, те нехаеха. Затова той реши да си послужи с войниците на императора като с помощници. Те по неволя бяха занемарили вече военното изкуство. Той изпрати хора и ги събра, но без знанието на императора. Тайно поиска и получи от тях, на брой около стотина, клетвено обещание, а и сам от своя страна им даде. Клетвата подхождаше, смятам, само на император. Те се заклеха да бъдат врагове на враговете и приятели на приятелите на досегашния деспот. След като за това бе донесено, императорът прибави и много други неща и понеже онзи съжителстваше с дъщерята на Тертер[316], заподозря го в подготовка на измяна към него. Той намери станалото подсъдно и осъди обвинения. Но затова ще говоря малко по-нататък. Но тогава императорът даде такива клетвени гаранции на Рогерий. А той, след като получи писмото [на императора], за да се покаже някак велик, не пожела да доведе само толкова войни, колкото имаше под ръка, но се постара и събра и други, увличайки ги с надежди [за възнаграждения] от страна на императора. Така че Рогерий нито имаше достатъчно кораби, за да откара събраната войска, нито толкова пари, че да им даде аванс при гаранция от императора, който щял да им даде предостатъчно. Поради това той отиде при генуезците и срещу клетвените обещаἐπὶ πίστεσιν ἐκιχρᾶτο ταῖς βασιλέως ὡσεὶ χιλιάδας εἴκοσι νομισμάτων, τὰ μὲν καὶ λαμβάνων, τὰ δὲ καὶ διὰ τὴν τῶν νηῶν χρείαν ἐκείνων εἰς τὴν τοῦ λαοῦ διαπλώϊσιν προσδεχόμενος. Γαμηλιῶνος μὲν οὖν, ὡς εἴρηται, τῇ Κωνσταντίνου ἐφίστανται. καὶ βασιλεὺς τοσοῦτον λαὸν παρ' ἐλπίδα δεξάμενος, ὅμως τῇ τῆς συμμαχίας ἐλπίδι ἀναθαρρῶν τοὺς λογισμοὺς κραταιότερον ἵστη καὶ ἀμφοτέραις ἐξήντλει σφίσι τὰ χρήματα, καὶ θησαυροὺς πάντας οὓς ἀνεπίμπλων οἱ πανταχόθεν δασμοί, ἐπισχεθέντων πάλαι καὶ αὐτῶν ῥογῶν καὶ προσοδίων τοῖς ἐν ἀνακτόρων δουλεύουσιν, ἃ δὴ καὶ βασιλεῖς ἐξ ἀρχαίου εἰς μισθοὺς ἐτίθουν ἀναγκαίους τοῖς ὑπηρετουμένοις, ἐκείνοις ἐξεκενοῦντο. ἀλλὰ τὸν μὲν Ῥοντζέριον εἰς μέγα τιμήσας δοῦκα, καὶ τοὺς παρ' αὐτοῦ καὶ ἰδίοις μεγαλύνας ὀνόμασι, γαμβρὸν κατὰ τὰς ὁμολογίας καθίστη.

---

[314] Мария, дъщеря на Иван Асен III и братовчедка на Андроник II, защото той е брат на Асеневата жена. [315] Михаил (Димитър), деспот, син на епирския деспот Михаил II. [316] Бившата жена на Милутин, за която се бил оженил деспот Михаил.

(II, pp. 395_3—397_{19})

ния на императора взе на заем около 20 000 номизми. Една част от тях той получи [в наличност], а другата взе във вид на навло срещу [използването на] ония кораби за превозването на войската. И тъй той пристигна, както се каза, през месец гамелион[317] в Константинопол. И императорът, който неочаквано получи толкова голяма войска, се ободри от надеждата за помощта и стана по-уверен в плановете. Той с две ръце им изсипа пари и изпразни всички съкровища, които се събираха от постъпилите отвсякъде данъци, тъй като отдавна бяха спрени и самите заплати [на войниците], и заплащанията на служещите в дворците, определени отдавна от императорите като необходими възнаграждения на служителите. Той почете Рогерий с достойнството велик дук, а неговите хора възвеличи със специални звания. После той го направи според уговорката [свой] зет[318].

37. *De incursionibus Theodori Svetoslavi in subiectas Haemi regiones factis*

V, 18. Ἐν τούτῳ δὲ καὶ Ὀσφεντίσθλαβος τῶν Βουλγάρων, ὡς εἴπῃ τις, βασιλεύς, εἴτε διὰ τὴν ἐκ τοῦ κράλη Σερβίας τῆς ἰδίας ἀδελφῆς διὰ τὸ τοῦ βασιλέως κῆδος παρόρασιν, εἴτε δι' αὐτὴν αὖθις καὶ τὸν ἐπ' αὐτῇ γαμβρὸν τὸν δεσπότην ἐπεσχημένον ἐξ αἰτιῶν ὧν ἐλέχθησαν παρακεκνισμένος, εἴτε καὶ διὰ τὴν τῶν ἡμετέρων δυνάμεων ἐξασθένησιν τῶν βασιλικῶν καταφρονήσας πραγμάτων καὶ οἷον τῆς τύχης τῶν Ῥωμαίων κατεπαρθείς, ἐξ αὐτῆς ὡς εἶχε κατατρέχει τὰ κατὰ τὸν Αἷμον φρούρια. καὶ πλὴν ὀλίγων τὰ μὲν κατὰ κράτος ᾕρει, τὰ δὲ καὶ δι' ὁμολογίας προσήγετο. προσδόκιμος δ' ἦν καὶ τοῖς λοιποῖς προσβαλεῖν, εὐκολίᾳ καιροῦ βαρβαρικὴν συμμίξας αὐθάδειαν. ὁ μέντοι γε βασιλεὺς ἐπιθήκην καὶ τοῦτο δεξάμενος τῶν δεινῶν, καλὸν ἡγούμενος καὶ σωτήριον τοῖς ἐκεῖ τόποις τοῦ βαρβάρου τὰς ὀργὰς προκαταλαβεῖν, ἐκείνοις μὲν ὡς εἶχε βοήθειαν πέμπειν ἠπείγετο, ὅμως γε μέντοι καὶ τὸν ἐξ αὐτοῦ βασιλέα πρὸς δύσιν ὥρμα, καὶ τέως αὐτόθεν ὑπονοῶν καὶ τὸν κατὰ τὴν Κρουνὸν ἐξάρχοντα τὸν τοῦ Σμίλτζου γαμβρὸν Ἐλτιμηρῆν, ὃς θεῖος μὲν ἦν πρὸς πατρὸς Ὀσφεντισθλάβῳ (τῷ γὰρ Τερτερῇ ὡμαιμόνει), δεσπότου

37. *Светослав напада съседните на Хемус крепости*

V, 18. В това време и Светослав[319], император, както някой би казал, на българите, било защото сръбският крал заради сродяването си с императора пренебрегва собствената му сестра[320], било пак поради същата и мъжа ѝ, неговия зет деспота[321], който бе задържан по причини, за които се каза, било поради изтощението на нашите войски той се отнесе с презрение към императора и съдбата на ромеите, и възгордян, веднага нападна[322] съседните на Хемус[323] крепости. И с изключение на малък брой едни превзе със сила, а други по споразумение. Очакваше се да нападне и другите, след като варварската му дързост порасне при благоприятни обстоятелства. Прочее императорът пое върху себе си и това зло и сметна за добро и спасително за ония места да пресече яростта на варварина и затова бързаше да им прати, колкото можеше, помощ. Същевременно изпрати на Запад и сина си император[324]. Междувременно той направо подозираше[325] и управителя на Крън Елтимир, зетя на Смилец, който бе чичо на Светослав (този пък бе брат на Тертер) и между бългаδ' εἶχε παρὰ Βουλγάροις ἀξίαν. καὶ διὰ ταῦτα τὴν ὁμαιχμίαν βασιλεὺς ἀποκρουόμενος, τοῦ μὴ κἀκεῖνον συνεισβαλεῖν Ὀσφεντισθλάβῳ, ἀλλά γε καὶ προσεπαμύνειν Ῥωμαίοις, εἰ δυνατόν, ἐκεῖνον μὲν πέμψας δώροις ἱκανοῖς ἐπειρᾶτο διεκμειλίσσεσθαι, καὶ προνοίαις ἐκ τῆς Ῥωμαίων θάλλειν κατεπηγγέλλετο, τῇ δὲ πενθερᾷ τούτου τῇ τοῦ Σμίλτζου συζύγῳ, αὐτανεψίᾳ οὔσῃ (τοῦ γὰρ σεβαστοκράτορος Κωνσταντίνου θυγάτηρ ἦν) τὰ μέγιστα προσθαρρῶν, ὡς τὸν γαμβρὸν παραπείσοι καὶ ἐκμειλίξαιτο, πέμψας τὸν αὐτῆς ἀδελφὸν τὸν Παλαιολόγον Μιχαὴλ τοῖς ἐκεῖσε τόποις ᾠκονόμει τὰ πρόσφορα. ἦν δὲ βασιλεὺς Μιχαὴλ ἐπὶ τούτοις προσδόκιμος ἐξελθεῖν, ἐπεὶ καὶ ἐξηρτύετο κατ' ἰδίαν τὰ οἴκοι καὶ βασιλικῶς ᾠκονομεῖτο· ἀποβαλόντι γὰρ τὰ ἀποτεταγμένα οἱ τῶν προνοιῶν κατ' ἀνατολὴν ἐκ τῆς τῶν Ἀγαρηνῶν ἐπιθέσεως προσεκυροῦντο παρὰ πατρὸς τὰ κατὰ δύσιν κτήματα τοῦ δεσπότου Μιχαήλ, ὅσοις ἄρα καὶ ὁ πενθερὸς ἐκείνου βασιλεὺς Μιχαὴλ ἐκ δύσεως ἀγαγὼν ὑπὸ φρικταῖς ὁμολογίαις καὶ τῇ θυγατρὶ συνοικίσας μεγαλοπρεπῶς ἐπολυώρει καὶ ὡς γαμβρὸν ἠγάλλε. (19) τὸ δ' αἴτιον τῆς ἐκείνου ταλαιπωρίας καὶ ἐπισχέσεως ἤδη μὲν καὶ προανατέτακτο, πλὴν ῥητέον καὶ ἐντελέστερον ὅτι στρατιώτας βασιλικῶν ἀλλαγίων, οἳ δὴ καὶ ἀντολίηθεν ἀποικισθέντες ἐξ ὑπογύου διὰ τὴν καταδρομὴν τῶν Περσῶν αὐταῖς γυναιξὶ καὶ τέκνοις ἦλθον κατὰ δύσιν, διά τινος ἑνὸς ἐκείνων τοῦ Κοτέρτζη μέχρι καὶ ἐς ἑκατὸν προσεκαλεῖτο, καὶ προσιόντας δεχόμενος κατὰ πόλιν ὧν ὅρκους ἀπῄτει πιστῆς προσεδρίας καὶ ξυναυλίσεως, ὡς σφᾶς εἶναι ἐχθροὺς ἐχθρῶν τῶν ἐκείνου καὶ φίλους φίλων, καὶ ἀντεδίδου τὰ ὅμοια πρὸς ἐκείνους, τὴν ὁμαιχμίαν προκαθιστάς, πόλλ' ἄττα διδοὺς καὶ μεγάλα καθυπισχνούμενος. καὶ ταῦτ' ἐπράττετο παρ' αἴσθησιν πᾶσαν, μὴ ὅτι γε βασιλέως, ἀλλὰ αὐτῶν δὴ τῶν συνήθων καὶ ᾠκειωμένων αὐτῷ. ἀλλὰ προσαγγελθὲν παρὰ τῶν ἀμφὶ τὸν Κοτέρτζην, δεινὴν βασιλεὺς ὑπενόει μελέτην καὶ ἀπιστίας ὠδῖνα ὑπώπτευε, καὶ μᾶλλον ὅτι τῆς ἀδελφῆς τελευτησάσης τῇ τοῦ Τερτερῆ συνοικῶν, ἥτις καὶ ἀλλότριον εἶχε πρὸς τὸν κρατοῦντα τὸ γένος. διά τοι ταῦτα καὶ μηνὸς Ἑκατομβαιῶνος μιᾷ προσκαλεῖ μὲν πατριάρχην προσκαλεῖται δ' ἀρχιερεῖς καὶ κλῆρον, παρόντων καὶ τῶν τῆς συγκλήτου, συνελθόντων τε καὶ μοναχῶν καὶ τῶν τῆς πολιτείας, καὶ εἰς κρίσιν βασιλεὺς καθιστᾷ τὸν δεσπότην· πρὸς ὃν καὶ εἰς ἀπολογίαν κατα-

---

[317] Гамелион — септември (1302 г.). [318] Андроник II приел в 1302 г. всички условия на Рогерий (Рожер де Флор): брак с племенницата му, получаване на титлата мега дук (командир на флота) и получаване на голямо възнаграждение за рицарите, пехотата и моряците. Вж. Успенский, История Византийской империи, III, с. 672. [319] Теодор Светослав. [320] Сръбският крал Милутин изоставил жена си, дъщерята на Георги I Тертер, за да се ожени за Симонида. [321] Деспот Михаил (Димитър) се оженил за бившата жена на сръбския крал, дъщерята на Георги I Тертер и сестра на Теодор Светослав. Вж. тук откъс 31. [322] През 1303 г. (Вж. П. Мутафчиев, История на българския народ, II, с. 204). [323] Хемус, тук Изт. Стара планина. [324] Михаил, син и съимператор на Андроник II. [325] Да не мине на страната на Теодор Светослав.

рите имаше достойнството деспот. И затова императорът желаеше да осуети съюза — не само той да не нападне заедно със Светослав, но и ако е възможно, да защищава ромеите. Затова той изпрати хора и се опита с достатъчно доверие да го спечели и обеща да го почете с пронии от ромейската държава. А вярвайки най-много на тъщата му, съпругата на Смилец, която му бе братовчедка (защото бе дъщеря на севастократора Константин[325a]), че ще убеди и омилостиви зетя си, той изпрати брат ѝ Михаил Палеолог[326] и уреди нужното за тамошните места. Император Михаил[327] предстоеше да тръгне за тази цел, тъй като си подготвяше със свои средства домашните работи и се готвеше по царски. Понеже беше загубил дадените му на Изток пронии поради нападенията на агаряните[328], неговият баща му даде имотите на Запад на деспот Михаил[329], с които неговият тъст, императорът Михаил[330], като доведе деспота от Запад след страшни клетвени споразумения, го беше надарил великодушно и го почете като зет, оженвайки го за дъщеря си. Причината за нещастието и затварянето на деспота бе вече посочена по-рано, но трябва да се каже и по-пълно. Войници от императорските алагии внезапно се изселиха от Изток поради нападенията на персите[331] заедно с жените и децата си и бродеха на Запад. Чрез един от тях, [по име] Котерца[332], той събра около стотина [войни]. Те дойдоха и той ги прие, когато бе в града. Поиска им клетва за вярна служба и съжителство, че ще бъдат врагове на враговете и приятели на приятелите му. Той им даде същата клетва. И като сключи съюза, той ги дари с много неща и им обеща [още по-]големи. И това се вършеше [от деспот Михаил], без никой да знае, без знанието не само на императора, но и на неговите близки и домашни. Но това бе съобщено от някои от хората около Котерца и императорът се разтревожи страшно и съзря зародиша на измяна, още повече, че след смъртта на сестра му[333] той се бе оженил за дъщерята на Тертер, която по произход беше враждебна на владетеля. Затова един ден през месец хекатомбеон[334] той извика патриарха, извикани бяха и архиереите и клирът, а се явиха и членовете на сената, събраха се и монаси, и граждански лица. И императорът повика на съд деспота. Пред императора той започστὰς ἐκεῖνος, πολλὰ λέγων καὶ κατὰ τῆς κατηγορίας ἀποδιδράσκειν πειρώμενος, τέλος καταδικασθεὶς τῷ μεγάλῳ παλατίῳ ἐγκλείεται τρισκαιδεκάτῃ Κρονίου αὐτὸς καὶ γυνὴ καὶ τὰ τέκνα, ἃ δὴ ἀπὸ τῆς τοῦ Τερτερῆ ἀπεγέννησεν. ἀγέλας δ' ἵππων καὶ πᾶσαν ὕπαρξιν τὴν ἐκείνου καὶ κτήματα τῷ υἱῷ καὶ βασιλεῖ δίδωσιν. οὐ μὴν δ' ἀλλὰ καὶ αὐτὴν τὴν ἐκείνου οἰκίαν τῷ δεσπότῃ Ἰωάννῃ προσνέμει. ὕστερον δ' ἐκεῖθεν ἀποδρᾶναι πειραθείς, γνωσθέν, ταῖς κατὰ τὰς Βλαχέρνας εἱρκταῖς ἐγκλείεται.

[325a] Константин, севастократор, брат на Андроник II. [326] Михаил Палеолог, син на Андроник II. [327] Михаил, син и съимператор на Андроник II. [328] Агаряни, тук =турци. [329] Михаил (Димитър) деспот, син на епирския деспот Михаил II. [330] Михаил VIII Палеолог. [331] Персите, тук = на турци. [332] Котерца, офицер от императорските алагии. [333] Сестрата на Андроник II е покойната жена на деспот Михаил. [334] Хекатомбеон — януари (1305 г. Вж. Petri Possini Observationes Pachymerianae, Pachymeres, II, с. 858).

(II, pp. 406_4—409_4)

на да се защищава. Говори много и се опита да се измъкне от обвинението, но накрая бе осъден и на тринадесети кроний[335] бе затворен във великия дворец — той, жена му и децата, които бе добил от дъщерята на Тертер. Стадата коне, целия му имот и имуществото [императорът] даде на сина си император[336]. Къщата му обаче предаде на деспот Йоан[337]. По-късно той се опита да избяга оттам, но това бе узнато и той бе затворен в затвора на Влахерните.

38. De Asanis vidua Irene, magni ducis Rontzerii coniuge

V, 21. διὰ ταῦτα καὶ τῆς μεγάλης ἑβδομάδος καταλαβούσης, Κρονίου μηνὸς λήγοντος, τὴν ἰδίαν αὐταδέλφην τὴν τοῦ Ἀσὰν Εἰρήνην ὡς πενθερὰν πλῷ χρησομένην Κυζίκωσε ἀπολύει, οὐδενὸς χάριν ἄλλου ἢ τοῦ τὸν γαμβρὸν ἐκμειλιξαμένην ὁρμῆσαι·

(II, p. 421_{12-16})

38. За Ирина, вдовицата на Асен, съпругата на великия дук Рожер

V, 21. Поради това[338] в началото на великата седмица, към края на месец кроний[339], той[340] изпрати по море в Кизик[341] братовчедката си, вдовицата на Асен[342] Ирина не за друго, а като тъща да омилостиви зетя си[343], та да потегли[344].

39. Chranislavus ortu Bulgarus laqueo suffocandus traditur

V, 23. Τὰ δὲ περὶ τὸν μέγαν δοῦκα στρατεύματα ἐν πολλῷ τῷ κατὰ σφᾶς θάρρει προσβάλλει τῇ Γέρμῃ, ὑπ' ἐλπισμοῖς ἀφρόσι τοῦ πλῆθος Περσῶν τῇδε καταλαβεῖν καὶ τὰ τῆς ἀνδρείας ἐνδείξασθαι. οἱ δ' ἐκ τῆς φήμης κατασεισθέντες καὶ μόνης, ὡς ἔδειξαν, ἀκόσμῳ φυγῇ καὶ ἀγενεῖ δρασμῷ ἀφέντες τὸ φρούριον ἀπεδίδρασκον. οἱ δὲ κατόπιν ἐπιστάντες, ὡς εἶχον, τοῖς ἀπολειφθεῖσιν ἐξικανοῦντο. πλὴν εἰ χρὴ πιστεύειν, καί τισι δι' ἀγχόνης μόρον κατὰ τὸν τρόπον τῶν Ἰταλῶν ἐπῆξεν ὁ ἀφηγούμενος, οὐ παρ' ἄλλο τι ἢ τὸ θέλειν ἐκείνους περιποιεῖν σφέτερα. ὁ δὲ εἴτ' ἀμυνόμενος αὐτόθεν εἴτε μὴν καὶ τοὺς λοιποὺς δεδιττόμενος, καὶ ὑπὸ τοὺς δώδεκα, ὡς ἐλέγετο, ἀπηγχόνισεν, ὅπου γε καὶ αὐτὸν τὸν σφῶν ἐξηγούμενον, ἄνδρα ἀρειϊκὸν ἐκ Βουλγάρων καὶ μέγαν ἐξ ἀξιωμάτων τζαούσιον τὸν Χρανίσθλαβον, ὃν ἐκ τοῦ κατὰ τὸν Λαχανᾶν πολέμου ἐπὶ Μιχαὴλ τοῦ βασιλέως ἁλόντα

39. За обесването на българина Хранислав

V, 23. Войските на великия дук[345], на пълно уверени в себе си, се насочиха към Герма[346], като се надяваха да нападнат там множеството перси и да се проявят с храбрите си дела. А персите, смутени само от слуха, в безредно и позорно бягство изоставиха крепостта и се разбягаха. А тези, които нападаха отзад, веднага се пренатовариха с плячка от изостаналите. Освен това техният предводител, ако трябва да се вярва, умъртви някои по начина на италийците — чрез обесване — не по някаква друга причина, а защото тези хора искали да вземат тяхното. А той избеси, както се казваше, близо дванадесет души било направо за наказание или за да сплаши другите. Тогава именно в изблик, както се казва, на гняв той нарани с меча си и предаде на тия, които ще го обесят, и самия им предводител Хранислав, мъж войнствен, българин по произход, с достойнството велик чауш[347]. Него го бяха пленили по време на император Михаил[348] във войната против Лахана и го бяха държали окован в затвора. Много години след καὶ δεσμοῖς ἐφ' εἱρκτῆς συνισχημένον πολλοῖς ὕστερον χρόνοις βασιλεὺς τῆς εἱρκτῆς ἐκβαλὼν καὶ τιμήσας τῷ ἀξιώματι τοῖς ἐκεῖ μέρεσιν ἐπὶ χρόνοις ἀρχηγὸν εἶχε, καὶ αὐτὸν γοῦν τοῦτον, ὡς λέγεται, ἐξ ἑτοίμου τῇ μαχαίρᾳ τρώσας τοῖς ἀπαγχονίσουσι παρεδίδου. κἂν καὶ τοῦτ' ἐγεγόνει, εἰ μή γε πολλοὶ καὶ πρὸς ἱκετείαν ἀξιόχρεῳ ὑπὲρ τοῦ ἀνδρὸς οὐκ ὀλίγα προτείνοντες δίκαια ἐξηρήσαντο.

---

[335] Кроний, март (1305 г. Вж. Petri Possini Observationes Pachymerianae, Pachymeres, II, с. 858). [336] Михаил, син и съимператор на Андроник II. [337] Йоан, деспот, син на Андроник II. [338] А именно поради отчаяното положение на византийците в М. Азия (Филаделфия търпяла големи лишения поради обсадата) императорът разчитал най-вече на помощта на великия дук Рогерий (Рожер де Флор). [339] Кроний, март (1306 г. Вж. Petri Possini Observationes Pachymerianae, Pachymeres II, с. 860). [340] Андроник II. [341] Кизик, град на малоазийския бряг на Мраморно море. [342] Иван Асен III. [343] Сиреч Рогерий (Рожер де Флор). [344] Тъй като се бавел да потегли на помощ на византийците. [345] Рогерий (Рожер). [346] Герма, гр. в М. Азия. [347] Велик чауш, дворцова длъжност. Той бил началник на чаушите, които били на разположение на императора за изпълнение на заповедите му. Длъжността била създадена в XI в. и била заемана от турци. Вж. Bréhier, пос. съч., с. 148. Също Moravcsik, Byzantinoturcica, II, с. 308—309. [348] Михаил VIII Палеолог.

(II, pp. 425_{12}—426_{12})

40. *De Bulgaro Ioanne Choerobosco, de Theodoro Svetoslavo Eltimireque*

V, 27. Ἐν τουτῳ καί τις νεανίας τὸ γένος Βούλγαρος, Χοιροβοσκὸς τοὐπίκλην, ἀπὸ τοῦ ἐπιτηδεύματος οἶμαι τοῦ πάλαι, Ἰωάννης, πολέμοις τισὶν ἐνδιατρίψας κατὰ Μυσίαν, ὡς ἰσχυρίζετο, ἀκούων τὰ κατ' ἀνατολὴν δρώμενα, καὶ ὡς ἀσυντάκτως οἱ Πέρσαι χωροῦντες καὶ κατὰ λόχους ἐρημωθείσας τὰς χώρας μηδενὸς κωλύοντος κατατρέχουσιν, ἀναλαμβάνει θάρρος, καὶ εἰς τριακοσίους τῷ ποσῷ προσεταιρισάμενος, τοξοφόρους καὶ κορυνήτας τοὺς πλείστους, τὸ μὲν πρῶτον πρὸς τῇ θαλάσσῃ γενόμενος ἠβούλετο διαπεραιοῦσθαι, ἔτι κατ' ἀνατολὴν τοῦ βασιλέως διάγοντος Μιχαήλ· ἐπεὶ δὲ ἀνενεχθὲν τοῦτο ἔννοιά τις ἐμπίπτει τοῖς ἐπ' ἐξουσίαις ἀκούσασι, μὴ λαὸς ἀγροῖκός τε καὶ ἀπόλεμος παραπόληται, καὶ διὰ ταῦτα κατασχεθεὶς ἐκεῖνος φυλακῇ δίδοται, καὶ μῆνας ἐννέα τῇ ἐγκλείσει προσταλαιπωρήσας ἔπειτ' ἐκεῖθεν ἀποδρὰς τῇ ἐκκλησίᾳ προσφεύγει, ἐντεῦθεν αὖθις ἐνευκαιρήσας τῶν προτέρων ἐκείνων διανοιῶν γίνεται, καὶ τῆς ἐκκλησίας κρύβδην ἀποχωρήσας ξύγκλυδα λαὸν ἐκ τοῦ παραυτίκα συναθροΐζει, καὶ τὴν ταχίστην συνάμα σφίσιν ἀνεπινοήτως διαπεραιοῦται. οὐδὲ γὰρ ἦν ἠρεμεῖν κἀκείνους κακουμένους ἤδη τῷ χρόνῳ, καὶ δυοῖν θάτερον, ἢ ζῆν ἐπὶ τῶν σφετέρων ἢ εὐκλεῶς πεσεῖν ἀγαπῶντας. καὶ οὕτως στρατὸς ὅλος γενόμενος ὑπὸ τῷ Χοιροβοσκῷ στρατηγοῦντι πεῖράν τινα ἁρπάζειν τῶν ἐχθρῶν ἐπειρῶντο. καὶ τὰ μὲν πρῶτα ὀλίγοις πλεῖστοι παρεμπίπτοντες ἠνδραγάθουν. ἦν δὲ ἄρα εἰρωνεία τύχης σφίσι τὰ δρώμενα, καὶ ἐπιγέλα τούτοις τὸ μόρσιμον, τὸ τοῦ κολυμβητοῦ πάσχοντες, ᾧ δῆτα ὁ νόστος οὐκ ἔχει τὰ τῆς σωτηρίας ἐχέγγυα. ὡς γὰρ Κεγχρεαῖς πλῆθος Περσῶν περιίστατο, καὶ οἱ ἐκεῖσε πολλοί τινες ὄντες ἐκ τῶν κατὰ Σκάμανδρον χωρῶν διὰ τὴν ἀνάγκην παραβυσθέντες ἐν κινδύνοις ἦσαν καὶ βοηθείας ἑτέρωθεν ἔχρῃζον, ἅμα τῷ μαθεῖν καὶ αὐτοὶ συνταξάμενοι ἐκεῖ γίνονται. καὶ ἀνωΐστως ἐπεισπεσόντες ἐκ τοῦ παραχρῆμα ἔδοξάν τινες εἶναι, καὶ ὑπερέσχον

това императорът[349] го извади от затвора, върна му достойнството и дълго време го държа като военачалник в тамошните места. И щяха да го обесят, ако наистина мнозина и заслужаващи доверие хора не бяха при застъпничеството си изтъкнали много [негови] достойни постъпки и не го бяха измолили.

40. *За българина Иван Свинопаса, за Светослав Теодор и за Елтимир*

V, 27. По това време[350] и един младеж Йоан, родом българин, по прякор Свинопас, може би поради предишното му занимание, твърдеше, че бил взел участие в някои войни в Мизия[351]. Като слушал за събитията на Изток и как персите безредно, на отделни отреди нападали безпрепятствено обезлюдените области, одързостил се и като събрал около себе си близо триста души, въоръжени с лъкове, а най-много с боздугани, най-напред пристигнал до морето и пожелал да премине отвъд, докато император Михаил[352] все още бил на Изток. Когато това бе съобщено, властниците, които го чуха, се уплашиха да не би да погине селският и неопитен във войната народ и затова [Свинопасът] бе заловен и затворен в тъмница. Девет месеца той изтрая в затвора, а после избяга оттам и прибягна в църквата. След това той си отпочина и отново замисли същото. Измъкна се тайно от църквата, веднага събра тълпата от хора и заедно с тях неочаквано бързо премина морето. Наистина те не можаха да стоят дълго време в лишения и предпочетоха едно от двете неща — или да живеят в своята земя, или славно да паднат. И когато се събра така цялата войска под началството на Свинопаса, те се опитаха да се сблъскат с неприятелите. И най-напред нападнаха в голямо количество една малка група и се проявиха храбро. Но станалото беше една шега от страна на съдбата, която [накрая] им се надсмя. Те претърпяха това, което се случва с гмуреца, за чието [второ] щастливо завръщане наистина няма гаранция. Когато прочее множество перси обсаждаха Кенхрей[353], събралото се там поради бедствието множество от околните на Скамандер земи беше в опасност и се нуждаеше от външна помощ. Щом се научиха [за това], хората на Свинопаса се явиха там, построени в бойни редици. Неочаквано и внезапно те нападнаха, показаха се мъже и надделяха, като враговете бяха обърнати в τραπέντων τῶν πολεμίων. καὶ τότε μὲν ὡς εἰκὸς ἀνακωχὰς τοῖς πολιορκουμένοις ἐδίδουν· ὕστερον δὲ συναχθέντες πλείους οἱ Πέρσαι ἑνὸς κατὰ τούτων ὁρμήματος γίνονται, καὶ ἱππεῖς πεζοῖς μεθ᾽ ὁρμῆς σφοδρᾶς ἐμπίπτοντες κατὰ κράτος νικῶσι, καὶ τὸν Χοιροβοσκὸν περισχόντες κτείνουσι, πλὴν οὐχ ἅμα τῷ περισχεῖν, ἀλλ᾽ ἐπεὶ περὶ τῆς ἑαυτοῦ τιμῆς τοὺς ἐν τῷ φρουρίῳ προσελιπάρει (ἔστησαν γὰρ τὴν τιμὴν εἰς νομίσματα πεντακόσια, ὧν λυτροῦν ὑπισχνοῦντο), οἱ δὲ κατημέλουν, ἐκεῖνος Βουλγάρων γλώσσῃ ὡς τινῶν ξυνησόντων (τὴν γὰρ Ἑλλάδα καὶ καχυπώπτευεν ὡς πολλῶν ξυνιέναι δοκούντων τῶν ἔξω) τοῖς ἐντὸς διελέγετο. οἱ λόγοι δ᾽ ἦσαν ὡς ἰσχυρισομένου κατὰ Περσῶν, εἰ λύσαιντο. αὐτίκα γοῦν τινῶν ξυνιέντων καὶ Πέρσαις ἀγγειλάντων φωρᾶται κακουργῶν Πέρσας, οἳ τὸ καθ᾽ αὑτοὺς δείσαντες, εἰ ἐχθρὸν ἀπαραίτητον λύσαιντο, τιμὴν ἐκείνην καὶ κέρδη ὡς οὐδὲν λογισάμενοι κτείνουσιν. ἄλλος δ᾽ ἔστι λόγος τούτου πιστότερος, ὡς πεφύλακτο μὲν τότε συνὼν τοῖς ἐχθροῖς, ὕστερον δ᾽ ἀποδρὰς ἐκεῖθεν πρὸς δύσιν κάτεισι, καὶ τῷ Μιχαὴλ προσελθὼν τιμὴν λαβὼν ἐπὶ Βουλγάροις τῆς σεβαστότητος, ἐπεὶ ἀνόνητα ὅσα κατὰ Τούρκων καὶ Ἀμογαβάρων Ῥωμαῖοι ὥρμων ποιεῖν, ἐκχώρησιν αὐτὸς λαβὼν παρὰ βασιλέως, περί που δὴ καὶ χιλίους συνάξας, πεζὸς σὺν πεζοῖς ἐπέχρα τοῖς Πέρσαις, καὶ κακῶς ἔδρα περὶ τὰ κατὰ τὴν Θεσσαλονίκην, οὐ Θεσσαλὸν πάντως ἀλλὰ Βουλγαρικὸν καὶ οἷον αὐτῷ σύνηθες. ἐντεῦθεν ἐκ πολλῆς ἀδείας οἱ Πέρσαι περικαθίσαντες ἐνδείᾳ ὕδατος αἱροῦσι τὸ φρούριον, καὶ τοὺς μὲν ὀλίγων ἀποδράντων ἔργον μαχαίρας ποιοῦσι, τὰ δ᾽ ἐκεῖσε σκυλεύσαντες πῦρ ἐνιᾶσι καὶ τὸ πᾶν ἀφανίζουσιν.

---

[349] Андроник II. [350] През 1306 г. Вж. тук бел. 241. [351] Мизия, сиреч България. [352] Михаил, син и съимператор на Андроник II. [353] Кенхрей, крепост край р. Скамандер.

28. Ἀλλὰ ταῦτα μὲν ἐς τοσοῦτον. ἠσθένουν δ᾽ αὖθις τὰ κατὰ δύσιν καὶ κακῶς εἶχον ἐξ Ὀσφεντισθλάβου, Ἐλτιμηρῆ πρὸς αὐτὸν ἀποκλίναντος. κἀπειδήπερ τὰ κατὰ τὸν Αἷμον ἐδῄουν καὶ καθ᾽ ὁμολογίας τὰ πλεῖστα ᾕρουν, Κτένια καὶ Ῥωσό-

бягство. И тогава, както е редно, дадоха възможност на обсадените да си отдъхнат. По-късно обаче персите се събраха в по-голямо количество и всички заедно връхлетяха срещу тях. И конниците, нападайки със силен устрем, победиха напълно пешаците. И като обкръжили Свинопаса, убили го. Но не веднага с обкръжаването му. След като настоятелно помолил хората в крепостта за своя откуп (те му били определили откуп петстотин жълтици, срещу който обещавали да го освободят), а онези нехаели, той заговорил с тези вътре на български език, тъй като [иначе] някои щели да го разберат (той нямал доверие в гръцкия, понеже изглеждало, че мнозина от тези, които били вътре, го разбирали). Думите му били, че щял да засили борбата срещу персите, ако бъдел освободен. Понеже някои разбирали [български] и съобщили на персите, той бил изобличен, че ги мами. Те се уплашили за себе си и го убили, понеже сметнали, че ако освободят неумолимия враг, откупът и печалбата нямало да струват нищо. Но има и по-достоверен от този разказ. Той тогава бил пазен заедно с враговете, но по-късно избягал оттам и отишъл на Запад. След като получил при българите достойнството севаст[354], той минал на страната на Михаил, когато ромеите се готвели да извършат някои необмислени неща срещу турците и амогаварите[355]. Като получил позволение от императора и събрал около хиляда души, той, пешак с пешаци, нападнал персите и опустошил местата около Солун не по тесалийски начин, а по български и по начин, който му бил свойствен. След това[356] персите смело обсадили крепостта и поради липса на вода я превзели. Те изклали хората освен малцина, спасили се с бягство. Оплячкосали тамошните места, хвърлили огън и унищожили всичко.

28. Но за това толкова. А на Запад положението беше отново тежко и лошо поради Светослав, тъй като Елтимир мина на негова страна. И императорът беше в безизходно положение и бързаше да спре напредването му, понеже се опустошаваха крепостите край Хемус[356a], а множеството от тях завземаха по споразумение — Ктения[357] и Русокастро[358] и

---

[354] Според H. Ahrweiler (Le sébaste, chef de groupes ethniques. Etudes sur les structures administratives et sociales de Byzance, Variorum reprints, London, 1971, p. 35—36) длъжността, а не титлата „севаст на българите" била дадена на Йоан Свинопаса от Михаил IX и вероятно означавала, че носителят ѝ е бил началник на военни единици на византийска служба със специален статут, съставени от българи. [355] Амогавари (алмогавари), испанска пехота, са били основното ядро на каталанските дружини. Вж. Petri Possini Observationes Pachymerianae, Pachymeres, II, 659. Също Успенский. История Византийской империи, III, с. 671. [356] Разказът се връща към обсадата на Кенхрей след разбиването на войските на Свинопаса. [356a] Хемус, тук Ист. Стара планина. [357] Ктения, според Златарски (История, III, с. 562) това е старата крепост Голое при дн. с. Комарево. [358] Русокастро, крепост, чиито развалини са при дн. с. Русокастро.

κάστρον καὶ ἄλλ' ἄττα πλεῖστα, ἤδη δὲ καὶ τὰ κατὰ Σωζόπολιν καὶ Μεσέμβρειαν Ἀγαθόπολίς τε καὶ Ἀγχίαλος ἐκραδαίνετο καὶ τοῖς ἑτοίμως ἐῴκεσαν προσχωρήσουσιν, ἐν ἀπόροις ἦν ὁ κρατῶν, καὶ προκαταλαβεῖν τὴν ἐς τὰ πρόσω ἔφοδον ἔσπευδε. τὰ μὲν οὖν κατ' ἀνατολὴν πρὸς ἄλλοις τὸν νοῦν ἔχειν αὐτὸν οὐκ ἠφίει· ὅμως τῷ τῶν πραγμάτων ἀναγκαίῳ στενοχωρούμενος ἔγνω τὸν υἱὸν ἀποστεῖλαι καὶ βασιλέα. καὶ δὴ παρασκευασάμενος τὰ πρὸς ἔξοδον συνεκπέμπει τούτῳ καὶ Γλαβᾶν ἐκ Ταρχανειωτῶν πρωτοστράτορα, ἄνδρα ἀρεϊκὸν μὲν καὶ ἐμπειροπόλεμον, τὰ πλεῖστα δὲ τῷ τῶν βουλῶν ἐπηβόλῳ· ἡ γὰρ ποδάγρα προσίστατο τὰ πολλὰ πρὸς τὸ πράττειν δυνάμενον κατορθοῦν. συνήγοντο γοῦν αἱ δυτικαὶ δυνάμεις περὶ τὸν νέον βασιλέα προσκαθήμενον τῇ Βιζύῃ· ἀλλ' οὐκ ἐδόκουν αὐτάρκεις πρὸς ἀνταγώνισιν. ὅμως φανέντων Βουλγάρων περὶ Σωζόπολιν ὁ βασιλεὺς ἐκπέμπει συνάμα πλείστοις τὸν ἐκ Βουλγάρων Βοσσίλαν, τὸν Σμίλτζου καὶ Ῥαδοσθλάβου ὕστατον ἀδελφόν· ὃς δὴ καὶ διὰ ταχέων ἐπιστάς, καὶ φόβον ἐμβαλὼν οὐ μικρὸν τοῖς ἐχθροῖς, εἰς φυγὴν παραυτίκα τρέπει τοὺς ἐπιόντας. καὶ τὸν Σκαφιδᾶν ποταμὸν περαιουμένοις οὕτως ἀκόσμως δυστύχημα συναντᾷ, καὶ ἡ γέφυρα καταπίπτει, καὶ ποταμὸς ἐντεῦθεν καὶ ξίφος τοὺς ἀθλίους διεμεριζέτην, καὶ φόνος οὐχ ὁ τυχὼν γίνεται. τοῦτο Βουλγάρους ὀτρύνει, καὶ σφίσι σύνηθες ὂν ἀναιμωτὶ τοὺς ἑαλωκότας ἀπολύειν, χωρὶς μέντοι τῶν ἐπιφανῶν καὶ μεγάλων, ὡς μόνους συμβαίνειν πίπτειν τοὺς ἀνθισταμένους κατὰ τὸν πόλεμον, οἱ δὲ κατὰ τὴν Ἀνδριανοῦ προσβαλόντες καὶ τὰ λάφυρα διαρπάζοντες, σφαλέντων τῶν ἡμετέρων τύχης ἀστασίᾳ καὶ τῷ ἀλλοπροσάλλῳ τοῦ Ἄρεος, πολλοὺς οὐκ ἀπώκνουν φονεύειν. ὅθεν καὶ βασιλεὺς ὑπερπαθήσας, ἐπεὶ ἔδει καὶ ἱκανὰς συγκροτεῖν δυνάμεις ἐφίστασθαι μέλλοντι τῇ Ἀνδριανοῦ, πολλοὺς μέν τινας ἐκ τῆς ἕω συνηπείγετο ἐμπειροπολέμους, ἀλλὰ γυμνοὶ τῶν ὑπαρχόντων ἦσαν οὗτοι καὶ ἐνδεεῖς. τούτους γοῦν ἱκανοῦν ἐκ τῶν δυνατῶν προθυμούμενος, τὰ πολλὰ τῶν ἰδίων σκευῶν, ὅσα χρυσοῦ καὶ ἀργύρου ἦσαν ἐξειργασμένα, συνοτρυνούσης εἰς τοῦτο καὶ τῆς Αὐγούστης Μαρίας (τὰ γὰρ

твърде много други, а и селищата край Созопол и Месемврия, именно Агатопол и Анхиало, вече изнемогваха и изглеждаше, че са готови да се предадат. Положението прочее на Изток не му позволяваше да насочи вниманието си към други неща. Все пак, обезпокоен от неудържимото положение, той[359] реши да изпрати [на Запад] сина си император. И като приготви необходимото за заминаването, заедно с него проводи и протостратора Глава от Тарханиотовците, мъж войнствен и опитен във военните работи, но най-много със съветите си. Защото подаграта пречеше много да може да действува успешно. Прочее западните войски се събраха около младия император, който стануваше във Виза. Но те, изглежда, не бяха достатъчни, за да се противопоставят. Все пак, когато българите се появиха около Созопол, императорът изпрати заедно с мнозина други българина Войсил, който е най-малкият брат на Смилец и Радослав. Той нападна бързо и като внуши голям страх у враговете, веднага обърна в бягство настъпващите [българи]. Когато преминаваха така безредно през реката Скафида[360], сполетя ги нещастие — мостът се срути и така реката и мечът си разделиха нещастниците, като настъпи необикновено избиване. Това поощри българите[361], които имаха обичай да освобождават невредими пленените с изключение на знатните и големите, така че се случваше да загинат само тези, които се противопоставяха в сражението. Но [сега] те[362]-понеже нашите претърпяха поражение пора, ди променливата съдба и непостоянния Марс, настъпиха срещу Адрианопол, грабеха плячка и не се поколебаха да избият мнозина. От това императорът много се наскърби. И тъй като щеше да отива в Адрианопол, трябваше да въоръжи достатъчно войски. Затова той събра от Изток много опитни войници, но те бяха без средства и нуждаещи се. Стараейки се да ги задоволи според възможностите [си], той[363] изпрати в столицата и нареди да се насекат за пари много от неговите предмети, изработени от злато и сребро, като в това го поощряваше и императрицата Маπλεῖστα ἐκ τῶν αὐτῆς ἦσαν προικώων, ὧν οἴκοθεν ἐπεφέρετο) πέμπει πρὸς πόλιν, εἰς νόμισμα ταῦτα κοπῆναι προστάσσων. ὃ δὴ γεγονὸς τὴν ταχίστην, καὶ στρατὸν εἰς χιλιοστύας ἐξετοιμασάμενος, ἐπὶ τῆς Ἀνδριανοῦ σὺν πολλῷ τῷ θάρρει σφίσι συνεξορμᾷ. καὶ τὴν Αὐγοῦσταν ἐκεῖ καταλιπών, πρότερον τὴν Θεοτόκον ποτνιασάμενος, κατὰ τὸν ἔξω ζυγόν, ὃν καὶ Ῥωμανίαν λέγουσιν, εἰκοστῇ τρίτῃ Ποσειδεῶνος ἀρεϊκῶς εἰσβάλλει, καὶ τὰ ἀπὸ Ῥεαχούβεως καὶ ἐς Στίλβνον μέχρι καὶ Κόψεως, τὴν παλαιὰν παροιμίαν ἀνανεούμενος, λείαν Μυσῶν ἀπεργάζεται, καὶ τὸν Ἐλτιμηρῆν ἀποκλείει. αὖθις δὲ τὰ ὅμοια δράσας καὶ ἐφ' ἡμέραις τὴν τῶν ἐναντίων καταδρομῶν πρὸς Ὀρεστιάδα ἐπαναζεύγνυσι. ταῦτ' ἀκουσθέντα ἐκ τῶν πρὸς τὴν Αὐγοῦσταν Μαρίαν τοῦ ἀδελφοῦ τοῦ βασιλέως Θεοδώρου γραμμάτων, ἡ ὁμωνυμία τῆς Ῥεαχούβεως θόρυβον ἐμποιεῖ βασιλεῖ. τὸν γὰρ Στίλβνον εἰδὼς ἐκ φημῶν καὶ τὴν Κόψιν, ἐπεὶ καὶ περὶ τῆς Ῥεαχούβεως ἐρωτῶν ἐγγὺς τῶν ὁρίων Τερνόβου ταύτην ἤκουε κεῖσθαι ἐκ μεσημβρίας, ἡμερησίαν ὁδὸν διέχουσαν, χλεύην ὅλως ὑπελάμβανε τὰ γραφόμενα, καὶ οὔτε συμβαλεῖν εἶχεν εἰς ἓν τὰ πόρρω διεστῶτα; καὶ τόλμαν ὄντως εἰκαίαν, εἰ τοῦτ' ἐπράχθη, καὶ κίνδυνον ἀναγκαῖον τοῖς εἰσελθοῦσιν ὡς τὸ εἰκὸς ὑπελάμβανεν. ἦν δὲ ἄρα, ὃ καὶ ἐκ τοῦ παρασχεδὸν ἠκούετο, ἑτέρα τις ὁμωνυμουμένη Ῥεάχουβις, ἣν καὶ ὑποκοριζόμενοι ἄνθρωποι Ῥεαχοβίτζαν ἐκάλουν. καὶ οὕτω θόρυβος μὲν ἐπέπαυτο, τὸ δ' ἀσφαλὲς τῶν γραμμάτων κατελαμβάνετο. οὔπω δὲ καὶ Ποσειδεὼν ἐπληροῦτο, καὶ ἐντελεῖς φῆμαι, μήνυτρα καθαρὰ ἐκ τῶν ὑστέρων ἐπαναζεύξαντος, λίαν διεβεβαίουν ὡς οἱ Βούλγαροι ἔκαμον.

---

[359] Андроник II. [360] Скафида, дн. Факийска река. Сражението станало през 1303 г. Вж. Мутафчиев, История, цит. съч., II, с. 206. [361] Това място и следващите думи се тълкуват различно. От текста личи, че българите са били обърнати в бягство и преминали моста на реката. Когато обаче византийците преминавали моста, той се срутил и те станали жертва на водите и на меча. Това ободрило българите, които не спазили обичая си да освобождават пленените, защото, след като при срутването на моста военното щастие изменило на византийците, при напредването към Одрин те избили мнозина ромеи. Д. Н. Анастасиевич (Кто пострадал на Скафиде (Fakih-dere) 1308 г. ИРАИК, XV, с. 122—123) смята, че са пострадали византийците, а победителите са българите. К. Иречек (Archäolog.-epigr. Mittheilungen aus Österreich-Ungarn, X, 1886, с. 166) смята, че са пострадали българите. Според латинския превод българите на Войсил спазили обичая да освобождават невредими пленниците, а българите на Теодор Светослав не отвърнали по същия начин и избили мнозина, когато щастието на Войсил изменило. [362] Сиреч българите на Теодор Светослав. [363] Михаил, синът на Андроник II.

(II, pp. 442_4—448_8)

41. Michael imperator Eltimiris atque Svetoslavi impetus coercere conatur

VI, 3. Ὁ μέντοι γε μέγας δοὺξ τὰ πλεῖστα περὶ Μαγνησίαν πονέσας καὶ περικαθήμενός τε τὴν πόλιν καὶ τῷ Ἀτταλειώτῃ ἀντιφερόμενος καὶ πολλοὺς ἀποβαλών, ἐπεὶ οὐκ ἦν ἀνυστὰ τἀκεῖ, οὐδ' ἴκταρ, τὸ τοῦ λόγου, βάλλοντι, μετὰ τὴν ἐν ταῖς πόλεσι πλείστην ἀλαστορίαν, καθ' ἣν ἐξηργυρολόγει μετ' ἀπηνείας χρήματα, ὑποστρέψας αὖθις κατὰ Μιτυλήνην γίνεται, τοὺς μὲν ἐπὶ τῶν νηῶν ἄγων, τοὺς δὲ πεζῇ κελεύσας ἐπὶ τῆς Καλλίου βαδίζειν. καὶ ἡ αἰτία ὅτι βασιλεὺς γράφων ἐκέλευε τῆς κατὰ Μα-

рия[364] (повечето предмети бяха от нейната зестра, донесени от дома ѝ). Това стана по най-бърз начин и той приготви войска от хиляди души. После много самоуверено тръгна с тях за Адрианопол. Той остави в него императрицата и след като се помоли на Богородица, на двадесет и трети посейдеон[365] нахлу враждебно в земята отсам Зигос[366], която наричат и Романия[367]. И подновявайки старата поговорка, обърна в мизийска плячка земите от Ряхово[368] до Стилбнос[369] и чак до Копсис[370] и отряза Елтимир. А като извърши отново същите опустошения и прекоси за кратко време вражеската земя, той се завърна в Орестиада. Когато императоровият брат Теодор извести това с писмо до императрица Мария, хомонимът Ряхово предизвика смут в императора. Защото той знаеше от мълвата за Стилбнос и Копсис. А когато попита и за Ряхово, чу, че е разположено близо до пределите на Търново откъм южната страна, на един ден път от него. Той взе писаното изцяло за шега. И не можа да съпостави разположените надалеч [едно от друго места] и естествено смяташе, че е наистина необмислена смелост, ако това е било направено, и че [то] представлява неизбежна опасност за нахлулите. Обаче в същност имаше друго едно едноименно Ряхово, което звучеше много близо. Него хората, които говорят умалително, го наричат Ряховица. Така смущението изчезна и истинността на писмото бе потвърдена. Още не беше изтекъл Посейдеон[371] и сигурни слухове, а и категорични сведения на по-късно завърнал се потвърдиха, че българите са пострадали.

41. Император Михаил се опитва да спре нападенията на Елтимир и Светослав

VI, 3. Великият дук[372] пострада много при Магнезия[373], когато обсаждаше града[374] и воюваше срещу Аталиот[375]. Той загуби мнозина, но понеже тамошната задача не беше постижима и, както се казва, [целта] за стрелеца не бе близка[376], след като събра из градовете най-жестоко и безмилостно пари, завърна се и отново се намери в Митилини[377]. Едни той водеше с кораби, а на други заповяда да отидат пеша в Галиполи. Причината за това беше, че императорът му бе заповядал писмено да се откаже от обсадата на γνησίαν μὲν πολιορκίας ἀποσχέσθαι, ἐξ αὐτῶν δὲ παραλαβόντα τοὺς κρείττους τὴν ἐπὶ τὸν Αἷμον ἰέναι, ὅπου καὶ βασιλεὺς Μιχαὴλ ἐστρατοπεδευμένος κατὰ τὴν Ἀνδριανοῦ ἔνθεν μὲν ἐπεῖχει Ἐλτιμηρῇ, ἐκεῖθεν δὲ Ὀσφεντίσθλαβον τῆς ὁρμῆς τῶν ὅρων ἀνεῖργεν ὡς εἶχεν. ὡς γοῦν πολλάκις βασιλέως γράφοντός τι καὶ ἀποστέλλοντος ὁ μεταξὺ καιρὸς κατετρίβετο (τὸ δ' αἴτιον ὅτι καὶ πάλιν μισθοφορίας ἐζήτουν πολυταλάντους, οὐ μόνον ὧν ἔμελλον ἐκδουλεύειν βασιλεῖ Μιχαὴλ συγγεγονότες κατὰ τὰ ἐπεσταλμένα, ἀλλὰ καὶ ὧν πρὶν ἔπραττον δῆθεν, οὐ ταῖς πράξεσιν ἀλλὰ μόνῳ δὴ τῷ καιρῷ, κἂν ὁποῖ' ἄττ' ἐποίουν, κἂν ἐν ἀνακωχαῖς καὶ ἀργίαις ἦσαν, παραμετρούμενοι τοὺς μισθοὺς καὶ εἰς ἑκατοστύας χιλιάδων τὰ ζητούμενα συμποσούμενοι), μόλις ἀφέντες Μιτυλήνην τοῖς κατὰ Μάδυτον αἰγιαλοῖς προσίσχου-

---

[364] Мария, арменка, жена на Михаил, сина на Андроник II. [365] Посейдеон, август (1304 г. Вж. Мутафчиев, История, пос. съч., II, с. 207). [366] Вж. тук бел. 232. [367] Романия тук означава Тракия. [368] Ряхово, при дн. с. Ряхово, край Стара Загора. [369] Стилбнос, дн. Сливен. [370] Копсис, при с. Текия (дн. Хр. Даново), в западния край на Сремската (Гьопска) долина, на юг от Троянския проход. Вж. Иречек, История, с. 225. [371] Посейдеон, август (1304 г.). [372] Рогерий (Рожер де Флор). [373] Магнезия, гр. в М. Азия. [374] През 1304 г. Вж. Успенский, История III, с. 90—92. [375] Аталиот, тиранин в гр. Магнезия. [376] Подобна на нашата поговорка „Гроздето е кисело“. [377] Митилини, гр. на о. Лесбос.

(II, pp. 480_{12}—481_{13})

42. *Rogerii adventus imperatori Michaeli ab Asane nuntiatur*

VI, 22. Ἐν τούτῳ καὶ ὁ ἀπὸ μεγάλου δουκὸς Ἰταλὸς μὲν τὸ γένος, ταῖς δ' ἀπὸ τοῦ βασιλέως ὀνομασίαις ὡς γαμβρὸς κλεϊζόμενος, πέμπων πολλάκις πρὸς βασιλέα καὶ τεχνιτεύων τὰς σκαιωρίας, τέλος ἀποσταλέντα καὶ αὖθις τὰ τοῦ Καίσαρος σύμβολα κατὰ τὴν ἡμέραν τῆς τοῦ ἁγίου Λαζάρου ἐγέρσεως ὑποδέχεται καὶ Καῖσαρ φημίζεται, δέχεταί τε παρὰ βασιλέως καὶ χρυσίου νομίσματα χιλιοστύας τρεῖς πρὸς τριάκοντα. ξυνέκειτο δὲ σφίσι λαμβάνειν καὶ σίτου τοπικοὺς μοδίους ἑκατὸν χιλιάδας, καὶ μέχρι καὶ ἐς τρεῖς χιλιάδας μαχίμων ἀνδρῶν παρακατασχόντα τοὺς ἄλλους ἀποπέμπειν, καὶ αὐτίκα περᾶν κατ' ἀνατολήν. ἀλλ' ὅμως ἐκ σκαιωρίας καὶ αὖθις οὐχ ὑπελείπετο πρόφασις, ἀλλὰ πολλοὺς μὲν ἀνὰ Κύζικον πέμπει πολλοὺς δ' ἀνὰ Πηγάς, ἱκανὴν δὲ μοῖραν καὶ τῷ Λοπαδίῳ προσνέμει. αὐτὸς δὲ καὶ τοὺς περὶ τὸν Μπυριγέριον θάλπων ἤδη ἀποστατήσαντα, ἔτι δὲ καὶ τοὺς ἀμφὶ τὸν νόθον ἀδελφὸν Θευδερίχου ὑποποιούμενος, τούτοις μὲν μέχρι καὶ Μιτυλήνης τὸν πλοῦν περιώριζεν, ἐκείνους δὲ παρακατεῖχε καὶ προφάσεις ἐπλάττετο καὶ ἄλλας μέν, τέως δέ γε τὴν ἔκδηλον, ὡς ἀκαθέκτους ὄντας οὐ δύναται καθυπάγειν εἰς τὸ οἰκεῖον θέλημα, καὶ ταῦτα μηδὲ ταῖς κεχρεωστημέναις μισθοφορίαις ἱκανωθέντας. ὑπεποιεῖτο δὲ καὶ τὴν τῶν ἑκατὸν χιλιάδων τοῦ σίτου συναγωγήν· καὶ ἀνὰ μέρος μὲν οἱ τοῦ βασιλέως συνῆγον ἐκ τῆς

Магнезия и като вземе от своите хора най-храбрите, да се насочи към Хемус[378], където император Михаил се беше разположил на лагер при Адрианопол и от една страна нападаше Елтимир, а от друга, доколкото можеше, задържаше устрема на Светослав към границите [ни]. Докато пишеше често и изпращаше пратеници, времето си течеше. Причината за това бе, че те пак си искаха възнагражденията, възлизащи на много таланта, срещу които щяха да служат на император Михаил според писмото му, и то не за извършеното, но просто за самото време, безразлично дали биха правели нещо или биха били в мир и бездействие. Те пресметнаха възнагражденията и изчислиха дължимата сума на стотици хиляди. Най-после напуснаха Митилини и дойдоха до близките на Мадит[379] брегове.

42. *Асен известява на император Михаил за пристигането на Рогерий*

VI, 22. Междувременно великият дук[380], италиец по произход, приет от императора[381] за зет и прославян като такъв, провождаше често при императора пратеници и кроеше хитри планове. Най-после му бяха изпратени и той пак облече в деня на възкресението на свети Лазар знаците на кесар и бе наречен кесар. Той получи от императора и тридесет и три хиляди златни номизми. Уговорено бе от тях да получи и сто хиляди местни модии жито и като задържи до три хиляди храбри войници, останалите да отпрати. А той да премине веднага на Изток. Но все пак отново не липсваше повод за лукавство. Наистина той изпрати мнозина към Кизик, мнозина към Пиги[382], а достатъчна част определи за Лопадион[383]. А сам подкрепяше и хората около Биригерий[384], който се бе вече разбунтувал, и привлече тези около незаконнородения брат на Тевдорих[385]. На тях определи да плават чак до Митилини, а онези[386] задържа при себе си и измисляше между другите причини и очевидната причина, че не можел да води по свое желание тези необуздани хора, и то, без да им са дадени дължимите възнаграждения. Той се мъчеше да добие и доставката на стоте хиляди [модии] жито. И хората на императора му докарваха на части житото от страната, а той пращаше своите хора и изнасяше доставеното χώρας ἐκείνῳ τὸν σῖτον, ἀνὰ μέρος δ' ἐκεῖνος τοὺς ἰδίους πέμπων ἐξεφόρει τὸ εὑρισκόμενον, προφάσει μὲν ὡς ἐπιταχύνων τὴν ἀπανάστασιν, τὸ δ' ἀληθὲς καὶ ὃ μᾶλλον κατενοεῖτο, τὰς ἐπιθυμίας ἐμπιπλῶν καὶ καταφρονῶν ἐς ὅτι μάλιστα. ἐν τοσούτῳ δέ, ἵνα δὴ καὶ πλέον τὸν βασιλέα ὑποποιήσηται, ἅμα δὲ καὶ κατά τινας ἑτέρας προφάσεις, τὴν μὲν πενθερὰν καὶ τὴν σύζυγον τῷ ἐγγαστρίῳ βαρουμένην φόρτῳ πέμπει κατὰ πόλιν πρὸς τὸν κρατοῦντα, περιαργῶν τὴν διαπεραίωσιν ἐκ προφάσεως, ὡς εἰ μὴ ἐπανέλθοιεν αὗται ἐξηνυσμένων καὶ τῶν ἀπαιτουμένων, οὐδ' ὅλως περαιωθησόμενος. (23) αὐτὸς δὲ συμπαραλαβὼν οἷς καὶ μᾶλλον ἐθάρρει, ποσουμένους περί που τοὺς ἑκατὸν καὶ πεντήκοντα, ἔγνω πρὸς βασιλέα Μιχαὴλ κατὰ τὴν Ἀδριανοῦ διάγοντα ἀπελθεῖν, προφάσει μὲν καὶ τῷ φαινομένῳ ὡς προσκυνήσων καὶ βλέψων ὃν ἐς τόδε οὐκ εἶδεν, ἔτι δέ γε, καὶ ὡς ἔλεγε, συνταξόμενος μέλλων διαπερᾶν, τῷ δέ γε βαθυτέρῳ, καὶ ἐφ' οἷς ὑπωπτεύετο, κατασκοπήσων τὸ περὶ τὸν βασιλέα στράτευμα. καὶ γὰρ οὐδ' ἐκεῖνοι πρὸς τὰς αὐτῶν ἀτασθαλίας ἠρέμουν, ἀλλ' ὑπονοοῦντες τὴν ἀπιστίαν, καὶ μᾶλλον Ἀλανοὶ καὶ τὸ ἐκ παλαιοῦ Περσικόν, οὓς καὶ Τουρκοπούλους ὠνόμαζον, οἱ μὲν περὶ τὸν ἐκ Βουλγάρων Βοσσίλαν καὶ τοὺς οἰκείους κοσμήτορας, τὸ δὲ Ῥωμαϊκὸν περὶ τὸν μέγαν πριμικήριον τὸν Κασσιανὸν καὶ τὸν Δούκαν καὶ μέγαν ἑταιρειάρχην ταττόμενοι, τὰ τῆς Μακεδονίας τε ὀχυρὰ διελάμβανον ἀπαναστάντων τῶν οἰκητόρων κατὰ βασιλικὴν διὰ τὸν κίνδυνον πρόσταξιν, καὶ κύκλῳ περισχόντες τὸν τόπον ἐφ' ἡμέραις ἐστρατοπεδεύοντο, τοῦ μὲν προσβαλεῖν Ἰταλοῖς ἀποσχόμενοι, ἔννοιαν δὲ διδόντες ὡς ἐπιθήσονται φανεροῖς εἰς ἀποστασίαν καταστᾶσιν, ὡς ἐκ πολλῶν ὑπωπτεύετο. ἦν τοίνυν ἐντεῦθεν καὶ κατασκοπήσεως ὑποψία, ὡς εἴρηται, αὐτόθεν ἀφικνουμένῳ, ὅτι γε καὶ ἑκάστῳ τῶν κατὰ δύσιν φρουρίων, οἷς ἐπισταίη, ἰδίους ἐκ Κατελάνων ἁρμοστὰς καθίστη καὶ φύλακας. Βοηδρομιῶνος τοιγαροῦν ὀγδόη λήγοντος ἦν, καὶ ἠγγέλλετο τῷ κρατοῦντι Μιχαὴλ ἡ τοῦ Καίσαρος ἄφιξις ἀνὰ τὴν δεῖξιν ἅμα τῷ στρατῷ διάγοντι. ἀγγελθὲν δὲ τοῦτο παρὰ τοῦ γυναικαδέλφου ἐκείνου Ἀσὰν θαῦμα ἦν.

---

[378] Хемус, тук вероятно Странджа и Дервент. [379] Мадит, дн. Майдос, Майто, гр. в Източна Тракия. [380] Рогерий (Рожер де Флор). [381] Андроник II. [382] Пиги, дн. Бига, на юг от Мраморно море. [383] Лопадион, крепост при изворите на Риндак в М. Азия. [384] Биригерий (Беренгарий д'Естенца), дошъл през есента на 1304 г. с нов отред от рицари и амогавари. Вж. Успенский, История III, пос. съч., с. 674. [385] Тевдерих (Фридрих), сицилийски крал, приятел на Биригерий. [386] Сиреч каталаните, които обещал да отпрати.

(II, pp. 521_{19}—524_{16})

отчасти под предлог, че ускорява заминаването, а в действителност, което се забелязваше добре, той задоволяваше алчността си и проявяваше в най-голяма степен презрението си. Между това, за да обвърже повече императора, а и по други някакви причини той изпрати в столицата при владетеля тъщата си и бременната си съпруга, като нехаеше да премине под предлог, че изобщо не щял да премине, ако не се завърнат, след като са получили напълно исканото. (23) А сам, като взе със себе си тези, на които наймного се доверяваше, на брой около сто и петдесет, реши да отиде при императора Михаил, който пребиваваше в Адрианопол[387]. Видимият повод бе да [му] се поклони и да види този, когото не бе виждал, а още, както казваше, да се приготви за преминаването. Същинският повод обаче, за което бе и подозиран, бе да се осведоми за войската на императора. Защото и те не стоеха спокойни срещу безчинствата им, но подозираха измяната, най-вече аланите, старата персийска войска, която наричаха и туркопули[388], хората около българина Войсил и около домашните вождове. А ромейската войска под заповедите на великия примикирий[389] Касиан и на великия хетериарх[390] Дука бяха завзели укрепените места на Македония[391], чиито жители бяха напуснали по заповед на императора поради опасността. Тя бе обкръжила мястото и се бе разположила от няколко дни на лагер. Въздържаше се да нападне италийците[392], но даваше вид, че ще ги нападне, ако се разбунтуват открито, както подозираха мнозина. Затова, както се каза, имаше подозрение, че той идва оттам за разузнаване, още повече че той беше поставил свои управници каталани и гарнизони във всяка от крепостите на Запад, която бе нападнал. Беше прочее осмият ден в края на месец боедромион[393], когато на император Михаил, който беше на военен преглед, бе съобщено за пристигането на кесаря[394]. Това беше съобщено от Асен[395], брата на жена му[396] и предизвика учудване.[397]

---

[387] През 1305 г. Вж. Успенский, История III, пос. съч., с. 676. [388] Туркопули се наричали селджукските наемници във византийската войска (XIII—XIV в.). Вж. Moravcsik, Byzantinoturcica, II, с. 327—328. Според Мутафчиев (История, II, пос. съч., с. 204) това са покръстените потомци на доведените от султан Изедиин селджукски турци. [389] Велик примикирий, един вид началник на дворцовия церемониал. Вж. Bréhier, пос. съч., с. 148. [390] Велик хетериарх, началник на хетерията (гвардията), отговарял за сигурността на императора и присъствувал сутрин при отварянето на дворцовите врати. Вж. Bréhier, пос. съч., с. 354—355. [391] Сиреч Одринска Тракия. [392] Сиреч каталаните на Рогерий (Рожер де Флор). [393] Боедромион, март (28. III. 1305 г.). [394] Сиреч на Рожер. [395] Иван Асен III. [396] Мария, сестра на Ив. Асен III и съпруга на Рогерий (Рожер де Флор). [397] Рогерий (Рожер де Флор) бил приет от императора в Одрин, където бил смъртно ранен от един алан, който отмъщавал за сина си, убит от каталаните в Кизик през април 1305 г. (вж. Успенский, История III, с. 674). Хората на Рогерий възлагали всичките си надежди на крепостта Галиполи, където се били приготвили за отбрана.

VI, 25. Ἀλλὰ μὴν οὐδ᾽ ὁ βασιλεὺς Μιχαὴλ ἠμέλει τὸ σύμπαν, ἀλλὰ τὰ τῶν Βουλγάρων ἐν ἀνακωχαῖς θέμενος τοὺς ἀμφὶ τὸν μέγαν πριμικήριον ἐξορμᾷ, ὃς καὶ περικαθίσας τὸ φρούριον πολιορκῶν ὡς εἶχεν ἐμάχετο, ἔστι δ᾽ οὗ καὶ κατετροποῦτο.

(II, pp. 528$_{3-6}$)

VI, 25. А и император Михаил не стоеше безгрижен, но като спря действията си против българите, изпрати великия примикирий с войските, който обкръжи крепостта[398] и обсаждайки я, се биеше, както можеше, а понякога ги обръщаше в бягство.

43. Imperator Michael Voisilam adversus Amogabaros Gallipolim occupantes mittit

VI, 29. Βασιλεῖ δ᾽ ἐντεῦθεν φροντὶς ἦν πῶς ἂν μετέλθοι τοὺς κατὰ τὴν Καλλίου, ἐπείτοι γε καὶ βοήθεια μὲν ἐκείνοις ἠγγέλλετο παραγίνεσθαι, ἠκούετο δὲ καὶ ὡς Πέρσας ἐκ τῆς περαίας καλεῖν βούλοιντο. καὶ οἱ ἀμφὶ τὸν νόθον δὲ τοῦ Θευδερίχου αὐτάδελφον προσδόκιμοι ἦσαν καὶ αὖθις φαίνεσθαι. οὐ μὴν δὲ (30) ἀλλὰ οὐδ᾽ ὁ νέος ἄναξ Μιχαὴλ ἠμέλει, ἀλλὰ καὶ αὐτὸς ἀφεὶς τὴν Ἀδριανοῦ καὶ πρὸς τῷ Παμφίλῳ γενόμενος τοὺς ἀμφὶ τὸν μέγαν ἑταιρειάρχην τὸν Δούκαν καὶ τὸν μέγαν τζαούσιον τὸν Οὐμπερτόπουλον καὶ τρίτον τὸν Βοσσίλαν, ἱκανοὺς εἰς πολέμου ἐξάρτυσιν, ἐπὶ τοὺς κατὰ τὴν Καλλίου Ἀμογαβάρους ἐκπέμπει, οἳ δὴ καὶ ἀπὸ Βραγχιαλίου ἐστρατοπεδευμένοι ἕτοιμοι προσβαλεῖν ἦσαν, ἤν που φανεῖεν.

(II, p. 543$_{1-12}$)

43. Император Михаил изпраща Войсил срещу завзелите Галиполи амогавари

VI, 29. - - След това императорът обмисляше как да нападне тия в Галиупол[399], тъй като бе известено, че им идва помощ. Чуваше се, че искали да извикат и перси[400] от отвъдния бряг. А се очакваше да дойдат отново тези на незаконнородения брат на Тевдерих. (30) Но и младият император Михаил не стоеше бездеен, а напусна Адрианопол и като дойде при Памфил[401], изпрати срещу амогаварите в Галиупол хората на великия хетериарх Дука, на великия чауш Убертопул и, трето, на Войсил, достатъчно подготвени за война. Те се бяха разположили на лагер недалеч от Вранхиалий[402] и бяха готови да нападнат, ако [неприятелите] се появят.

44. Imperator Michael Voisilam Alanis et Turcopolis praeponit

VI, 32. Ὁ δὲ βασιλεὺς Μιχαὴλ οὐκ ἠρεμῶν ἦν τὴν μάχην, ἀλλὰ πάντα λίθον κινῶν, τὸ τοῦ λόγου, ὅπως τὴν ἧτταν ἀνακαλέσηται· οὐδὲ γὰρ ὑπέμενε τὸ τῆς ψυχῆς αὐτοῦ εὐγενὲς καὶ ἀνδρεῖον ἀκούειν τε καὶ ὁρᾶν τὰ δεινὰ ἅπερ ἔπασχον οἱ ἐλεεινοὶ Ῥωμαῖοι ὑπὸ τῶν αἱμοχαρῶν Κατελάνων. ὅθεν καὶ πάντα λόγον ἀφεὶς ἐπισυνάγει τὸ στράτευμα, καὶ καταλιπὼν τὴν Ὀρεστιάδα περὶ τὴν Ἄπρω πλησίον κατασκηνοῖ, ὡς ἅμα ἕῳ προσμίξων τοῖς Ἰταλοῖς· ἐκεῖσε γὰρ πλησίον καὶ αὐτοὶ κατεσκήνουν. τῇ γοῦν ὑστεραίᾳ συνταξάμενος κατὰ τὸν τοῦ Ἰμέρι λεγόμενον τόπον Ἀλανοὺς μὲν καὶ Τουρκοπούλους ἐν ἡγουμέναις συντάξεσιν ἵστα, περὶ τὸν Βοσσίλαν τούτους ποιούμενος, ἑπομένους δὲ τοὺς περὶ τὸν μέγαν πριμικήριον Μακεδόνας διέταττε, καὶ μετὰ τούτους περὶ τὸν θεῖον αὐτοῦ Θεόδωρον τοὺς ἀντολίηθεν ἀπηρκότας, τὸ Βλαχικὸν δὲ καὶ ὅσον ἄλλο ἐκ θεληματαρίων συγκροτούμενον ἦν, καὶ αὐτὸ κατὰ τρόπον περὶ τὸν μέγαν ἑταιρειάρχην συνταξάμενος οὐραγοῖν, αὐτὸς συνάμα καὶ Κωνσταντίνῳ τῷ αὐταδέλφῳ τε καὶ δεσπότῃ, καὶ τῷ πιγκέρνῃ Σεναχηρεὶμ τῷ Ἀγγέλῳ.

(II, p. 549$_{3-19}$)

44. Император Михаил поставя Войсил начело на аланите и туркопулите

VI, 32. А император Михаил не стоеше бездеен [в подготовката] за сражението, но, както се казва, правеше дори невъзможното, за да заличи поражението[403]. Неговата благородна и храбра душа не можеше да търпи да слуша и да гледа ужасите, които нещастните ромеи претърпяха от кръвожадните каталани. Затова той изостави всякакви разговори и събра войската. Той напусна Орестиада и се разположи на лагер близо до Апри[404], за да нападне на разсъмване италийците[405], защото и те бяха наблизо на лагер. И тъй на другия ден той построи войската до мястото, наричано Имери[406], и постави в челните редици аланите и туркопулите, които подчини на Войсил. Македонците[407], които ги следваха, той нареди при великия примикирий. След тях постави под началството на чичо си Теодор дошлите от Изток войски. А на власите и колкото друга войска бе събрана от доброволци той заповяда да бъдат ариергард по същия начин под началството на великия хетериарх. Сам той беше заедно с брата си деспот Константин[408] и пинкерна[409] Сенахирим Ангел[410].

---

[398] Галиполи. [399] Калиупол, дн. Галиполи. [400] Перси, сиреч турци. [401] Памфил, гр. в Източна Тракия, между Димотика и Родосто. [402] Вранхиалий, близо до Галиполи (неуточнено). [403] След убиването на Рогерий каталаните опустошили западните области. [404] Апри, гр. в Източна Тракия, дн. Инеджик. [405] Сиреч каталаните. [406] Имери, място, близо до Апри. [407] Македонците, т.е. войската от Одринска Тракия. [408] Константин, деспот, брат на Андроник II. [409] Пинкерн, длъжност и титла, императорски виночерпец. [410] Следва разказът, как каталаните разбиват при Апри в 1307 г. ромеите и опустошават областта, а Михаил, синът на Андроник II, се оттегля в Димотика. Вж. Успенский, История Византии, т. III, с. 94.

45. Svetoslavus Iampolim et Lardeam recipit

VI, 35. Τότε καὶ ἡ πάλαι συζυγεῖσα τῷ Σμίλτζῃ καταλαβοῦσα τὴν πόλιν, ὡς ἐλέχθη τὸ πρότερον, τὰς μετὰ τοῦ βασιλέως ἐπιγαμίας κατησφαλίζετο. ἃ δὴ μαθὼν Ὀσφεντίσθλαβος, ζητῶν καὶ αὐτὸς λιπαρῶς κῆδος ἐκ βασιλέως, καὶ ἤδη τὸν Ἐλτιμηρῆν ἀπογνοὺς ὡς πρὸς βασιλέα καὶ αὐτὸν ἀποκλινοῦντα, γαμβρόν γε ὄντα Σμιλτζαίνης, πέμψας δύο φρούρια τῶν καλλίστων, Ὑάμπολιν καὶ Λαρδαίαν, ἃ δὴ Ῥωμαίους ἀφελόμενος πρότερον ἐδίδου κατὰ χάριν Ἐλτιμηρῇ θείῳ γε πρὸς πατρὸς ὄντι, δι᾽ ὁμολογίας καὶ αὖθις ἀναλαμβάνει καὶ φρουροῖς εἰσαχθεῖσι κατασφαλίζεται, ἐπίδοξος ὢν καὶ τοῖς λοιποῖς ἐγχειρήσων. ἡ γὰρ ἀποτυχία τοῦ βασιλικοῦ πρὸς αὐτὸν κήδους τὰς ὁρμὰς ἐκείνῳ παρώτρυνεν, εἰ καὶ ὕστερον καιροῖς ἰδίοις καὶ τοῦτο γεγόνει. καὶ ὡς πάλαι Βουλγάρων ὄντα τὰ χωρία ἐσφετερίζετο.

(II, pp. 558_{17}—559_{10})

45. Светослав си възвръща Ямбол и Лардея

VI, 35. Тогава и бившата съпруга на Смилец, след като беше пристигнала в града, уговори с императора[411] брака. Когато се научи за това, Светослав, който също упорито искаше от императора да се сроди и се беше отчаял от Елтимир, тъй като и той като зет на Смилецовата жена клонеше на страната на императора, изпрати хора и по споразумение си взе отново обратно две от най-хубавите крепости — Ямбол и Лардея[412], които по-рано беше отнел от ромеите и ги бе дал на чичо си Елтимир. Той ги затвърди за себе си, като помести в тях гарнизони и се надяваше да вземе и другите. Защото несполуката му да се сроди с императора, макар и това да стана по-късно в подходящо време, го поощряваше в нападенията. И той си присвояваше крепостите като отдавна принадлежащи на българите.

46. Svetoslavus terras Eltimiris subiectas hostiliter diripit

VII, 1.

Ἤδη μὲν οὖν τοῖν βασιλέοιν τῷ μὲν εἰκοστὸν καὶ τρίτον τῷ δὲ δωδέκατον αὐτοκρατοροῦσι ξυνέβαινεν ἐξανύεσθαι, καὶ τὰ μὲν κατ᾽ ἀνατολὴν καὶ ἐς τόσον ἐνόσει ἐκ τῆς τῶν Περσῶν ἐπιθέσεως ὥστε καὶ ἀνηκέστως ἔχειν δοκοῦντα παρεῶσθαι τὸ ξύμπαν, καὶ

ἀποπροσποιεῖσθαι τὰ περὶ ἐκείνων λεγόμενα οἷς οἵοις τ᾽ ἦν ἀκούουσιν ἂν ἐξιᾶσθαι, τὰ δὲ κατὰ δύσιν, ἔνθεν μὲν Ὀσφεντίσθλαβος τὰ Ἐλτιμηρῇ κατήκοα, οὐδὲν ἐπευλογούμενος ὅτι μὴ τὴν ἐς βασιλέα οἱ ἀπόκλισιν αἰτιώμενος, ἄγων καὶ φέρων τὰ πάντα ἐξεληΐζετο, μηδ᾽ αὐτῶν τῶν Ῥωμαϊκῶν ἀπισχόμενος, ἐκεῖθεν δὲ Ἀμογάβαροι τῷ καθ᾽ αὐτοὺς κρατυνόμενοι θράσει ἐξ ὑπογύου κατὰ τὴν μάχην εὐημερήσαντες οὐδὲν ὅτι τοῦ ἐντὸς ποταμοῦ Μαρίτζης, οὕτω πως ἐπιχωρίως λεγομένου, ἀδεὲς εἴασαν καὶ ἐν καταστάσει. εὐέφοδος δὲ καὶ ὁ κατὰ Θρᾴκην ἔκειτο τόπος, καὶ τοῖς προσοικοῦσιν ὅσα δὴ καὶ τὸν περὶ ψυχῆς τρέχουσι κατήπειγε τὸ μεταναστεύειν, τὸ πάντ᾽ ἔρημ᾽ ἦσαν τῶν ἐνοικούντων, πλὴν οἷς ἀφροντιστοῦσι κινδύνου σκυλεύειν καὶ φωρίοις ἀποζῆν ἐξ ἀλαστορίας εἴθιστο. ὁ μέντοι γε βασιλεὺς Μιχαὴλ τὸ Διδυμότειχον ὑπεισδύς, οὔ τι ἑκούσιός γε, ἀλλ᾽ οὐκ ἦν ὅλως πρὸς ἡδονὴν τοῖς στρατιώταις ἐπισπέσθαι οἱ ὀκνήσει ἰσχομένοις, τὰς ἐκ τοῦ πολέμου τρώσεις ἐθεραπεύετο.

(II, pp. 561_{13}—562_{16})

46. Светослав опустошава подчинените на Елтимир земи

VII, 1. От царуването на двамата императори[413] изминаха — на единия 23 години, а на другия 12, когато земите на Изток до такава степен пострадаха от нападението на персите, че бяха напълно изоставени, тъй като изглеждаше, че са непоправимо зле. И това, което се известяваше за тях, се прехвърляше на тия, които, като чуят, можеха да помогнат. А що се отнася до западните области, от една страна, Светослав, влачейки и мъкнейки всичко, плячкосваше подвластните на Елтимир земи, като с нищо друго не се оправдаваше освен дето го обвиняваше, че клони към императора. Той не се спираше и пред самите ромейски земи. От друга страна, амогаварите, обладани от присъщата им дързост поради успеха си в сражението, не оставиха нищо на мира и непокътнато отсам р. Марица, наричана така някак от местното население. Лекодостъпна беше и земята на Тракия и това ускоряваше преселването на жителите, тъй като те спасяваха живота си. Обитателите бяха изоставили всичко. Останали бяха само тези, които бяха свикнали без оглед на опасностите да плячкосват и да живеят от краденото при престъпленията си. Впрочем императорът Михаил, като се укри в Димотика, не доброволно, разбира се, но понеже никак не беше по вкуса на войниците, обхванати от умора да го следват, лекуваше раните от войната[414],

---

[411] Андроник II. [412] Лардея, крепост западно от Карнобат, дн. Хисарлък. [413] Андроник II Палеолог и синът му Михаил. [414] След тези опустошения старият император Андроник изпратил в Галиполи при каталаните пратеници за мир, но те предложили неприемливи условия.

47. Amogabari, Persae Turcopulique ad Svetoslavum transituros minantur

VII, 14. Ταῦτ' ἀγγελλόμενα, καὶ πρὸς αὐτοῖς ἕτερ' ἄττα δεινὰ καθ' ἡμέραν, δεινῶς ἀλγεῖν ἐποίουν τὸν βασιλέα· οὐ μὴν δ' ἐς τέλος κατέπιπτεν, ἀλλὰ καὶ αὐτός, ὅσον εἶχεν, οὐκ ἔληγεν ἀντιπαλαιόμενος, καὶ τέως τὸ ἐγκόλπιον κακὸν ὑπὲρ τἄλλα ἤθελεν ἀνασπᾶν. τὸ δ' ἦν Ἀμογάβαροί τε καὶ οἱ σὺν αὐτοῖς Πέρσαι, οἷς δὴ καὶ οἱ ἄνω ῥηθέντες ὑπὲρ τοὺς χιλίους ὄντες Τουρκόπουλοι προσεχώρησαν. ἐπειδὴ γὰρ συνάμα Ἀλανοῖς ἀφειστήκεσαν, ἐκεῖνοι μὲν κατ' αὐτοὺς ἦσαν, καὶ δόξαν ἐκ πολλῶν ἐδίδουν, εἰ μὴ ἱκανῶς πρὸς βασιλέως μισθοῖντο, ἀποχωρεῖν πρὸς Ὀσφεντίσθλαβον. ταῦτα γὰρ Κουτζίμπαξις ἐπανήκων πρὸς βασιλέα διεβεβαίου· πρῶτος δὲ τῶν ἱερομάγων τοὔνομα τοῦτο ἐξελληνίζεται. οἱ δὲ Ἀλανοὶ μαθόντες ὡς Τουρκόπουλοι ἀπέκλινον πρὸς Καλλιούπολιν ἅμα γυναιξὶ καὶ παισίν, αἴφνης ἐπεισπεσόντες κατὰ τὴν πρὸς βασιλέα δῆθεν χάριν, γυναῖκας ἐκ πολλῶν ὀλίγας καὶ παῖδας περισχόντες πρὸς τὸν κρατοῦντα ἀπέστελλον. ταύτῃ τοι καὶ τῶν ἐχθρῶν κρατυνομένων, ὡς καὶ ἐξελαύνειν καὶ κατατρέχειν τὰ λοιπὰ τῆς Θρᾴκης ἠγγέλθαι, οἱ μὲν τοῖς προαστείοις ἐγκατῳκημένοι τῆς πόλεως ἀπαίροντες πρὸς τὴν πόλιν ἐσκευαγώγουν, βασιλεὺς δὲ καὶ πολλοῖς ἄλλοις ἐπιχειρῶν ἐφ' ᾧ τοὺς ἐχθροὺς ἐπίσχοι, καὶ πρὸς Γέννουαν πέμπει πρεσβείαν, ἀξιῶν ἐκεῖθεν ἀναχθῆναι στόλον νηῶν κατ' ἐντελεῖς τοὺς μισθούς, καὶ ἅμα ἦρι πρὸς τάδε ἀφῖχθαι.

(II, pp. 589_{20}—590_{20})

48. Alani una cum uxoribus et liberis se ad Svetoslavum conferunt

VII, 18. ἀναχθεισῶν τοιγαροῦν τῶν νεῶν, προηγούμενον τῶν ἄλλων ἐκείνοις ἦν τὸ τοῦ βασιλέως μανθάνειν θέλημα, ὡς πραξείουσιν ἃ ἂν αὐτὸς ἐπιτάττοι. ὁ δὲ τὴν μετ' εἰρήνης διάλυσιν, εἰ δύναιτο, τέως τῆς μάχης πολέμου ἐτίθει πολλῷ περὶ πλείονος, εἰ καὶ χρήματα δαπανᾶν μεγάλα ξυμβαίη· τὴν μὲν γὰρ ἀναιμωτί, τὴν δὲ πολλῶν πεσόντων κατὰ πόλεμον γίνεσθαι. ἐπεὶ δὲ κἀκεῖνοι πολλάκις πέμποντες ἠξίουν τὰ κεχρεωστημένα λαμβάνειν καὶ ἀπαλλάσσεσθαι (τὰ δ' ἦσαν, ὡς ἐκεῖνοι ἐβρενθύοντο, περί που τὰς τριακοσίας χιλιάδας τοῦ νομιζομένου χρυσίου), καὶ γὰρ τότ' ἦσαν ἐξ ὑπογύου καὶ οἱ πεμφθέντες εἰς τοῦτο πρέσβεις, ὧν δὴ προυξέ-

47. Амогавари, перси и туркопули заплашват, че ще минат на страната на Светослав

VII, 14. Тези, а освен тях и други ужасни неща, известявани всекидневно, караха императора[415] да страда много. Но той не падна напълно духом, а и сам, доколкото можеше, не престана да се съпротивява. И за момента от всичко най-много искаше да отстрани вътрешното зло. Това бяха амогаварите и с тях персите, към които се присъединиха и гореспоменатите над хиляда туркопули. След като се бяха отделили като аланите, те станаха самостоятелни и мнозинството реши, ако не бъдат възнаградени достатъчно от императора, да отидат при Светослав. Това потвърди Касимбек, който се завърна при императора. На елински това име означава пръв от хиеромагите. А аланите, като узнаха, че туркопулите са се отклонили към Галиполи заедно с жените и децата, нападнаха [ги] внезапно, уж за да угодят на императора, и като отделиха от множеството [пленени] малко жени и деца, изпратиха ги на императора. И като се усилваха така враговете, та стана известно, че оплячкосват и опустошават оцелялото в Тракия, жителите от предградията на столицата се вдигнаха и с цялото си имущество избягаха в града. А императорът, след като опита много други неща, за да спре враговете, проводи и в Генуа пратеничество[416], за да иска да му бъде изпратена оттам военна флота срещу пълно заплащане и да пристигне тук в началото на пролетта.

48. Аланите отиват при Светослав

VII, 18. След като корабите бяха докарани[417], първа тяхна задача бе да разберат какво е желанието на императора[418], за да извършват това, което той би им наредил. А той между това предпочиташе, ако би било възможно, пред военното сражение мирното разрешение, макар и да би трябвало да похарчи [за това] много пари. Едното беше безкръвно, а друго щеше да бъде с цената на много убити във войната. А и амогаварите, като изпращаха често хора, искаха да си получат дължимото и да се оттеглят (а дължимото беше, както те се хвалеха, около триста хиляди златни номизми). Тогава бяха налице и изпратените за тази цел пратеници, на νουν μὲν Γεννουῖται, οἱ αὐτοὶ δὲ καὶ τὰ τῆς πρεσβείας πρὸς βασιλέα διηυθέτουν, μὴ δυναμένων ἐκείνων βασιλεῖ ἐμφανίζεσθαι. διὰ δὴ ταῦτα προσιέμενος ὁ κρατῶν τὴν πρεσβείαν, τοὺς μὲν ἐν ταῖς ναυσὶ παρακατέχειν οὐκ εἶχεν ὁρμῶντας πρὸς Εὔξεινον διὰ τὰ φορτία διαπλωΐζεσθαι, τέσσαρας δὲ μόνον τριήρεις ἐπὶ ῥητοῖς μισθοῖς παρακατασχών, ἐφ' ᾧ διατηροῖεν τὰ τῆς Ἀβύδου στενά, ἅμα μὲν κωλύειν τοὺς διαπεραιουμένους Πέρσας, ἅμα δὲ καὶ τὰς πειρατικὰς ἐπέχειν, ἤν που φανεῖεν, τὰς δ' ἄλλας ἀπέλυε, πλὴν ἐπὶ ῥηταῖς ἡμέραις εἴκοσιν, ἵν' ἢν μὲν ἐν τῷ μεταξὺ ξυμβιβάζοιντο, εἰ δ' οὖν, συμμαχοῖεν τότε κατὰ τὰ δόξαντα. καὶ οἱ μὲν ἀπέπλεον, ὁ δὲ βασιλεὺς ἐκλεξάμενος πρέσβεις πρὸς Ἀμογαβάρους ἀπέστελλε, τάξας καὶ ὃ ἦν βουλομένῳ οἱ δοῦναι χρυσίον, εἰς ἑκατὸν χιλιάδας ποσούμενον, εἰ δ' οὐ πείθουσι, προστιθέναι καὶ πλέον. οἱ γοῦν πρέσβεις ἐπιστάντες οὐδὲν ἤνυτον· ἔτυχον γὰρ παμπληθεὶ πρὸ ἡμερῶν ἐκεῖνοι τῆς Καλλίου ἐκστρατευσάμενοι. οὐδὲ γὰρ ἠρέμουν τὸ σύνολον κακουργοῦντες. καὶ δὴ τῆς βουλῆς ἐκείνοις ἐνδοιαζομένης, τοῖς μὲν ἐδόκει διελθόντας τὸ μεταξὺ Βραγχιαλίου καὶ πόλεως, καὶ τὸ οἰκούμενον ἐρημώσαντας, τέλος τῇ πόλει προσσχεῖν καὶ προσκαθημένους ἀπαιτεῖν τοὺς μισθούς. εἰ οὖν λάβοιεν τούτους· εἰ δ' οὖν, τὸ δόξαν ἐπιτελεῖν. τοῖς δέ, καὶ μᾶλλον Τουρκοπούλοις διὰ τοὺς οἰκείους αὐτῶν κατεχομένους παρ' Ἀλανοῖς, ἐπ' ἐκείνους πρότερον ἰέναι ἐδόκει, ἱκανῶς καὶ τῶν ἐφοδίων ἐφ' ἁμαξῶν ἔχοντας. καὶ γὰρ καὶ Ἀλανοὶ ἅπαξ βασιλέως ἀποστατήσαντες, πέμποντες πρὸς Ὀσφεντίσθλαβον ἤδη κραταιωθέντα (οὐδὲ γὰρ Ἀγχιάλου αὐτῆς, ἤδη δὲ καὶ Μεσημβρίας, ἀλλ' οὐδ' αὐτῆς Ἀγαθοπόλεως καὶ τῶν πέριξ ἀπέσχετο, ἀλλὰ καὶ τούτων ἦν ἐγκρατὴς ἐξ ὁμολογίας) ἠξίουν πέμπειν Βουλγάρους, ἤν πῃ καὶ πρὸς αὐτῶν, ἐρχομένων κατ' αὐτῶν, ὁρμῷεν Ῥωμαῖοι ἐφέξοντας. ἀλλ' ἐκεῖνοι μὲν ἐπὶ χιλίους, ὡς ἡ φήμη εἶχε, ποσούμενοι ἐξεπέμποντο. οἷς καὶ θαρρήσαντες Ἀλανοὶ πολλὴν τὴν ἐκεῖ καταδραμόντες καὶ ληϊσάμενοι, πρὸς Ὀσφεντίσθλαβον προσεχώρουν ἅμα γυναιξὶ καὶ τέκνοις. ὧν χάριν ὑπεραλγοῦντες Τουρκόπουλοι (οἱ γὰρ αὐτῶν οἰκεῖοι παρ' ἐκείνοις ὄντες συνεξηλαύνοντο) πείθουσιν Ἰταλοὺς καὶ τοὺς σὺν αὐτοῖς Πέρσας Ἀλανοὺς καταλαμβάνειν πρότερον σπεύσαντας· εἶναι γὰρ καὶ παρ' ἐκείνοις οὐκ ὀλίγην λείαν διεβεβαίουν, ἣν φθάσαντες ἐκ Ῥωμαίων περιεβάλοντο, καὶ τάχ' ἂν αὐτοῖς ἐκ τοῦ ῥᾷστα προγενήσεσθαι περιγενόμενοι τῶν Ἀλα-

---

[415] Андроник II. [416] През 1308 г. Вж. Petri Possini Observationes Pachymerianae, Pachymeres, II, с.868. [417] Става дума за корабите, поискани от генуезците, които пристигнали в Цариград в началото на пролетта на 1308 г. [418] Андроник II.

ἤνυον οὐδὲν, ἀλλὰ ἐκακοπάθουν. ὁ γὰρ Τερτερὴς ἅμα τῷ τὴν Φιλιππούπολιν κατασχεῖν, δείσας μὴ αὖθις οἱ Ῥωμαῖοι ἐπελθόντες, διὰ τὴν ὀλιγανδρίαν, ὥσπερ καὶ αὐτὸς, ἕλωσιν αὐτὴν, ἅμα δ' ὅτι καὶ ἐν ὁρίοις ἦν τῆς ἐκείνου καὶ Ῥωμαίων ἡγεμονίας, χιλίους μὲν ἱππέας λογάδας ἐξ Ἀλανῶν καὶ Μυσῶν, καὶ δὶς τοσούτους πεζοὺς πελταστὰς, οἳ δοκοῦσι μαχιμώτατοι εἶναι παρ' αὐτοῖς, τὴν πόλιν ἔπεμψε φρουρεῖν. ἄρχοντες δὲ ἦσαν αὐτῶν ὅ,τε Ἰτίλης καὶ ὁ Τεμήρης, τὸ γένος Ἀλανοὶ, καὶ Ἰνᾶς ὁ ἐξ Οὔγκρων· στρατηγὸς δὲ ἐπὶ πᾶσιν Ἰβάνης ὁ Ῥὼς κατά τε χεῖρα γενναῖος καὶ ἐμπειρότατος στρατηγεῖν· οἳ καὶ τετελευτηκότος τοῦ βασιλέως αὐτῶν, οὐ κατέλιπον τὴν πόλιν, ἀλλ' ἐφρούρουν μένοντες. τότε δὲ πολιορκούμενοι ὑπὸ βασιλέως, ἔξω μὲν πυλῶν ὡς ἐς μάχην παραταξόμενοι προῄεσαν οὐδαμῶς· τὰς πύλας δὲ ἀποικοδομήσαντες, ἀπὸ τῶν τειχῶν ἠμύνοντο καρτερῶς καὶ ἐκάκουν πολλὰ τὴν βασιλέως στρατιάν. ἐπολιόρκησε μὲν οὖν αὐτοὺς ὁ βασιλεὺς ἐπὶ τέσσαρσι μησὶ συνεχῶς ὁσημέραι τειχομαχῶν. ἀπαγορεύοντος δὲ τὴν παράληψιν ἤδη, ἐκ Γερμανῶν τις περὶ τειχομαχικὰς μηχανὰς ἐξησκημένος, ὡς ἐν ῥᾳδίῳ τῆς ἐπιχειρήσεως ἐδόκει ἡ πόλις κεῖσθαι, ἐλπίδας τῆς ἁλώσεως οὐ φαύλας ὑπετίθει τῷ βασιλεῖ, καὶ ἐδημιούργει τὸ μηχάνημα, προστάξαντος βασιλέως. ἦν δὲ τοιόνδε· ἐπὶ τροχοῖς ἑκκαίδεκα οἰκίαν κατεσκεύασε ξυλίνην δυναμένην ὑποδέξασθαι ἄνδρας ἑκατὸν, οἳ ἔμελλον τὴν μηχανὴν κινεῖν ἔνδοθεν ὠθοῦντες· ὑπεράνω δὲ τοῦ οἰκήματος ξύλινον πύργον καταστρώματα ἔχοντα πέντε, ὡς ἐν ἑκάστῳ δὴ καταστρώματι τῶν ἐκ τόξων Λατινικῶν τῶν λεγομένων τζαγγρῶν ἀφιέντων βέλη ἐσομένων ὀκτὼ, οἳ ἔμελλον τοὺς ἐπὶ τοῦ τείχους βάλλοντες ἀπώσεσθαι. τελεσθείσης δὲ ἤδη τῆς μηχανῆς, καὶ τῶν τε ὁπλιτῶν καὶ τῶν ἐπὶ τῷ κινεῖν τὸν πύργον τεταγμένων, ἡ μὲν ἄλλη πᾶσα στρατιὰ τῶν σημαίων ἀρθέντων καὶ τῆς σάλπιγγος σημηνάσης, ἐτειχομάχουν· ὁ πύργος δὲ ὑπὸ τῶν ἔνδοθεν ὠθούντων κινούμενος, ᾔει βάδην, ὡς δοκεῖν αὐτὸν ἐμπνέοντα κινεῖσθαι. οὐδὲ γὰρ ἑωρᾶτό τις τῶν ἔνδοθεν οὐδαμόθεν, διὸ οὐδὲ βάλλεσθαι δυνατὸς ἦν. ὡς δὲ ἐν ἐφικτῷ ἐγένοντο τοῦ τοξεύειν, οἱ μὲν ἀπὸ τοῦ ξυλίνου πύργου ἔβαλλον τοὺς ἀπὸ τῶν τειχῶν· αὐτοὶ δὲ μήτε τι ἀντιδρᾷν ἔχοντες, καὶ τῶν ἀπὸ τῶν τζαγγρῶν ἀφιεμένων βελῶν διὰ κραταιότητα καὶ ῥύμην διὰ παντὸς ὅπλου χωρούντων καὶ διαδυομένων, τραυματιζόμενοι ὑπ' αὐτῶν, οἱ δὲ καὶ ἀποθνήσκοντες, μικρὸν μὲν ἐκαρτέρησαν, ἔπειτα ἀπέστησαν, τὸ τεῖχος ἔρημον καταλιπόντες. μέλλοντος δὲ ὅσον οὔπω τοῦ ξυλίνου πύργου

стигнаха, а претърпяха поражение. Защото Тертер едновременно със завземането на Филипопол, като се страхуваше да не би ромеите да го завладеят с внезапно нападение, както и сам бе направил поради малочисления гарнизон и още повече, че беше на границите между неговите и ромейските владения, той прати да пазят града 1000 конници алани и мизи и 2000 тежковъоръжени пехотинци, които се считаха за най-храбри сред тях. Началници им бяха Итил и Темир, по произход алани, и Инас, унгарец. Началник на всичките бил Иван Русина, сръчен и твърде опитен в стратегията. И те, като умря царят им, не изоставиха града, но останаха да го пазят. Тогава, обсадени от императора, те никак не излизаха извън вратите, наредени като за сражение и като залостиха вратите, защищаваха се упорито и нанесоха много вреда на императорската войска. И тъй императорът ги обсажда непрекъснато в продължение на четири месеца, като всекидневно се сражаваше. Когато вече загуби надежда да го превземе, един от германците, специалист по обсадните машини, понеже градът, изглежда, бе удобно разположен за превземане, внуши на императора истинска надежда за превземането му. Той по заповед на императора направи машина. А тя била такава. На шестнадесет колела съоръжи дървена постройка, която могла да побере 100 мъже, които трябвало чрез блъскане отвътре да движат машината. Отгоре на постройката имало дървена кула с пет площадки, така че във всяка площадка щяло да има по осем души, които щели да стрелят с латински лъкове, наречени чангри. Те щели със стрелбите си да прогонят хората по стените. Когато машината била направена вече и тежковъоръжените войници и тия, които трябвало да я движат, били наредени, цялата останала войска с вдигнати знамена и под звука на тръбата се втурнала срещу крепостта. А кулата, раздвижена от хората отвътре, тръгнала, като изглеждало, като че ли се движела сама. Защото никой от намиращите се вътре хора не се виждал отникъде, за да бъде улучен. А когато се доближила на един хвърлей, тези от дървената кула стреляли срещу тия върху стените. А те, като не можели по никакъв начин да противодействуват и понеже изстреляните стрели от чангрите силно и лесно проникавали и преминавали през цялото им въоръжение, бяха наранявани от стрелите, а някои умирали. Като се задържали малко, след това отстъпили, оставяйки стената незащитена. По-

τοῖς τείχεσι τῆς πόλεως συμμίγνυσθαι, τοιοῦτόν τι συνέβη. πρὸ τῶν τῆς πόλεως τειχῶν ἦν ἐκ παλαιοῦ κατεσκευασμένη στοὰ πρὸς ὑποδοχὴν ὕδατος· ξύλοις δὲ καὶ σανίσι στεγασθεῖσα, ἐπιτεθείσης ἄνωθεν καὶ γῆς, ἦν ἐν τῷ ἀφανεῖ, καὶ οὐδεὶς οὔτε τῶν ἐγχωρίων ἐκ χρόνων ᾔδει παλαιῶν κατακεκρυμμένην. ἁμάξας μὲν οὖν καὶ ὅσα δι' αὐτῆς διήρχετο βάρη, ἔστεγον τὰ ξύλα. ὡς δὲ ὁ πύργος ἐγένετο κατ' αὐτῆς, διαθραυσθέντων τῷ βάρει, κατεχώσθη ἐν τῇ στοᾷ. τῶν μὲν οὖν ἔνδον ὄντων ἀπέθανεν οὐδείς, ἀλλὰ διεσώθησαν πάντες· ἡ μέντοι Φιλιππούπολις παρὰ τοσοῦτον ἐλθοῦσα διέφυγεν ἁλῶναι. οἱ γὰρ ἔνδον ἀναθαρσήσαντες, ἀναβάντες ἠμύνοντο ἐπὶ τὸ τεῖχος, καὶ ἡ λοιπὴ στρατιὰ ἐπαύσατο τειχομαχοῦντες. ὑπὸ δὲ τοὺς αὐτοὺς καιροὺς οἱ τῶν Μυσῶν δυνατοί, τοῦ βασιλεύσαντος αὐτῶν Τερτερῆ ἀδιαδόχου ἀποθανόντος, τὸν τῆς Βιδύνης ἄρχοντα Μιχαὴλ τοῦ παρ' αὐτοῖς δεσπότου τοῦ Στρεντζιμήρου υἱὸν ἐκ Μυσῶν καὶ Κομάνων τὰς τοῦ γένους ἕλκοντα σειρὰς προσκαλεσάμενοι ἀπέδειξαν βασιλέα ἑαυτῶν, καὶ τὸν Τέρνοβον, ἐν ᾧ καὶ τὰ βασίλεια αὐτῶν ἐστι, παρέδοσαν καὶ τὴν ἄλλην ἀρχήν. ὁ δὲ τήν τε ἰδίαν στρατιὰν συναγαγὼν καὶ ἐξ Οὐγγροβλάχων κατὰ συμμαχίαν οὐκ ὀλίγην, ἔτι δὲ καὶ Σκυθικὴν παραλαβών, βασιλεῖ μὲν τῷ Ῥωμαίων Φιλιππούπολιν πολιορκοῦντι ἐπιέναι οὐκ ἔγνω δεῖν· ᾔδει γὰρ ἀξιόμαχος οὐκ ὤν. κατὰ δὲ τῶν μετὰ τὴν Τερτερῆ τελευτὴν τοῖς Ῥωμαίοις προσθεμένων πόλεων ἐχώρει ἐν τοῖς ὀρεινοῖς κειμένων ἀσφάλειαν παρέχουσι τοῖς συστρατευομένοις αὐτῷ Σκύθαις καὶ τοῖς ἄλλοις συμμάχοις οὖσι τοξόταις, καὶ καθήμενος ἐδῄου τὴν γῆν καὶ τὰς πόλεις ἐπολιόρκει. ὡς δὲ ἠγγέλθη ταῦτα τῷ βασιλεῖ, μετὰ τῶν ἐν τέλει βουλευσαμένῳ ἐδόκει τὴν μὲν πολιορκίαν Φιλιππουπόλεως καταλιπεῖν, κατὰ δὲ Μιχαὴλ ὡς αὐτῷ μαχεσομένους χωρεῖν. οὕτω δὲ βουλευσαμένοις, τὸν μὲν τῶν Μυσῶν δεσπότην Βοησίλαν οἴκαδε ἐκέλευεν ὁ βασιλεὺς ἀπελθόντα, ἐπεὶ πλησίον ἦν, καὶ αὐτὸν καὶ τὴν ὑπ' αὐτὸν στρατιὰν ὧν ἂν δέοιτο πρὸς τὴν μάχην παρασκευασάμενον, εἰς τρίτην ἡμέραν εἰς Ποτοῦκαν ἐλθεῖν, ὃ πόλισμα ἦν κατεσκαμμένον ἔκ τινος ὡς ἔοικε πολέμου, (ἀπεῖχε δὲ τοῦ τόπου, οὗ ἐστρατοπεδεύετο Μιχαήλ, μιᾶς ἡμέρας ὁδόν,) ὡς ἐκεῖ τοῦ βασιλέως αὐτὸν περιμενοῦντος. ὁ μὲν οὖν οἴκαδε εἰς Κόψιν ἀπῆλθεν ἐξαρτυσόμενος τὰ πρὸς μά-

неже дървената кула щяла почти да се допре до стената на града, случило се следното нещо. Пред стената на града от старо време бе построена цистерна за събиране на вода. Тя бе покрита с греди и дъски и понеже отгоре имаше натрупана пръст, тя не се виждаше и никой дори от местните жители отдавна не знаеше, че има покрита цистерна. А и гредите издържали колите и каквито тежести минавали по нея. Когато кулата се намирала върху нея, гредите се счупили и тя пропаднала в цистерната. От хората, които били вътре, никой не загинал, но всички оцелели. Филипопол, който се изложи на такава голяма опасност, избягна завладяването. Защото вътре се окуражили, изчаквали се и се защищавали от стената, а войската на обсадителите престанала да напада. . . .По същото време мизийските велможи, след като техният цар Тертер умря без наследник, извикаха и обявиха за свой цар Михаил[41], владетел на Видин и син на техния деспот Срацимир[42], който произхождал от мизийски и кумански род, и му предадоха Търново, където бяха техните дворци, и цялата останала власт. А той събра своята войска и не малко съюзна от угровласи, като взе и скитска войска, реши, че не трябва да напада византийския император, който обсаждаше Филипопол, понеже чувствуваше, че не е достатъчно силен, но потегли срещу градовете, които след смъртта на Тертер минаха на страната на ромеите. Те бяха в планински места, които защищаваха съратниците му скити и другите съюзници стрелци. Той ги нападна и опустошаваше земята, като обсаждаше градовете. Това беше съобщено на императора и той, като се посъветва със сановниците, реши да изостави обсадата на Филипопол и да се отправи на поход срещу Михаил, за да се сражава с него. Като реши това, императорът заповяда на деспота на мизите Войсил, който беше наблизо, да се върне в земите си и като приготви войската и себе си за сражение, на третия ден да дойде в Потука[43], градче, разрушено, както изглежда, от някаква война. (То отстоеше на един ден път от мястото, където се бил разположил на лагер Михаил.) Там императорът щеше да го чака. Войсил замина за родината си в Копсис, за да се приготви за сраχην· βασιλεὺς δὲ Στενιμάχου καὶ Τζεπαίνης Βρυέννιον τὸν Γεώργιον στρατηγὸν καταστήσας, στρατιάν τε ἀρκοῦσαν πρὸς φυλακὴν καταλιπὼν ὥστε μὴ κακῶς ὑπὸ τῶν Φιλιππουπολιτῶν ἐπεκθεόντων τὴν χώραν πάσχειν, αὐτὸς ἄρας παντὶ τῷ στρατεύματι, ἦλθεν εἰς Ποτοῦκαν, ὡς ἐκεῖ τὸν Βοησίλαν κατὰ τὸ σύνθημα περιμενῶν. στρατοπεδευομένῳ δὲ ἐκεῖ ἀπήγγειλέ τις ἐλθών, ὡς ἐτεθνήκει Βοησίλας ἐξαίφνης· τότε μὲν οὖν ἐδόκει ψεύδεσθαι ὁ ἄνθρωπος καὶ οὐδὲν λέγειν ὑγιές· μετὰ μικρὸν δὲ καὶ δεύτερος ἐλθὼν ἀπήγγειλε τὰ ἴσα, καὶ οὐδ' αὐτὸς ἀξιόχρεως εἰς πίστιν ἐδόκει· τρίτος δὲ μετ' ἐκείνους ἐλθών, ὅτι τε ἐτεθνήκει ἔλεγεν ὄντως καὶ ὡς αὐτὸς αὐτὸν ἴδοι ἀπὸ τοῦ κρημνοῦ εἰς Κόψιν ἀναγόμενον ἐπὶ κλίνης τεθνηκότα ἐπὶ τῷ τυχεῖν ὁσίας· καὶ ἐπεπίστευτο οὗτος ὅτι τε Ῥωμαῖος ἦν καὶ ἀπόδειξιν ἐναργῆ παρείχετο τὴν ὄψιν. ἐδόκει δὴ οὖν διὰ ταῦτα τῷ βασιλεῖ οὐ μαχητέα εἶναι πρὸς Μιχαήλ. οὐ γὰρ ἦν ἀξιόμαχος τοῖς πολεμίοις τότε ἡ τῶν Ῥωμαίων στρατιά, ἅμα μὲν διὰ τὸ τοῖς ὀρεινοῖς ἐνστρατοπεδεύειν αὐτοὺς καὶ φάραγγας βαθείας περιβεβλῆσθαι, τοξείαν ἔχοντας πολλὴν μέγιστα βλάπτειν ἐν ταῖς δυσχωρίαις δυναμένην· ἅμα δ' ὅτι καὶ τῆς παρεῖναι πρὸς τὴν μάχην στρατιᾶς Ῥωμαίων ὀφειλούσης ἀπελείπετο οὐκ ὀλίγη. οἵ τε γὰρ ὑπὸ Βοησίλαν τεταγμένοι περὶ τρισχιλίους ὄντες, διὰ τὴν Βοησίλα τελευτὴν οὐκ ἦσαν προσδόκιμοι παραγενήσεσθαι, καὶ ἐν ταῖς κατὰ τὴν Φιλιππούπολιν τειχομαχίαις πολλοὶ γενόμενοι τραυματίαι, (ἀπέθανον γὰρ οὐ πλείους τῶν τριῶν,) οἴκαδε ἕκαστος ἀπῆλθον θεραπευθησόμενοι· καὶ παρὰ Βρυεννίῳ διὰ τὴν Στενιμάχου καὶ τῶν ἄλλων πόλεων φυλακὴν κατελείποντο ἱκανοί. δι' ἃ δὴ πάντα λυσιτελεῖν μᾶλλον ἐδόκει τῷ βασιλεῖ μὴ μαχεσάμενον ἀναστρέφειν· ἐπανῄκεν οὖν εἰς Ἀδριανούπολιν βαρέως ἐνεγκών, ὅτι οὐκ ἐξεγένετο αὐτῷ τιμωρήσασθαι τοὺς πολεμίους. μετὰ δὲ ὀγδόην ἡμέραν ἀφίκετο πρὸς βασιλέα γράμματα Βοησίλα λέγοντα ὅτι ζῇ· μύκητας δὲ φαγών, τῶν περὶ τὴν καρδίαν μορίων νεκρωθέντων, κάρῳ κατασχεθῆναι καὶ ἀναισθησίᾳ βαθείᾳ ἐφ' ἡμέραις τρισίν, ὡς δοκεῖν ἤδη ἀπηλλάχθαι τοῦ ζῆν, μετὰ δὲ ταύτας τῶν περὶ αὐτὸν θηριακῇ καὶ τοῖς παρὰ τῶν ἰατρῶν λεγομένοις ἀντιδότοις χρησαμένων, μόλις εἰς αἴσθησιν ἐπαναγαγεῖν.

---

[41] Българският цар Михаил III Шишман (1323—1330). [42] Михаил Шишман бил син на видинския владетел Шишман, а не на Срацимир, както погрешно отбелязва Кантакузин. За това вж. у В. Н. Златарски, Вопрос о происхождении болгарского царя Ивана-Александра, Сборник статей по славяноведению, СПб.,1906, отд. отпеч., стр. 15—16. — Бурмов, пос. съч., с. 229, бел. 75 под линия. [43] Точното местоположение на градчето Потука не е известно. За различните мнения относно местоположението на градчето вж. у Бурмов, пос. съч., с. 233, бел. 99 под линия.

I,37. Τοιαῦτα μὲν ἐγένετο κωλύματα τῷ νέῳ βασιλεῖ τοῦ μὴ πρὸς Μιχαὴλ τὸν Μυσῶν βασιλέα διαγωνίσασθαι καὶ τοὺς συμμάχους. αὐτὸς δὲ Μιχαὴλ τὰς μὲν πολιορκουμένας πόλεις παρεστήσατο ὁμολογίᾳ τὴν ἐκ βασιλέως Ῥωμαίων ἀπηγορευκυίας ἐπικουρίαν· πρὸς δὲ τὴν Φιλιππούπολιν στρατιάν τε ἀκμάζουσαν ἑτέραν ὥστε φρουρεῖν αὐτὴν ἀπέστειλε καὶ στρατηγόν· τὸν δὲ Ἰβάνην καὶ τοὺς πολιορκηθέντας στρατιώτας ἅμα

жение. Императорът пък постави за стратег на Станимака и Цепена Георги Вриений, като остави достатъчно войска за гарнизон, за да не пострада земята от нападащите филипополци. Сам потегли с цялата войска и пристигна в Потука, за да чака там Войсил. Но един човек пристигна и съобщи на разположилия се на лагер император, че Войсил внезапно умрял. Но изглеждало, че този човек и лъжел, и не казвал нищо вярно. След малко пристигна втори, който съобщи същото. Но, изглежда, и той не заслужаваше доверие. Третият, който дойде след тях, каза, че действително е умрял и че уж сам видял да го смъкват мъртъв на носилка от стръмнината в Копсис, за да бъде погребан. На този повярваха, понеже бе ромей и свидетелстваше като очевидец. Поради това императорът реши, че не трябва да се сражава с Михаил. Тогава ромейската войска не беше равностойна на неприятелската, първо, понеже последната беше разположена в планински места и беше заобиколена с дълбоки окопи и разполагаше с много стрелци, които можеха да нанесат големи вреди в теснините, и, второ, защото немалка част от войската на ромеите, която трябваше да се яви за сражението, липсваше. Намиращите се под командуването на Войсил войници, които бяха около три хиляди, не бе сигурно, че ще пристигнат след смъртта на Войсил. А и в сраженията при Филипопол мнозина бяха ранени (убити бяха не повече от трима) и всеки се отправяше за дома си, за да се лекува. А и мнозина бяха останали за гарнизон при Вриений в Станимака и другите градове. Поради всичко това императорът реши да се върне, без да се е сражавал. Понеже не му се удаде да накаже неприятелите, той се върна в Адрианопол тежко засегнат. След осем дни императорът получи писмо, в което се съобщаваше, че Войсил е жив. Понеже ял гъби, сърдечните мускули са били парализирани и в продължение на три дни бил обхванат от тежка летаргия и силна безчувственост, така че изглеждало, че е умрял. След това близките му си послужили с териак и с така наречените от лекарите противоядия и едвам го върнали към живот.

I, 37. Това попречи на младия император да се сражава с царя на мизите и съюзниците [му]. Сам Михаил подчини по споразумение обсадените градове, понеже не получиха подкрепа от императора на ромеите. Същевременно той изпрати стратег и друга свежа войска във Филипопол, за да го пази. А повика Иван и обсадените τοῖς σφετέροις στρατηγοῖς μετεκαλεῖτο ὡς ἀμειψόμενος τῶν πόνων ἕνεκα καὶ τῆς ἀνδρίας, ἣν ἐν τῷ πολιορκεῖσθαι ἐπεδείξαντο. ὁ δὲ τῆς πεμφθείσης στρατιᾶς στρατηγὸς ἐπειδὴ ἐγγὺς Φιλιππουπόλεως ἦν, πέμψας πρὸς Ἰβάνην, τήν τε ἄφιξιν αὐτῶν καὶ ἐφ᾿ ὅ,τι ἥκοιεν ἐδήλου. Ἰβάνης δὲ ἅμα τοῖς ὑπ᾿ αὐτὸν ἄρχουσι τῆς στρατιᾶς, καὶ τοὺς φρουροὺς ὅσοι ἦσαν παραλαβών, εἰς ὑπάντησιν ἐξῆλθε τῶν ἐρχομένων, καὶ διενυκτέρευσεν ἔξω μετ᾿ αὐτῶν ὡς ἐς τὴν ὑστεραίαν αὐτοῖς τὴν πόλιν παραδώσων. ὑπὸ δὲ τὴν αὐτὴν νύκτα καὶ ὁ Βρυέννιος εἰς Φιλιππούπολιν ἐνήδρευσεν ἐλθών, ὡς ἅμα ἕῳ τὰ τῆς πόλεως βοσκήματα διαρπάσων. πυθόμενος δέ, ὡς ὁ Ἰβάνης καὶ ἡ φρουροῦσα στρατιὰ ἅμα τοῖς σφετέροις στρατηγοῖς εἰς ὑπάντησιν ἐξῄεσαν τῶν διαδεξομένων, ἀναστὰς ἦλθεν ἐγγὺς τειχῶν. οἱ δὲ κατοικοῦντες τὴν πόλιν νομίσαντες καιρὸν εἶναι τῶν Μυσῶν ἑαυτοὺς ἐλευθεροῦν, ἀνοίξαντες τὰς πύλας, τὸν Βρυέννιον ἅμα τῇ Ῥωμαίων εἰσεδέξαντο στρατιᾷ. καὶ ὃ βασιλεὺς διὰ τῆς χρονίου πολιορκίας καὶ τῶν πολλῶν καὶ συνεχῶν οὐκ ἠδυνήθη καταπράξασθαι τειχομαχιῶν, τοῦτο Βρυέννιος, θεοῦ συναιρομένου, κατώρθωσεν ἀπόνως, καὶ τὴν Φιλιππούπολιν ἀνεσώσατο Ῥωμαίοις. ὁ δὲ Ἰβάνης ἅμα ἕῳ τὴν ἅλωσιν τῆς πόλεως πυθόμενος καὶ οἱ ἄλλοι, ἀνεχώρησαν ἐπ᾿ οἴκου. μετὰ δὲ τοῦτο Μιχαὴλ ὁ τῶν Μυσῶν βασιλεὺς τῷ Βοησίλᾳ τῆς τε Κόψεως καὶ ἑτέρων τεττάρων κρατοῦντι φρουρίων ἐπέκειτο σφοδρῶς, καὶ ἐπολιόρκει πέμπων στρατιάν. μέχρι μὲν οὖν ἐνιαυτοῦ καὶ περαιτέρω ὁ Βοησίλας πρὸς τὸν πόλεμον ἀντεῖχεν ἰσχυρῶς, καὶ τοῦ βασιλέως βοηθοῦντος καὶ χρήμασι καὶ ἵππῳ καὶ πεζῇ στρατιᾷ. μετὰ δὲ τοῦτο διὰ τὰς συνεχεῖς ἐφόδους καὶ τὸ πανταχόθεν ἀποκεκλεῖσθαι τὰς πρὸς τὸ ζῆν ἀφορμὰς τοὺς ὑπ᾿ αὐτὸν ὁρῶν τῷ Μιχαὴλ ταῖς γνώμαις προστιθεμένους, καταλιπὼν αὐτούς, ἀφίκετο πρὸς βασιλέα. οἱ δὲ ἑαυτούς τε καὶ τὰ φρούρια παρέδοσαν Μιχαήλ. μετὰ δὲ τὸ ταύτην κατασχεῖν πανστρατιᾷ εἰσέβαλεν ἐς τὴν Ῥωμαίων, καὶ τὰ ἀνωτερικὰ μέρη τῆς Θρᾴκης ἐλῄσατο πάντα ἄχρι Βήρας ἐπελθὼν ἐν ἡμέραις μάλιστα δυοκαίδεκα. ἐκράτησε δὲ λείας οὐ πολλῆς διὰ τὸ τοὺς γεωργοὺς ἐκ προνοίας τοῖς φρουρίοις καὶ ταῖς πόλεσιν ἐγκατακλεισθῆναι. βασιλεὺς δὲ ὁ νέος ἐν Διδυμοτείχῳ διατρίβων, οὐκ ἀντεπεξῆλθε Μυσοῖς διὰ τὸ μὴ στρατιὰν ἠθροισμένην ἀξιόμαχον ἔχειν. λύπῃ δὲ συνείχετο χαλεπῇ διὰ τὸ μὴ δύνασθαι ἀμύνασθαι τοὺς πολεμίους. σφαδάζων δὲ καὶ ἐκκαιόμενος τῷ θυμῷ, ἐπανιόντι μηνύει τῷ Μιχαήλ, ὡς „σὺ μὲν ἐκ παρασκευ-

войници заедно със стратезите им, за да ги награди за усилията и храбростта, която проявиха при обсадата. Стратегът на изпратената войска, след като се приближил до Филипопол, изпрати да кажат на Иван за пристигането си и защо били дошли. А Иван заедно с подчинените му военачалници и целия гарнизон излязъл да посрещне идващите и пренощува с тях извън града, за да може да им предаде града на следния ден. Същата нощ и Вриений пристигна до Филипопол и устрои засада, за да заграби рано сутринта градския добитък. Като узна, че Иван и гарнизонът заедно с техните стратези са излезли да посрещнат смяната, вдигна се и дойде до градските стени. Жителите на града сметнали, че моментът е удобен да се освободят от мизите и като отворили вратите на града, пуснали Вриений заедно с ромейската войска. Това, което императорът поради продължителната обсада и многобройните и непрекъснати сражения не можа да постигне с обсадни машини, Вриений с божия помощ постигна без труд, като запази Филипопол за ромеите. А Иван и другите, като узнаха рано сутринта за завземането на града, върнаха се в земите си. След това Михаил, царят на мизите, изпрати войска и като го обсади, притисна здраво Войсил, който владееше Копсис и четири други крепости. В продължение на една година и повече Войсил се съпротивляваше силно във войната, понеже и императорът му помагаше с пари, конница и пехота. След това, като видя, че подчинените му проявяват симпатии към Михаил поради непрекъснатите нападения и понеже бяха откъснати отвсякъде от продоволствие, изостави ги и дойде при императора. А те заедно с крепостите се предадоха на Михаил. След като завладя тази земя, той с цялата си войска се втурна в ромейска земя и оплячкоса всички по-горни области на Тракия чак до Вира[44], като ги преброди най-много за дванадесет дни. Но не взе много плячка, понеже селяните предвидливо се затвориха в крепостите и градовете. Младият император, който се намираше в Димотика, не се противопостави на мизите, понеже нямаше достатъчно събрана боеспособна войска. Обхвана го голяма мъка, тъй като не можа да се противопостави на неприятелите. Удряйки с крак в земята, обхванат от гняв и като се подготви, съобщи на Михаил, който се връщаше: „Ти ἧς τὴν ὑπό σε ἀθροίσας στρατιὰν, εἰσέβαλες εἰς τὴν ἡμετέραν καὶ ἐκάκωσας ὅσον ἐξῆν. ἐμοὶ δὲ τὸ νῦν ἔχον ἀδυνάτως ἔχοντι ἐκ παρατάξεως διαγωνίσασθαι, ἥδιστ᾽ ἂν μόνῳ γένοιτο διαγωνίσασθαι πρὸς μόνον." αὐτὸς δὲ ἀπεκρίνατο μήτε ἐγκέφαλον ἂν σχεῖν χαλκέα, εἰ ἐνὸν τοῦ πεπυρακτωμένου τῇ πυράγρᾳ ἅπτεσθαι σιδήρου, ὁ δ᾽ ἀντὶ ταύτης τῇ χειρὶ χρῷτο· αὐτόν τε γέλωτα πολὺν ὀφλήσειν, εἰ μὴ τῇ στρατιᾷ πολλῇ τε καὶ ἀγαθῇ οὔσῃ, ἀλλὰ τῷ ἰδίῳ σώματι διακινδυνεύοι· διὸ οὐδὲ πράξειν ἃ προκαλεῖται παρ᾽ αὐτοῦ. αὐτὸν δὲ τῷ ὑπερβάλλοντι πρὸς τοιαῦτα ἐξάγεσθαι τοῦ θυμοῦσθαι· μετὰ μικρὸν δὲ φιλίας αὐτοῖς γενησομένης ἰσχυρᾶς, ἅμα ἀλλήλοις ἑτέροις μαχοῦνται πολεμίοις. τοιαῦτα ἀποκρινάμενος ὁ Μιχαὴλ, ἐπανέζευξεν εἰς Μυσίαν. βασιλεὺς δὲ ὁ νέος ἐκ Διδυμοτείχου εἰς Βυζάντιον ἐλθὼν, λύπης ἀνάπλεως ὢν διὰ τὴν εἰσβολὴν, „οὐ δίκαιόν ἐστιν" ἔλεγε πρὸς τὸν πάππον „πολλήν τε καὶ ἀγαθὴν ἔχοντας στρατιὰν, καὶ δυναμένους καὶ αὐτοὺς εἰς τὴν τῶν πολεμίων ἐσβαλόντας ἐκ τοῦ ὁμοίου τὴν ἐκείνων κακοῦν, ἢ ἀργοὺς καὶ ἀπράκτους καθῆσθαι παντελῶς, ἢ πρὸς σπονδὰς χωρεῖν πέμψαντας πρέσβεις, αὐτοῖς ἔργοις ὁμολογοῦντας, ὡς πάσχειν μόνον ἐπιτήδειοι κακῶς, οὐκέτι δὲ καὶ ἀντιδρᾷν ἐσμεν τοὺς πολεμίους δυνατοί. οὗ δὴ ἕνεκα δέομαί σου, βασιλεῦ, τὴν ἐπ᾽ ἐκείνοις καὶ ἡμῖν ἐκστρατείαν ἐπιτρέψαι· τιμωρησαμένοις δὲ τοὺς πολεμίους τῆς ἀδικίας τῆς εἰς ἡμᾶς, τότ᾽ ἤδη, εἴγε φαίνοιτο λυσιτελεῖν, τὰς πρὸς αὐτοὺς ποιήσομεν σπονδὰς, ἐγνωκότας ἀκριβῶς ὡς ἀλυσιτελὲς αὐτοῖς τὸ προεπιχειρεῖν ἡμῖν." τοιαῦτα μὲν ὁ νέος εἴρηκε βασιλεὺς, τὸν πρεσβύτερον πρὸς τὸν κατὰ τῶν βαρβάρων πόλεμον ἐξορμῶν. παρὼν δὲ καὶ ὁ μέγας δομέστικος αὐτοῖς διαλεγομένοις „τὸ ἀδικεῖσθαι" εἶπε „καὶ κακῶς πάσχειν ὑφ᾽ ὁτουοῦν ἐν πᾶσιν ἴσον ὂν, μείζω ἢ ἐλάσσω τὴν ὀδύνην παρὰ τὸ ἀξίωμα τῶν ἀδικούντων φέρει. διὸ καὶ πάντες ἄνθρωποι τοῖς κρείττοσι μὲν δουλεύουσιν ἀνεπαχθῶς, ἀμύνεσθαι δὲ ἀξιοῦσι τοὺς ἴσους, ἂν ἀδικῶνται· καὶ μᾶλλόν τοι αἱροῦνται τὸν κίνδυνον ὑπὲρ τοῦ μὴ δουλεύειν καὶ τῆς εὐκλείας, ἢ τὴν ἐν τῷ αὐτίκα ῥᾳστώνην δέει τοῦ μὴ φοβερώτερα παθεῖν. οἱ νυνὶ δὲ πολεμοῦντες ἡμῖν Μυσοὶ οὐχ ὅπως μείζους, ἀλλὰ καὶ ἐλάσσους ἡμῶν εἰσι πολλῷ τῷ μέτρῳ. οἵ τε γὰρ βασιλεύοντες ἡμῶν ὑμεῖς τῶν ἐκείνων βασιλέων καὶ φρονήσει καὶ ἀνδρίᾳ καὶ ἐμπειρίᾳ τῇ πρὸς τοὺς πολέμους ὑπερέχετε πολλῷ, καὶ στρατηγοῖς ἔχετε χρῆσθαι καὶ πλείοσι καὶ βελτίοσιν ἐκείνων· χώρας τε ἄρχετε κατὰ πάντα ὑπερεχούσης καὶ πλήθει στρατιᾶς καὶ μεγέθει πόλεων καὶ ἀριθμῷ καὶ

---

[44] Вира, дн. Фере в най-долното течение на Марица.

събра подвластната си войска, нахлу в нашата земя и я опустоши колкото можа. Понеже аз не мога да се сражавам с тебе сега в редовен бой, най-добре би било да се сражаваме в единоборство." А той отговори, че нямал ум ковачът, който може да вземе нажеженото желязо с клещи, а вместо с тях си служи с ръка. И самият той щял да предизвика голям смях, ако рискува не с голяма и добра войска, а със собственото си тяло. Поради това той не щял да направи онова, за което императорът го подканвал. Императорът бил обхванат от гняв, понеже Михаил го надхитрил в играта. А след малко, когато щели да се свържат в здраво приятелство, те щели да се сражават заедно срещу други неприятели. Михаил отговори по този начин и се върна в Мизия. А младият император дойде от Димотика във Византион, изпълнен с мъка поради нападението, и каза на дядо си: „Не е справедливо, като имаме голяма и добра войска и като можем сами да нападнем земята на неприятелите и да я опустошим по същия начин, да стоим напълно без инициатива и бездейни, да пращаме пратеници за мир, съгласявайки се фактически, че сме годни само да пострадаме най-лошо и че не сме способни да противодействуваме на враговете. Заради това аз те моля, царю, и нам да довериш поход срещу тях и след като накажем неприятелите за несправедливостта към нас едва тогава, ако решим, че е полезно, да сключим договор с тях, след като са разбрали добре, че за тях е безполезно да се захващат с нас." Това каза младият император, като подтикваше стария към война срещу варварите. Великият доместик, който присъствуваше, им каза, когато разговаряха: „Да бъдеш онеправдаван и да страдаш от когото и да било е изобщо едно и също нещо, но обидата е по-голяма или по-малка с оглед на положението на обиждащите. И поради това всички хора робуват доброволно на по-силните, а смятат, че трябва да се бранят срещу равните, ако бъдат обиждани. И предпочитат опасността пред робуването и моментното благополучие от страх да не пострадат по-тежко. А сега мизите, които воюват с нас, не само не са по-силни, но са много по-слаби от нас. Вие, които ни управлявате, превъзхождате много техните царе и по разум, и по храброст, и по опит в сраженията с неприятелите и можете да си послужите с много повече и по-добри стратези от онези, управлявате земя, която изобилствува във всяко отношение с много войска, големи и много градове, с годишни

προσόδοις ἐτησίοις καὶ τῇ ἄλλῃ πάσῃ κατασκευῇ. ἄτοπον οὖν ἐκείνους μὲν ἐκ τοῦ ἐλάττονος ὁρμωμένους ἡμᾶς κακοῦν, ὑμᾶς δὲ μὴ χρῆσθαι τῇ σφετέρᾳ αὐτῶν δυνάμει, ἀλλ' ἐᾶν αὐτοὺς ἀτιμωρήτους. τοῦτο μὲν οὖν ὑμῖν προσήκειν ἡγοῦμαι τοῖς βασιλεῦσιν. ἐγὼ δὲ καὶ ἄλλως μὲν πρόθυμος πρὸς τὸ τοῖς προστάγμασιν ὑμῶν ἐξυπηρετεῖν δίκαιος εἶναι ὁμολογῶ· πρὸς δὲ τὸν ἐνεστῶτα νυνὶ πόλεμον τουτονὶ οὐκ αὐτοχειρίᾳ μόνον, ἀλλὰ καὶ χρήμασιν ἰδίοις καὶ οἰκέταις ὑπέρ τε τῆς τῶν ὁμοφύλων ὠφελείας καὶ τῆς εὐδοξίας τῶν βασιλέων ὑμῶν, τὴν δυνατὴν ἕτοιμός εἰμι εἰσφέρειν καὶ σπουδὴν καὶ προθυμίαν. οἴομαι δὲ οὐκ αὐτὸν μόνον, ἀλλὰ καὶ τοὺς ἄλλους ὁμοίως ἐμοὶ τῶν ἐπιφανεστέρων διακεῖσθαι. εἰ δ' ὑμῖν δοκεῖ καὶ προστάττετε τοῦτο, καὶ καθ' ἑαυτοὺς ἡμεῖς, οἱ τῆς συγκλήτου, ποιήσαντες ἐκκλησίαν ὅ, τι χρὴ πράττειν βουλευσόμεθα περὶ τοῦδε τοῦ πολέμου."

I, 38. Ἐπαινέσαντος δὲ τοῦ πρεσβυτέρου βασιλέως καὶ ἐπιτρέψαντος τὴν βουλήν, οἵ τε μετὰ τοῦ νέου βασιλέως ἐλθόντες καὶ οἱ τῷ πρεσβυτέρῳ συνόντες ἐν Βυζαντίῳ τῶν ἐπιφανῶν, προστετυχότων τῶν βασιλέων, ἐν μέσαις ταῖς βασιλείοις ἐκαθέσθησαν αὐλαῖς, βουλευσόμενοι περὶ τοῦ πολέμου. σιγῆς δὲ γενομένης ἐπὶ μικρόν, οἱ ἐν Βυζαντίῳ τοὺς μετὰ τοῦ νέου προὐκαλοῦντο βασιλέως ἐλθόντας, ἐφ' οἷς συνήγαγον τὴν ἐκκλησίαν λέγειν, ὡς αὐτῶν ἅττα ἂν λέγωσιν ἀκουσομένων. ἐκείνων δὲ τὸν μέγαν δομέστικον προτρεπομένων λέγειν ὡς καὶ αὐτῶν τὰ ἴσα καὶ βουλομένων καὶ φρονούντων, ὁ μέγας δομέστικος εἶπε τοιάδε· „ἄνδρες συστρατιῶται, ἐν ἴσῳ πάντες ἄνθρωποι δικαιοῦσι τῷ τε τῆς ὑπαρχούσης δόξης ὑφιεμένῳ μέμφεσθαι διὰ μαλακίαν, καὶ τὸν τῆς μὴ προσηκούσης θρασύτητι ἐφιέμενον μισεῖν. διὸ καὶ αὐτὸς οὐ τῆς μὴ προσηκούσης ἡμῖν δόξης ἀντέχεσθαι παρελήλυθα συμβουλεύσων, ἀλλὰ τὴν ὑπὸ τῶν προγόνων εἰς ἡμᾶς ἀγῶσι καὶ πόνοις διασωθεῖσαν ἀτολμίᾳ τῇ πρὸς τὰ δεινὰ ἐλάσσω μὴ ποιεῖν. μὴ θαυμάσητε δέ, εἰ, βασιλεῦσι περὶ τῶν τοιούτων βουλεύεσθαι προσῆκον, αὐτὸς ὑμῖν προὔθηκα τὴν βουλήν. ἡγοῦμαι γὰρ καὶ πόλιν αὐτονομουμένην καὶ βασιλείαν πλείω τοὺς ἰδιώτας ὠφελεῖν σύμπασαν ὀρθουμένην, ἢ κακῶς πάσχουσαν ἀθρόαν, καθ' ἕκαστον δὲ εὐπραγοῦσαν τῶν πολιτῶν. δυστυχῶν μὲν γὰρ ἐν εὐπραγούσῃ τῇ πατρίδι μάλιστ' ἄν τις διασώζοιτο· εὖ δὲ φερόμενος ἐν ἀτυχούσῃ οὐδὲν ἧττον συναπόλλυται. ὁπότε οὖν καὶ πόλις καὶ βασιλεία πρὸς μὲν τὰς ἰδίας συμφορὰς οἵα τε ἀντέχειν, εἷς δὲ ἕκαστος ἀδύνατος πρὸς τὰς ἐκείνης, πῶς οὐ χρὴ παντὶ τρόπῳ πάντας ἀμύνειν αὐτῇ; ἃ μὲν οὖν εἰς ἡμᾶς ὁ τῶν Μυσῶν ἐξύβρισε βασιλεύς, πάντες ἀκηκόατε καὶ αὐτοί. τῶν ἄλλων γὰρ λῃστείαις

данъци и всякакво друго въоръжение. Несправедливо е те, които са по-слаби, да ни пакостят, а вие да не си послужите със силата си, а да ги оставяте безнаказани. Смятам, че тази задача е дълг на вас, царуващите. Аз пък смятам, че съм прав да служа с готовност на вашите разпореждания, а по отношение на сегашната война съм готов не само лично, но и със собствените си средства и подчинени да служа за благото на сънародниците си и за славата на нашите царе, да вложа възможното старание и ревност. Мисля, че не само аз, но и другите по-знатни мислят като мен. Ако вие решите и наредите това, и ние сами, хората от синклита, ще свикаме събрание и ще се посъветваме какво трябва да правим в тази война."

I, 38. Старият император похвали това и разреши съвещанието. Тогава тези, които бяха дошли с младия император и по-знатните съмишленици на стария император във Византион, по заповед на императорите седнаха в средата на царския дворец, за да се съветват за войната. Настъпи мълчание за известно време и тия от Византион подканяха дошлите заедно с младия император да кажат това, за което са се събрали на съвет, като те щели да чуят какво биха казали. Когато подтикваха великия доместик да говори той, понеже и те искали и мислели същото, великият доместик каза следното: „Другари по оръжие, всички хора смятат, че еднакво трябва да се порицае и този, който се измъква от предстоящата слава поради малодушие, и онзи, който се стреми дръзко към неподходяща слава. Поради това и аз дойдох да дам съвет да не се стремим към неподходяща за нас слава, но и да не погубим от лекомислие запазената до наши дни с борби и труд от предшествениците. И да не се учудвате, че аз ви съветвам, въпреки че за такива работи подобава императори да дават съвет. Защото смятам, че независим град и царство принасят повече полза на гражданите, когато напълно преуспяват, отколкото когато са изцяло изпаднали в тежко положение и облагодетелствуват отделни граждани. Тъй като в благоденствуващо отечество всеки, който изпадне в беда, би могъл найлесно да се съвземе, а който преуспява в нещастно отечество, той пропада също като другите. А щом и градът и царството могат да отстранят отделните нещастия, а всеки поотделно не може да ги отстрани, то не трябва ли по всякакъв начин всички да му помогнем? Това, което царят на мизите каза надменно срещу нас, вие сами всички

χρωμένων, ἤ, εἴποτε καὶ ἐσβάλλοιεν στρατιᾷ, ἄχρι τῆς ἄκρας ἀφικνουμένων καὶ ἅμα τῷ αἴσθησιν παρασχεῖν ἀποδιδρασκόντων εἰς τὴν ἰδίαν, αὐτὸς ὥσπερ οὐκ εἰς πολεμίαν, ἀλλ' εἰς τὴν ἰδίαν ποιούμενος τὰς στρατοπεδείας, ἀσφαλῶς καθήμενος ἐδῄου τὴν γῆν ἡμῶν ἐπὶ δυοκαίδεκα ἡμέραις· καὶ προῆλθέ γε ἄχρι Βήρας καὶ Τραιανουπόλεως, τέμνων αὐτήν. εἴ τῳ δὲ δοκεῖ διὰ τὸ ἐκ προνοίας ἐν ταῖς πόλεσι καὶ τοῖς φρουρίοις τά τε βοσκήματα καὶ τοὺς ἀνθρώπους ἐγκατακλεισθέντας ἐλάσσω, ἢ ἐχρῆν γενέσθαι, τὴν ζημίαν ἀνεκτὸν εἶναι, ἴστω ἐξαπατῶν ἑαυτόν. ἐὰν γὰρ μὴ νῦν τιμωρησώμεθα αὐτοὺς ἀξίως, καὶ δευτέραν ἐσβολὴν ποιήσονται καὶ τρίτην· καὶ οὐ μόνον τοὺς τῶν πόλεων δήμους ἀπ' ἐλασσόνων ὁρμωμένους ἀποστερήσουσι καὶ τούτων, ἀλλὰ καὶ ἡμᾶς τοὺς δυνατούς, πολλὰ καλὰ κτήματα ἔχοντας κατὰ τὴν χώραν, ζημιώσουσι πολλά. διὸ δὴ καὶ παραινῶ ὑμῖν, ὁμόσε χωρεῖν τοῖς πολεμίοις, μὴ φρονήματι μόνον τῶν προγόνων, ἀλλὰ καὶ καταφρονήματι χρωμένους. ἐκεῖνοί τε γὰρ ἐκ τοῦ ἀεὶ νικᾶν τοὺς Μυσοὺς ἐχυρωτέραν ἔχοντες τὴν τόλμαν, καταφρονητικῶς ἐπῄεσαν αὐτοῖς, καὶ ἡμῖν, ἐὰν τῆς ἐκείνων ἀρετῆς καὶ προθυμίας φανῶμεν ζηλωταί, τὸ αὐτὸ ἐξέσται. ἔχομεν δὲ καὶ πολλὰ ἐνέχυρα ἀσφαλῆ τοῦ περιγενέσθαι ἂν αὐτῶν ἐν τῷ πολέμῳ. ἥ τε γὰρ ἡμετέρα στρατιὰ πλείων καὶ τὰ πολέμια κραταιοτέρα, ὑμῶν τε τῆς συγκλήτου πολλοὶ τῶν ἐκείνων βασιλέων οὐ φρονήσει μόνον, ἀλλὰ καὶ ἀνδρίᾳ καὶ πείρᾳ τῇ πρὸς στρατηγίας ὑπερέχετε πολύ· χρήμασί τε οὐκ ἐκ τῶν κοινῶν μόνον, ἀλλὰ καὶ ἐκ τῶν ἰδίων ἐῤῥώμεθα μᾶλλον ἐκείνων. οἷς εἰ μὴ χρησαίμεθα νῦν, ὁπότε ἂν ἀπολαύσαιμεν τῆς ἐξ αὐτῶν ὠφελείας ἀπορῶ. ὡς οὖν ἐν πᾶσιν ὑπερέχοντες αὐτῶν, διδάξωμεν αὐτοὺς οὐ τὸ ἐς τὴν ἡμετέραν εἰσβάλλειν ὂν λυσιτελές, ἀλλὰ τὸ τὴν ἰδίαν ἀσινῆ καρποῦσθαι ἀγαπητόν· καὶ προθύμως συναγωνισώμεθα κατὰ τόνδε τὸν πόλεμον τοῖς ἡμετέροις βασιλεῦσι καὶ χρήμασι καὶ οἰκέταις καὶ τοῖς σώμασιν αὐτοῖς, τῇ τε τῆς Ῥωμαίων ἡγεμονίας τιμῇ ἀπὸ τοῦ μὴ ὑπὸ τῶν βαρβάρων καταφρονεῖσθαι, ᾗ ἀγαλλόμεθα πάντες, βοηθῶμεν καὶ μὴ φεύγωμεν τοὺς πόνους. ἃ μὲν οὖν εἶπον, προθύμως ἅπτεσθαι τοῦ πολέμου παραινῶν ὑμῖν, οὐδὲ αὐτοὺς ἂν λογισαμένους ὡς οὐ καλῶς ἔχουσιν, ἀντειπεῖν δοκῶ. ὅτι δὲ πρὸς τὴν ἴσην παρεσκεύασμαι καὶ αὐτὸς καὶ σπουδὴν καὶ προθυμίαν, ἐξ αὐτῶν ἔσται τῶν ἔργων τὴν ἀπόδειξιν παραλαβεῖν. ἀνδρίᾳ μὲν γὰρ καὶ συνέσει καὶ ἐμπειρίᾳ τῇ πρὸς τοὺς πολέμους πολλοῖς ἂν ὑμῶν συγχωρή-

чухте. Докато другите, които се занимават с грабежи, дори ако някога нападнат с войска, като дойдат до границата, избягват веднага незабелязано, щом привлекат вниманието върху себе си, той самият се установява на лагер като че ли не в неприятелска, а в собствена страна, и разполагайки се безгрижно, опустошава земята ни в продължение на дванадесет дни. Той дойде до Вира и Траянопол[45], като разоряваше страната. Ако някой мисли, че вредите биха били по-малки, отколкото биха били, ако предварително животните и хората бъдат затворени в градовете и крепостите, да знае, че се заблуждава. Защото ако сега не ги накажем заслужено, ще извършат и второ, и трето нападение. И те ще ограбят не само гражданите от низките слоеве, но и ще причинят големи щети и на нас, богатите, които имаме много хубави имоти в страната. И поради това ви подканям заедно да потеглим срещу неприятелите, имайки не само гордостта на прадедите, но и тяхната самоувереност. Защото те, бидейки с по-висок дух, понеже винаги са побеждавали мизите, нападали са ги дръзко. И ние ще направим същото, ако следваме тяхната смелост и храброст. А имаме много сигурни предимства, за да ги надвием във войната. Защото нашата войска е по-голяма и по-силна във военно отношение, мнозина от вас и от синклита превъзхождат техните царе не само по разум, но и по храброст и по опит във военното дело. Ние ги надминаваме не само с държавните, но и с частните си имущества. Ако с тях сега не си послужим, съмнявам се, че някога бихме вкусили от тяхната полза. Прочее, превъзхождайки ги във всяко отношение, ще ги научим, че не е полезно да нахлуват в нашата земя, но че е приятно да се наслаждават безгрижно на своето. Нека с готовност да подкрепим в тази война нашите царе и с богатствата си, и с подчинените си, и с телата си да защитим честта на ромейската държава, на която често всички се радваме от дързостта на варварите, да помогнем и да не бягаме от трудностите. Аз казах това, като ви подканих да се заловите с готовност за войната и смятам, че не възразявате, след като прецените, че не се намирате в добро положение. Че аз съм се приготвил с еднакво усърдие и готовност, самите факти могат да покажат. Защото по храброст, разум и опитност във войните бих отстъпил на мнозина от вас. Но смятам, че не σαιμι τὸ πλέον ἔχειν· τῇ προθυμίᾳ δὲ τῇ κατὰ τὰ ἔργα καὶ τῷ ὑπὲρ τῆς τῶν ὁμοφύλων ὠφελείας καὶ τῆς βασιλέων τῶν ἡμετέρων τιμῆς καὶ ἡμῶν αὐτῶν εὐδοξίας καὶ χρήματα καὶ οἰκέτας καὶ αὐτὸ τὸ σῶμα ἐπιδοῦναι, οὐδενὸς εἶναι δεύτερος ἀξιῶ. ὡς οὖν οὐχ ὑπὲρ εὐδοξίας μόνον, ἀλλὰ καὶ τῆς εἰσέπειτα ἀσφαλείας βουλευόμενοι, οὕτω καὶ ψηφισώμεθα καὶ ἁψώμεθα τοῦ πολέμου· καὶ μὴ χείρους φαινώμεθα τῶν προγόνων, οἳ μετὰ πόνων καὶ κινδύνων τὸ μὴ ὑπὸ τῶν τοιούτων περιφρονεῖσθαι παρέδοσαν ἡμῖν· ἀλλὰ πολὺ φοβερώτερον νομίζωμεν τὴν οὖσαν εὐδοξίαν ἀπραγμοσύνῃ ἂν ἀφαιρεθῆναι, ἢ κτώμενοι ἀτυχῆσαι." Τοιαῦτα μὲν ὁ μέγας δομέστικος εἶπεν. ὁ πρωτοστράτωρ δὲ μετ' αὐτὸν „μὴ νομίζετε" εἶπεν „ὦ παρόντες, τὸν μέγαν δομέστικον μόνον τοιαῦτα καὶ βουλεύεσθαι καὶ προθυμεῖσθαι, ἀλλὰ καὶ ἡμῖν ἅπασι ταῦτα συνδοκεῖν· καὶ μὴ ἂν τὰ ἡμέτερα ὀρθωθῆναι, εἰ μὴ καὶ σπουδὴν καὶ τόλμαν ἀξίαν καὶ τῆς τῶν προγόνων καὶ ἡμῶν αὐτῶν ἀναλάβωμεν εὐδοξίας." τὰ ἴσα δὲ καὶ οἱ τῷ νέῳ βασιλεῖ συνόντες συνεπεψηφίσαντο πάντες. τοῖς δ' ἐν Βυζαντίῳ τῷ πρεσβυτέρῳ συνοῦσι βασιλεῖ ἀναγκαῖα μὲν οὐκ ἐδόκει τὰ εἰρημένα· οὐ μέντοι καὶ ὡς ἀλυσιτελῆ ἐτόλμησαν φανερῶς ἀντειπεῖν, ἀλλὰ πολλὰ ἐφεξῆς συνείραντες, ἐξ ὧν κατεσκεύαζον ἀδήλως, ὡς δεῖ τὴν ἀπραγμοσύνην μᾶλλον αἱρεῖσθαι, ἀνέστησαν ἀσύμφωνοι ταῖς γνώμαις, τὸ μὲν δοκεῖν, ἐξ ἀποριῶν τινων εἰς ἀμηχανίαν καθιστάμενοι, τὸ δ' ἀληθές, οὐχ ἃ τῷ κοινῷ λυσιτελεῖ, ἀλλ' ἃ αὐτοῖς ἰδίᾳ διαφέρει σκοποῦντες. ἐπηκροῶντο δὲ καὶ οἱ βασιλεῖς ἔνδοθεν τῶν λεγομένων, ὄντες οὐ μακράν. βασιλεὺς μὲν οὖν ὁ νέος ἐφθέγξατο οὐδέν· ὁ δέ γε πρεσβύτερος τῶν μὲν αὐτῷ συνόντων ἀνανδρίαν τε πολλὴν κατεγίνωσκε καὶ ἀβουλίαν, τοὺς δὲ τῷ ἐγγόνῳ συνόντας ἐθαύμαζε τῆς εὐβουλίας, καὶ τῆς ὑπὲρ τοῦ κοινῇ συμφέροντος σπουδῆς ἐπῄνει· μάλιστα δὲ τὸν μέγαν δομέστικον συνετῶς ἄγαν καὶ καιρίως βεβουλευμένον, καὶ ἀκριβεῖς ἔλεγεν αὐτῷ τοῦ πρὸς μητρὸς πάππου χαρακτῆρας ἐνορᾶν, ὃς οὕτως ἦν τά τε δέοντα συνεῖναι ὀξὺς καὶ ἑρμηνεῦσαι ταῦτα ἱκανὸς καὶ καταπράξασθαι δραστηριώτατος· „ὡς παρ' ἐμοὶ κριτῇ, εἴγε ἐτελεύτων ἐξ ὀσφύος οὐκ ἔχων διάδοχον τῆς βασιλείας καταλιπεῖν, ἐκεῖνον ἂν συνεβούλευσα Ῥωμαίοις προστήσασθαι ἑαυτῶν." οὕτω μὲν ὁ βασιλεὺς τῶν μὲν κατέγνω, τοὺς ἑτέρους δὲ ἠξίωσεν ἐπαίνων. αὐτὸς δ' ὅ,τι χρὴ πράττειν ἅμα τῷ νέῳ βασιλεῖ περὶ τοῦ προκειμένου ἐβουλεύοντο πολέμου. ἐξετάζοντες δὲ τὸν λόγον, ὃν πρὸς βασιλέα τὸν νέον ὁ βασιλεὺς Μυσῶν μεμήνυκε Μιχαήλ, (ὡς εἴσω ὀλίγου χρόνου διὰ τὴν ἐσομένην αὐτοῖς φιλίαν συστρατευόμενοι πρὸς τοὺς ἑτέ-

---

[45] Траянопол, град близо до Марица, южно от Фере.

отстъпвам никому в готовността си към дела и в желанието да дам пари, хора и себе си за благото на сънародниците и за честта на нашите императори, и за достойнството на самите нас. И наистина нека се посъветваме помежду си не само за славата, но и за бъдещата ни сигурност и да почнем войната. И да не се покажем по-слаби от предците, благодарение на чиито трудове и рискове се получи така, че те не ни презират. Но да знаем, че много по-страшно е да загубим настоящата слава поради бездействие, отколкото да пострадаме, като я запазим." Това каза великият доместик. А протостраторът след него рече: „Не мислете, че великият доместик единствен е обмислил и посъветвал това, но ние всички сме съгласни с него. И нашите работи не биха се оправили, ако ние не възприемем старанието и смелостта, достойни за славата и на нашите предци, и на нас самите." Всички съмишленици на младия император потвърдиха също то. А привържениците на стария император във Византион смятаха, че казаното не е нужно. И наистина, те открито не се осмелиха да възразят, че това не е полезно, но като говореха непрекъснато и много неща, от това смътно даваха да се разбере, че трябва да се предпочете бездействието, и накрая изразиха несъгласие. Привидно изпадаха в безизходица поради известни затруднения, а в същност имаха пред вид не това, което е за обща полза, но това, което е важно лично за тях. А и императорите, понеже бяха недалеч, чуха казаното вътре. Младият император не каза нищо. А старият император разбра голямото малодушие и нерешителност на съмишлениците си, а се учуди на решителността на съмишлениците на внука си и ги похвали за грижата, която целела общата полза, и най-много похвали великия доместик, който давал много мъдри и навременни съвети, и каза, че вижда в него силно изразени черти на дядо му по майка — може бързо да схване нужното, добре да го обясни и е много способен да го извърши. „Според мен, ако умра, без да оставя пряк наследник на царската власт, бих посъветвал ромеите да го поставят начело." Така императорът укори едни, а други почете и похвали. А сам се посъветва с младия император какво трябва да правят в предстоящата война. Като обсъдиха думите, които царят на мизите Михаил казал на младия император (а именно, че скоро поради бъдещото им приятелство те щели да потеглят заедно на поход срещу неприятелите и щели да се сражават къρωθῆ που μαχοῦνται πολεμίους,) καὶ μηδὲν ἕτερον στοχάζεσθαι δυνάμενοι, ἢ ὅτι Μιχαὴλ τὴν βασιλέως ἀδελφήν, ἣ τῷ προβεβασιλευκότι Μυσῶν συνῴκει, βούλεται γυναῖκα ἀγαγέσθαι, ἐπεψηφίζοντο τὸν μὲν βασιλέα τὸν νέον ἐξελθόντα Βυζαντίου, στρατιὰν συναθροίζειν ὡς ἐς τὴν Μυσίαν ἐσβαλοῦντα. εἰ μὲν οὖν ἐν ταῖς ἡμέραις τῆς παρασκευῆς ὁ τῶν Μυσῶν πρεσβείαν πέμψας βασιλεὺς χωροίη πρὸς σπονδὰς ἐπὶ τῷ τὴν βασιλέως γῆμαι ἀδελφήν, τὴν στρατιὰν πάλιν κατὰ πόλεις διαλυθῆναι· εἰ δὲ μὴ ἐπικηρυκεύοιτο, εἰς τὴν Μυσίαν ἐσβαλεῖν. ἐπὶ τούτοις μὲν οὖν ὁ νέος βασιλεὺς ἐξῆλθε τοῦ Βυζαντίου καὶ συνήθροιζε τὴν στρατιάν.

(I, pp. 175_{10}—187_7)

7. *Gridus et Pantzus, legati regis Bulgarorum ad imperatorem veniunt*

I, 39. Μεταξὺ δὲ συναθροιζομένου, ἐκ Μυσῶν βασιλέως ἀφίκοντο πρὸς βασιλέα τὸν νέον πρέσβεις, ὁ Γρίδος καὶ ὁ Πάντζος, λέγοντες ὡς ὁ βασιλεὺς αὐτῶν βασιλεῦσι Ῥωμαίων ἐθέλων εἶναι φίλος, τὴν βασιλέως ἔγημεν ἀδελφήν, ἣ τῷ πρὸ αὐτοῦ βεβασιλευκότι Μυσῶν συνῴκει, καὶ τὰ νενομισμένα ἐτελέσθησαν ἐπὶ τοῖς γάμοις. προσήκειν οὖν τὰς μὲν διαφορὰς ἁπάσας καὶ προφάσεις τοῦ πολέμου ἐκποδὼν γενέσθαι· αὐτοὺς δὲ εἰρηνικὰς θεμένους σπονδάς, τὸν ἐς ἀεὶ χρόνον ἀναμίγνυσθαι Ῥωμαίους Μυσοῖς καὶ μηδὲν ἀλλήλους ἀδικεῖν, ἀλλ' ὥσπερ ὑπὸ μίαν ἡγεμονίαν πάντας τελεῖν. ἀσμένως δὲ αὐτοὺς δεξάμενος ὁ βασιλεὺς καὶ δώροις ἀμειψάμενος βασιλικῶς, καὶ τὴν γεγενημένην ἐπιγαμίαν κατὰ γνώμην αὐτῷ γεγενῆσθαι εἰπών, εἶτα καὶ αὐτὸς πρὸς τὸν Μυσῶν βασιλέα καὶ κηδεστὴν τὸν Παλαιολόγον Ἀνδρόνικον τὸν μέγαν στρατοπεδάρχην καὶ Ἰωάννην τὸν Ἀπλησφάρην πρέσβεις ἅμα συνεξέπεμψεν αὐτοῖς βεβαιώσοντας τὴν εἰρήνην. καὶ διῆγον ἔνσπονδοι οἱ Ῥωμαῖοι καὶ οἱ Μυσοὶ μέχρι πολλοῦ. τήν τε στρατιὰν ἐκέλευσεν ἐπ' οἴκου ἕκαστον διαλυθῆναι, καὶ τῷ πάππῳ καὶ βασιλεῖ διὰ γραμμάτων τὰ γεγενημένα ἐδήλου. ἀλλὰ ταῦτα μὲν τοῦτον συνηνέχθη τὸν τρόπον. τὸ δὲ ἐξ Ὑπερβορέων Σκυθικὸν πλήθει τε ἀναρίθμητον σχεδὸν ὂν καὶ δυνατώτατον τῶν ἑκασταχοῦ ἐθνῶν, ἐν μὲν τοῖς παλαιοτέροις χρόνοις ἐτησίως εἰς τὴν Ῥωμαίων εἰσβάλλον, τὰ μέγιστα ἐκάκου, τὸ προστυχὸν ἐξανδραποδιζόμενον ἅπαν. συνιδόντες δὲ οἱ βασιλεῖς Ῥωμαίων, ὡς μάχῃ πρὸς αὐτοὺς διαγωνίζεσθαι ἀδύνατοι εἶεν, δώροις καὶ φιλοφροσύναις τοὺς αὐτῶν θεραπεύοντες σατράπας, τὸ μὴ ὑπ' αὐτῶν διαφθείρεσθαι ἐκαρποῦντο.

дето и да е) и като не можаха нищо друго да отгатнат, освен че Михаил желаел да вземе за жена сестрата на императора[46], която била съпруга на царувалия преди това над мизите[47], решиха младият император да напусне Византион и да събере войска, за да нахлуе в Мизия. Ако по времена приготовлението царят на мизите проводи пратеничество и би склонил към преговори, за да се ожени за сестрата на императора, войската отново да се разпусне по градовете. А ако не проводи пратеничество, да нахлуе в Мизия. След това младият император излезе от Византион и събра войската.

7. *Гръд и Панчо, пратеници на българския цар, пристигат при императора*

I, 39. Докато се събираше войската, от царя на мизите пристигнаха при младия император пратениците Гръд и Панчо, които съобщиха, че техният цар, желаейки да бъде приятел на ромейските императори, се оженил за сестрата на императора, която се била омъжила за царувалия преди него над мизите, и извършили определените за брака обреди. Редно било прочее да бъдат премахнати всички различия и поводи за война. А те, като сключели мирните договори, ромеи с мизи завинаги да се сприятелели и да не се обиждат помежду си в нищо, но всички да бъдат като под една власт. Императорът ги прие радостно и ги награди царски с дарове и казваше, че станалото сродяване отговаряло на неговите желания. След това сам изпрати при царя на мизите като пратеници своя сват, великия стратопедарх Андроник Палеолог и Йоан Аплесфар, за да потвърдят мира с тях. И ромеи, и мизи прекараха в мир дълго време. Заповяда войската да се разпръсне, като всеки да се върне в къщи, и извести чрез писмо на дядо си и императора за станалото. Тези неща ставаха така. А скитското племе[48] от Севера, почти неизброимо по брой и най-силно от всички племена, в по-старо време нахлуваше ежегодно в ромейските земя и извършваше най-големи опустошения, оплeнявайки всичко срещнато. Ромейските императори, като видяха, че не са в състояние да се сражават с тях в открит бой, спечелваха техните сатрапи с дарове и с милости, откупваха се, да не бъдат униμάλιστα δὲ αὐτοὺς ἐξημέρου καὶ φιλίως διετίθει πρὸς Ῥωμαίους τὸ ἐκ τῶν βασιλικῶν οἴκων γυναῖκας ἄγεσθαι ἑαυτοῖς· περιμάχητον γὰρ αὐτοῖς τὸ τοιοῦτο διὰ τὸ τὸν βασιλέα Ῥωμαίων Ἀλεξάνδρου τοῦ Μακεδόνων καὶ Περσῶν βασιλέως οἴεσθαι διάδοχον εἶναι. ὃ δὴ καὶ οἱ Ῥωμαίων βασιλεῖς εἰδότες, παρθένους τὴν ὄψιν διαπρεπεῖς, οὐκ εὖ γεγονυίας μόνον, ἀλλὰ καὶ ἐξ ἀσήμων γενῶν ἐν τοῖς βασιλείοις ἐκτρέφοντες, ὡς θυγατέρας ἑαυτῶν, ὁπότε δέοι, τοῖς Σκυθῶν σατράπαις κατηγγύων. καὶ διὰ τοιούτων ἐπινοιῶν καὶ τρόπων θεραπευόμενοι ἐπὶ πολλοῖς ἔτεσιν οὐκ ἐσέβαλον εἰς τὴν Ῥωμαίων. τοῦ δὲ ἔτους, οὗ Μιχαὴλ ὁ Ῥωμαίων βασιλεὺς τῶν Παλαιολόγων ὁ δεύτερος ἐτεθνήκει, τὴν Μυσίαν Σκυθικὴ καταδραμόντες στρατιὰ, μέρος τι αὐτῆς καὶ τὴν Ὀδρυσῶν ἄχρι Ἀδριανουπόλεως ἐπῆλθε καὶ ἐζημίωσεν οὐ πολὺ, ἅτε καὶ τῆς στρατιᾶς εὐαριθμήτου οὔσης. τοῦ δὲ ἐπιόντος ἔτους, τοῦ νέου βασιλέως διὰ τὸν πρὸς τὸν πάππον πόλεμον περὶ Βυζάντιον ἐστρατοπεδευμένου, Σκυθικὴ στρατιὰ οὐκ ὀλίγη ἐς τὴν Ῥωμαίων. ἐσβαλοῦσα, πᾶσαν μὲν ἐπέδραμε τὴν Θρᾴκην, ἐζημίωσε δὲ οὐ πολλὰ διὰ τὸ τοὺς ἄρχοντας τῶν κατὰ Θρᾴκην πόλεων τὴν ἔφοδον προεγνόντας, τοὺς κατὰ τὴν χώραν ἐσκεδασμένους ἀνθρώπους συστεῖλαι εἰς τὰς πόλεις. ἑβδόμης δὲ ἰνδικτιῶνος ἱσταμένης, ἐκ τῶν Σκυθῶν δυοκαίδεκα μυριάδες ἐσέβαλλον εἰς τὴν Ῥωμαίων. ἐστρατήγουν δὲ αὐτῶν μυρίαρχοί τε καὶ χιλίαρχοι κατὰ τὸν ἀριθμὸν, καὶ αὐτοκράτορες στρατηγοὶ δύο, Ταιτὰχ καὶ Τογλοὺ Τοργάν. ἐχρόνισαν μὲν οὖν οἱ Σκύθαι μάλιστα ἐν τῇ ἐσβολῇ ταύτῃ· τεσσαρακοστῇ γὰρ ἡμέρᾳ μετ' αὐτὴν ἐν μέσῃ καθήμενοι τῇ Θρᾴκῃ, αὐτὴν ἐδῄουν· καὶ πλῆθός τε ἀνδραπόδων εἷλον καὶ λείαν ἑτέραν οὐκ ἀριθμητὴν, καὶ τὰ μέγιστα ἐκάκωσαν τὴν βασιλέως γῆν. βασιλεὺς δὲ ὁ νέος τὴν μὲν ὑπὸ Ῥωμαίους ἅπασαν οὐκ ἠδυνήθη συναθροῖσαι στρατιὰν, (διεσκεδασμένοι γὰρ κατὰ πόλεις ἐφύλαττον ἕκαστος τὴν αὐτῶν,) ὅσους δὲ ἐνῆν μάλιστα συναθροίσας, ἀνιχνεύων περιῄει, εἴπου μέρει τινὶ τῆς Σκυθικῆς στρατιᾶς ἐντυχὼν, ὅσον ἂν ἐξῇ ἀμύναιτο αὐτούς. ἐπὶ πεντεκαίδεκα μὲν οὖν ἡμέραις τὸ αὐτὸ ἐποίει συνεχῶς· μηδὲν δὲ ὧν ἠβούλετο ἀνύων, εἰς Ἀδριανούπολιν ἐλθὼν, τὸ μὲν πολὺ κατέλιπεν ἐκεῖ τῆς στρατιᾶς διὰ τὸ τῶν ἐπιτηδείων τὴν πόλιν εὐπορεῖν, αὐτὸς δὲ τῆς στρατιᾶς ὀλίγους ἅμα τῷ μεγάλῳ δομεστίκῳ παραλαβὼν, τὴν ἐς Διδυμότειχον ᾔει. μεταξὺ δὲ τῆς τε Ἀδριανοῦ καὶ αὐτοῦ, ἐν χωρίῳ τινὶ Προμουσούλου προσαγορευομένῳ, στρατιᾷ περιέτυχον Σκυθικῇ, ἀνδράποδά τε καὶ λοιπὴν λείαν

---

[46] Става дума за Теодора, сестра на византийския император Андроник III Палеолог. [47] Става дума за българския цар Тодор Светослав. [48] Скитско племе, т.е. татарите.

щожени от тях. А най-много ги укротяваше и предразполагаше към ромеите с това, че те си взимаха жени от царския двор. Това бе за тях най-желано, понеже смятаха, че ромейският император е наследник на Александър, царя на македонците и персите. И ромейските императори, като знаеха това, отвеждаха в дворците си момичета с хубава външност, не само благородни, но и от незнатен род и когато трябваше, ги омъжваха като свои дъщери за скитските сатрапи. И спечелвани с такива хитрости и по такъв начин, те дълги години не нахлуваха в ромейската земя. А в тази година[49], когато императорът на ромеите Михаил Палеолог II умря, скитска войска, като нападна Мизия, преброди част от нея и земята на одрисите чак до Адрианопол и я опустоши немного, тъй като войската бе малобройна. На следващата година, когато младият император поради войната с дядо си лагерува около Византион, немалка скитска войска нахлу в земята на ромеите и преброди цяла Тракия, но нанесе неголеми вреди поради това, че началниците на тракийските градове узнаха предварително за нападението и събраха в тях пръснатите по полята хора. А в началото на седми индиктион 120 хиляди скити нахлуха в ромейската земя. Водеха ги, според броя, мириарси и хилиарси и стратезите-автократори Таетах и Тоглу Торган[50]. Наистина скитите се задържаха доста при това нападение, защото на четиридесетия ден след него те опустошаваха Тракия, като се разположиха посред нея. И взеха много пленници и всякаква друга неизброима плячка, като опустошиха твърде много земята на императора. А младият император не можа да събере цялата ромейска войска (защото, разпръснати по градовете, всеки пазеше своя град), но събра колкото можа повече и вървеше по петите им, за да може, ако се натъкне на някаква част от скитската войска, да им навреди колкото може. В продължение на петнадесет дни правеше едно и също. И като не постигна нищо от това, което желаеше, пристигна в Адрианопол. Там остави голяма част от войската, понеже градът изобилстваше с всичко необходимо, а сам заедно с великия доместик, като взе малко войска, отиде в Димотика. Между Адрианопол и Димотика в някакво селище, наречено Промусул, срещна скитска войска, която водеше роби и всякаква друга λείαν πολλήν. οὕτω δὲ τοῦ τόπου παρασχόντος, τοῖς μὲν Ῥωμαίοις ἡ τῶν Σκυθῶν στρατιὰ ἦν καταφανής, οὐκέτι δὲ καὶ ἡ Ῥωμαίων αὐτοῖς. βουλευσαμένῳ δὴ τῷ βασιλεῖ ἅμα τῷ μεγάλῳ δομεστίκῳ, ἐδόκει ἐπιχειρεῖν αὐτοῖς, εἰ καὶ τριπλασίους ἢ καὶ πλείους τῶν σφετέρων ἐνομίζοντο στρατιωτῶν· ἦσαν δὲ οὐ τρὶς, ἀλλὰ καὶ δεκάκις τόσοι. ἦσαν γὰρ ἐγγὺς αὐτῶν καὶ ἕτεροι ἐστρατοπεδευμένοι, οὓς ἀφανεῖς ὁ Ἕβρος ἐποίει κειμένους παρ' αὐτῷ, οἳ προσεβοήθουν, γενομένης τῆς συμβολῆς. οὕτω δὲ δόξαν, καὶ τοῖς στρατιώταις τὴν γνώμην ἐκοινοῦντο. ὡς δὲ καὶ αὐτοῖς ἐδόκει μαχητέα εἶναι, καὶ μᾶλλον ἦσαν προθυμότεροι τοῦ βασιλέως, τῶν ἵππων ἀποβάντες καὶ θεὸν ἐπικαλεσάμενοι, τοὺς μὲν ἀδίκως ἐπιστρατεύσαντας κολάσασθαι τῆς ἀδικίας, αὐτοῖς δὲ τιμωρῆσαι δικαίως ἀμυνομένοις, σταυρῷ τε καθοπλίσαντες ἑαυτοὺς, ἔφιπποι γενόμενοι, ἐπῄεσαν τοῖς βαρβάροις ἀτρέπτῳ καὶ παραβόλῳ φρονήματι. καὶ οἱ Σκύθαι ἰδόντες ἀντεπῄεσαν καὶ αὐτοί· προσεβοήθουν δὲ καὶ οἱ ἐγγὺς ἐστρατοπεδευμένοι. καὶ γενομένης μάχης καρτερᾶς, θεοῦ συμμαχοῦντος τοῖς Ῥωμαίοις, ἐτρέψαντό τε τοὺς βαρβάρους καὶ ἐνίκησαν κατὰ κράτος· καὶ τοὺς μὲν ἀπέκτειναν αὐτῶν, τοὺς δὲ λοιποὺς ἀπέπνιξαν εἰς τὸν Ἕβρον ἐμβαλόντες. διεσώθησαν δὲ οὐ πλείους ὀκτὼ καὶ εἴκοσιν αὐτῶν, οἵτινες ἴσχυσαν διανήξασθαι τὸν ποταμόν. οἱ δὲ Ῥωμαῖοι τούς τε νεκροὺς σκυλεύσαντες τῶν πολεμίων, καὶ τὴν ἄλλην διαρπάσαντες ἀποσκευὴν, καὶ τὴν λείαν καὶ τοὺς αἰχμαλώτους λαβόντες, ἧκον εἰς Διδυμότειχον ἅμα τῷ βασιλεῖ. τῶν δὲ διασωθέντων βαρβάρων εἰς τὸ μέγα στρατόπεδον ἐλθόντων, ὡς τοῖς στρατηγοῖς ἠγγέλθη τὸ συμβὰν, στρατιὰν ἐκ τῶν ἀρίστων οὐκ ὀλίγην ἐπιλεξάμενοι, ἀπέστειλαν καθ' ὃν ἡ μάχη τόπον ἐγεγόνει, ὡς ἂν εἰ μὲν ἐντύχοιεν τοῖς νικήσασι Ῥωμαίων, ἀναμαχέσωνται τὴν ἧτταν· εἰ δ' οὖν, ἀλλὰ τούς τε σφετέρους θάψωσι νεκροὺς, καὶ εἴ τινες ἐν αὐτοῖς εὑρεθῶσιν ἐμπνέοντες τραυματίαι, ἀνελόμενοι ἀξιώσωσιν ἐπιμελείας. ἐλθόντες δὲ καὶ ταφῆς ἠξιωκότες τοὺς νεκροὺς, (ζῶντα γὰρ οὐδένα εὗρον,) πρὸς μὲν τὸ στρατόπεδον ὑπέστρεψαν οὐκέτι, τὴν δὲ πρὸς τὰ οἰκεῖα φέρουσαν ἤνυον ὁδόν. ὡς δὲ ἠγγέλθη βασιλεῖ περὶ Μόῤῥαν εἶναι Σκυθικὴν στρατιὰν, Διδυμοτείχου ἐξελθὼν, ἤλαυνεν ὡς εἶχε τάχους ἐπ' αὐτούς. διαβάντων δὲ αὐτῶν τὸν Ἕβρον κατὰ τὴν Τζερνομιάνου λεγομένην πόλιν, ἐπεὶ καὶ ὁ βασιλεὺς κατὰ τὸν αὐτὸν διεβίβασε πόρον ἣν ἦγε στρατιὰν,

---

[49] Става дума за 1322/1323 г. [50] Монголски военачалници. Вж. G. Moravcsik, Byzantinoturcica, II, Berlin, 1958, S. 296, 315.

многобройна плячка. Мястото беше така разположено, че ромеите видяха скитската войска, а те не видяха ромейската. Императорът, като се посъветва с великия доместник, реши да ги нападнат, макар те да бяха три пъти и повече от собствените им войски. А те бяха не три пъти а десетина пъти повече. Защото до тях лагеруваха и други, които императорът не можа да види, понеже Хеброс[51] ги правеше, разположени край него, не забележими, и те се притекоха на помощ, когато започна сражението. Такъв бе планът и решението бе съобщено на войниците. А и те смятаха, че трябва да се сражават и бяха по-жадни за бой от императора. Те слязоха от конете и призовавайки бога, потеглиха да накажат, от една страна, за неправдата тия, които бяха потеглили несправедливо срещу тях, от друга, да отмъстят за себе си, които се защищаваха справедливо. Те се въоръжиха с кръста, възседнаха конете и потеглиха срещу варварите с непоколебим и смел дух. И скитите ги видяха и сами потеглиха срещу тях. Притекоха им се на помощ и близко станувящите. Настана жестока битка и с божия помощ ромеите прогониха варварите и ги победиха напълно. И едни от тях избиха, а останалите паднаха в Хеброс и се издавиха. Спасиха се не повече от 28, които успяха да преплуват реката. А ромеите ограбиха убитите неприятели и като задигнаха и другото им снаряжение, заедно с плячката и пленниците пристигнаха в Димотика ведно с императора. Спасилите се варвари отишли при ядрото на войската и като съобщили за станалото на военачалниците, те събрали голяма войска от най-храбрите и я изпратили на мястото, където стана сражението, та ако срещнат ромеите победители, да започнат отново сражението и да загладят поражението. В противен случай да погребат своите мъртви и ако открият сред тях някои ранени, но живи, да ги вземат със себе си и да се погрижат за тях. Като дошли и погребали мъртвите (защото не намерили нито един жив), те не се върнали в лагера, а поели пътя за дома си. Понеже бе съобщено на императора, че скитска войска се намира около Мора[52], той напусна Димотика и потегли с най-голяма бързина срещу тях. След като те преминали Хеброс при така наречения град Черномен и императорът по същия брод преведе войската, която водеше, а войската, оставена при Адриаἡ κατὰ τὴν Ἀδριανούπολιν καταλειφθεῖσα παρὰ βασιλέως στρατιὰ ἅμα τοῖς σφετέροις ἄρχουσιν ἐνταῦθα προσέμιξαν τῷ βασιλεῖ, συγχαίροντες μὲν αὐτῷ τῆς κατὰ τῶν βαρβάρων νίκης, ἀνιώμενοι δ', ὅτι καὶ αὐτοὶ μὴ παρῆσαν, ἀλλ' ὑστέρησαν τῆς μάχης, καὶ ἐπεδίωκον ἑνωθέντες. γενόμενοι δὲ κατὰ τὸν Τοῦντζαν λεγόμενον ποταμὸν, τὴν μὲν Σκυθικὴν ἄρτι διαβᾶσαν εὗρον στρατιάν. ὥσπερ δὲ καὶ πρότερον, τοῦ τόπου παρασχόντος, αὐτοῖς μὲν ἡ τῶν Σκυθῶν ἑωρᾶτο πᾶσα στρατιὰ, αὐτοὶ δὲ ἀθέατοι ἦσαν, πλὴν ὀλίγῳ ἐλασσόνων τῶν προτάκτων ἑκατὸν, ἐν οἷς καὶ αὐτὸς ἦν βασιλεύς. οὓς ἰδόντες οἱ Σκύθαι, τῆς πορείας μὲν ἔστησαν καὶ αὐτοὶ, οὐ μέντοι καὶ ἐχώρησαν πρὸς μάχην, τοῦτο μὲν, ὅτι καὶ ὁ ποταμὸς πλημμυρῶν ἦν ἤδη ἔαρος ἀρχομένου· τοῦτο δ', ὅτι καὶ τῶν πολεμίων ἀφανῶν ὄντων ἐδεδοίκεσαν τὴν συμπλοκὴν, μὴ οὐκ ἀπαλλάξουσι καλῶς πλειόνων ἢ κατὰ σφᾶς ὄντων. τοῖς Ῥωμαίοις τε ὁμοίως ἀλυσιτελὲς τὸ κατὰ τῶν Σκυθῶν ἐφαίνετο χωρεῖν, οὐ δεκάκις ἀλλὰ περαιτέρω ὑπερέχοντας αὐτῶν τῷ ἀριθμῷ. ὅμως δὲ βασιλεὺς ἅμα τοῖς φαινομένοις Ῥωμαίων καὶ Τασπουγᾶς, εἷς τῶν παρὰ Σκύθαις στρατηγούντων, καὶ αὐτὸς ἅμα τοσούτοις βαρβάροις, ἐν ἑκατέροις μέρεσι γενόμενοι τοῦ ποταμοῦ, διάλογόν τινα ἐποιήσαντο βραχύν. ἐρομένου γὰρ αὐτοὺς οἵτινες εἶεν τοῦ βαρβάρου, διά τινος ἀπεκρίνατο τῶν διγλώσσων ὁ βασιλεὺς, ἄνθρωποι εἶναι καὶ αὐτοὶ θηρεῦσαί τι ζητοῦντες, ὥσπερ καὶ αὐτοὶ ποιοῦσιν. οὐ καλῶς δὲ ἔφασκεν αὐτοὺς ὁ βασιλεὺς, οὐδὲ ἀνδρείων, ἀλλὰ λῃστῶν ἔργον ποιεῖν, ἀκήρυκτοί τε ἐπερχόμενοι καὶ γεωργοὺς ἐξανδραποδιζόμενοι, ἀνθρώπους οὐκ εἰδότας πολεμεῖν. ἔδει γὰρ αὐτοὺς μᾶλλον τὴν ἔφοδον αὐτῶν προκαταγγέλλοντας, στρατιώταις ἐντυγχάνειν εἰθισμένοις πολεμεῖν· κἂν αὐτῶν ἦτε κρείττους, οὐδὲν ἦν θαυμαστὸν, εἰ καὶ τούτους τοὺς ἀπολέμους ἐξηνδραποδίζεσθε ἆθλον τῆς ἀρετῆς. Τασπουγᾶς δὲ οὐδὲν ἔφασκε τούτων εἶναι πρὸς αὐτούς· ὑπ' ἐξουσίαν γὰρ ὄντες, προσταττόμενοι ἐπέρχεσθαι καὶ ἀπιέναι ἢ μένειν. ἠρώτα δὲ, εἰ αὐτοὶ εἶεν οἱ χθὲς καὶ πρώην τῆς Σκυθικῆς στρατιᾶς μάχῃ κρατήσαντες καὶ ἀνελόντες. ὁ βασιλεὺς δὲ μήτ' αὐτοὶ εἶναι, μήτ' ἀκηκοέναι ἔφασκε περὶ τούτων· ἐνδέχεσθαί γε μὴν, ὥσπερ νῦν αὐτοῖς ἂν, εἰ μὴ κώλυμα ἦν ὁ ποταμὸς, συνέβη, ἑτέροις περιτυχόντας τοὺς κρατηθέντας μάχῃ διαφθαρῆναι. οὕτως, εἴρηκεν ὁ βάρβαρος, εἰκός· ἀδικίαν μέντοι τοὺς στρατιώτας ἐκείνους οὐδενὸς φεισαμένους εἰργάσθαι, ἀλλὰ τοὺς μὲν ἀποπνίξαντας ἐν τῷ ῥείθρῳ, τοὺς δὲ κατακοντίσαντας ἀφειδῶς. τοιαῦτα διαλεχθεὶς ἀπῆλθεν, ὅτι Ῥωμαίων εἴη βασιλεὺς ὁ διαλεγόμενος

---

[51] Хеброс, дн. р. Марица. [52] Мора, област по долното течение на р. Арда. Вж. Иречек, пос. съч., стр. 394.

нопол от императора, заедно със своите военачалници се присъедини към него там, като го поздрави за победата срещу варварите. Те съжаляваха, че сами не са се явили, но са закъснели за сражението и всички заедно започнаха преследването. А когато бяха при т. нар. река Тунджа, намериха, че скитската войска току-що я е преминала. Както и по-рано, поради разположението на мястото те виждаха скитската войска, а сами оставаха невидими с изключение на по-малко от сто души, наредени отпред, всред които бе сам императорът. Скитите, като го видяха, спряха да вървят, но не се втурнаха в сражение, от една страна, понеже реката бе пълноводна поради започване на пролетта, а, от друга страна, тъй като неприятелите не се виждаха, те се страхуваха от сблъскването, да не би да отстъпят с позор, ако неприятелите са повече от тях. А и ромеите смятаха, че е безполезно да настъпят срещу скитите, защото онези ги превъзхождаха численo не десеторно, а много повече. Все пак императорът заедно със знатните от ромеите и Таспугас, един от вождовете сред скитите, и той с още толкова варвари, застанали на двата бряга на реката, поведоха кратък разговор. Когато варваринът ги запитал кои са, императорът отговорил чрез един, който знаел двата езика, че са хора и сами търсят да ловуват, както и те правят това. И императорът казал, че вършат нещо, което не е присъщо на храбреци, но на разбойници, защото идвали тайно и поробвали селяните, които не знаели да воюват. Те трябвало предварително да известят за нападението и да се срещнат с войници, свикнали да воюват. И ако ги надвият, не би било чудно като награда за храбростта си да поробят и тия невойнствени хора. А Таспугас казал, че това не се отнасяло до тях, защото те били под чужда власт и им било наредено да нападнат и да се оттеглят или да останат. И той се осведомил дали са същите, които предния и по-предния ден били победили и погубили скитската войска в сражение. Императорът отговорил, че не били те, нито са чули за това. Но това могло да се случи, както сега би станало, ако реката не била попречила да се натъкнат на други и победени в сражение, да бъдат погубени. Това било естествено, казал варваринът. Наистина онези войници постъпили зле, като не пощадили никого, но едни издавили в реката, а други избили безпощадно. Като казал това, той си отишъл, понеже не знаел, че разговаря с ромейския император. А αὐτοῖς ἠγνοηκώς. τὸ δὲ πολὺ τῆς στρατιᾶς ἔτι τῇ Ῥωμαίων ἱκανὰς ἐνδιατρίψαντες ἡμέρας, ἐπανέζευξαν καὶ αὐτοί. φήμη μέντοι τις ᾔρετο διὰ πάντων ὁμαλῶς, ὡς πρότερόν τε βασιλεὺς ὁ πρεσβύτερος ἔχθει τῷ πρὸς τὸν ἔγγονον Σκύθας ἐπάξαι Ῥωμαίοις, καὶ νῦν οὐδὲν ἧττον, κρύφα διαπρεσβευσάμενος πρὸς αὐτούς, βουλόμενος ἀναστῆσαι Θρᾴκην, ὅτι προσέκειτο τῷ νέῳ βασιλεῖ. εἶχε δὲ ὑγιὲς οὐδὲν, ἀλλὰ καίτοι ὑπὸ πολλῶν φημισθεῖσα, τὸ ψεῦδος ἄκρατον εἶχεν. οὔτε γὰρ πρότερον οὔθ' ὕστερον τῆς Σκυθικῆς αἴτιος ἐφόδου ἐγεγόνει.

(I, pp. 187_8—193_{17})

8. *Turci fines imperii Romanorum invadunt. Rex Bulgarorum Michael iuniorem imperatorem visere vult*

I, 42 . . . μετὰ μέντοι τοὺς γάμους ὀλίγον τινὰ χρόνον τῇ Κωνσταντίνου ἐνδιατρίψας ὁ νέος βασιλεύς, τῷ βασιλεῖ συνταξάμενος καὶ πάππῳ, ἅμα τῇ βασιλίδι ἐξῄει Βυζαντίου, ὡς εἰς Διδυμότειχον ἀφιξόμενος. γενομένῳ δὲ ἐν χωρίῳ Μεγάλην προσαγορευομένῳ Καρύαν, κατὰ τὸ τοῦ Λίπηκος λεγόμενον ὄρος, Πέρσας ἠγγέλθη πεζοὺς τὰ ἐκεῖ κατατρέχοντας χωρία δῃοῦν. οἱ μὲν οὖν τῷ βασιλεῖ συνόντες στρατιῶται ἅμα ἕῳ τῆς ὁδοῦ ἐχόμενοι, ὡς εἶχον, ἤνυον αὐτήν· βασιλεὺς δ' ἅμα τῷ μεγάλῳ δομεστίκῳ καί τισιν εὐαριθμήτοις ἑτέροις ὑπελίπετο κατόπιν, θηρεύων ἅμα μεταξὺ τῆς ὁδοιπορίας. ὡς δὲ ἡ ἔφοδος ἠγγέλθη τῶν βαρβάρων, πρὸς μὲν τοὺς στρατιώτας ἔπεμψε τὸν ἐροῦντα ἀναστρέφειν ὡς μαχουμένους τοῖς βαρβάροις. αὐτὸς δ' ἅμα τῷ μεγάλῳ δομεστίκῳ δεῖν ἔγνωσαν μετὰ τῶν συνόντων ἐν οἷς ἐπύθοντο τοὺς Πέρσας εἶναι χωρίοις γενέσθαι, ἑκατέρωθεν λογισάμενοι ἐν τῷ ἀσφαλεῖ ἔσεσθαι, ἐὰν αὐτοὺς συμβῇ τοῖς βαρβάροις συντυχεῖν. ἐάν τε γὰρ εὐεπιχείρητοι φανῶσι, ῥᾷον ἂν κατεργάσεσθαι τὸ ἔργον, ἐάν τε ὑπερέχοντες φαίνωνται πολὺ αὐτῶν ὡς μὴ ἀσφαλὲς εἶναι καθίστασθαι εἰς μάχην, μετὰ ἀδείας ἀπαλλάξεσθαι αὐτῶν ἔφιπποι ὄντες πεζῶν. προπέμψαντες δὲ αὐτῶν τινας ὥστε τὰ ἔμπροσθεν σκοπεῖν, ἐβάδιζον αὐτοὶ κατόπιν ὡπλισμένοι. οἱ βάρβαροι δὲ τὰς μὲν τετριμμένας παντάπασι ἐξέκλιναν ὁδούς· δι' ἀβάτων δὲ χωρίων ἰόντες ὡς ἐπιθησόμενοί τισι τῶν αὐτόθι κατοικούντων, τοὺς μὲν σκοποὺς ἔλαθον παρελθόντας, ἐξαίφνης δὲ μήτ' αὐτοὶ προϊδόντες συνέμιξαν βασιλεῖ. γενομένης δὲ μάχης καρτερᾶς, οἱ μὲν

по-голямата част от войската, като остана известно време в страната на ромеите, и тя се върна обратно. Някаква мълва се разпространи между всички, че по-рано старият император, от омраза към внука си, бил довел скитите срещу ромеите, а сега също така проводил тайно пратеничество при тях и желаел да подчини Тракия, понеже държала страната на младия император. А в мълвата нямаше нищо вярно, но макар разпространявана от мнозина, тя не измами никого. Защото нито по-рано, нито по-късно бе виновен за нахлуване на скитската войска.

8. *Турци нападат Ромейската империя. Българският цар Михаил желае да се срещне с византийския император*

I, 42 - - -[53] Младият император след сватбата, като прекара известно време в Константинопол[54], споразумя се с императора-дядо си, и заедно с императрицата напусна Византион, за да отиде в Димотика. Когато пристигна в едно селище, наречено Велика Кариа[55], до така наречената планина Липек, бе съобщено, че персийска пехота нападала и опустошавала тамошните земи. Придружаващите императора войници тръгнаха веднага на разсъмване и вървяха по пътя. А императорът заедно с великия доместик и неколцина други изостана назад, понеже ловуваше по пътя. Когато узна за нападението на варварите, изпрати да кажат на войниците да се върнат, за да се сражават с варварите. А сам с великия доместик разбра, че трябва заедно с придружаващите го да отидат в селищата, в които разбраха, че са персите. Те смятаха, че ще бъдат в безопасност и в двата случая, ако се случи да се натъкнат на варварите. Защото ако те се окажат лесно уязвими, биха свършили работата по-леко, а ако се окаже, че са много по-силни, би било опасно да влязат в сражение с тях и като конници биха се отървали безнаказано от техните пехотинци. Те проводиха някои от своите напред, за да разузнаят какво става там, сами въоръжени вървяха зад тях. А варварите изобщо се били отклонили от обичайния път. Те вървели през непроходими места, за да нападат някои от тамошните обитатели, и останали скрити за съгледвачите, които ги бяха изпреварили. И без сами да разберат, те βάρβαροι μαχόμενοι παραβόλως, ἔπεσον πάντες, οἱ βασιλικοὶ δὲ αὐτοὶ καὶ οἱ ἵπποι πλὴν ὀλίγων ἐτραυματίσθησαν πάντες, ἀπέθανε δὲ οὐδείς· ἵππους δὲ ἀπέβαλον πολλούς. ἐτρώθη δὲ καὶ ὁ βασιλεὺς τὸν πόδα οἰστῷ, ὅ,τε ἵππος αὐτοῦ πληγεὶς ἑπτάκις, μετὰ μικρὸν ἀπέθανε τῆς μάχης. ὁ δὲ μέγας δομέστικος ὀλίγου ἐδέησε μαχόμενος πεσεῖν. περισχόντες γὰρ αὐτὸν πολλοὶ τῶν βαρβάρων, τὸν μὲν ἵππον κατετραυμάτισαν ἐπὶ τοσοῦτον, ὡς μηκέτι δύνασθαι κινεῖσθαι· αὐτὸν δὲ οἰστοῖς τε καὶ κοντοῖς καὶ λίθοις ἔπληξαν πολλάκις. οὐδὲν δὲ αὐτῶν ἠδυνήθη καθικέσθαι, τῶν ὅπλων ἀντισχόντων, καίτοι γε τῶν μηρῶν καὶ βραχιόνων ὄντων γυμνῶν· τόν τε παρὰ τὴν ζώνην ἀκινάκην ἥρπασαν αὐτοῦ, καὶ τὰ τῶν ἱματίων ἄκρα διέῤῥηξαν τοῖς ἑλκυσμοῖς, αὐτὸς δὲ παραδόξως ἀμυνόμενος διεσώθη, μηδὲ τραυματισθείς. μετά τε τὴν νίκην πολλοὺς ἔλεγεν ἀγῶνας καὶ μεγάλους ἐκ παιδικῆς ἡλικίας διηνυκέναι, οὐδὲ ἅπαξ δὲ ἐν χρῷ κινδύνου παρὰ τοσοῦτον γεγενῆσθαι. οὕτω μὲν οὖν οἱ βάρβαροι πάντες ἔπεσον παρὰ τὴν μάχην. ὁ βασιλεὺς δὲ εἰς Διδυμότειχον ἐλθών, πονήρως ἀπὸ τοῦ τραύματος ἐπὶ πολὺν διετέθη χρόνον. περὶ δὲ συγκομιδὴν τοῦ σίτου μάλιστα τοῦ αὐτοῦ ἔτους ὁ τῶν Μυσῶν βασιλεὺς Μιχαὴλ τῷ νέῳ βασιλεῖ Ἀνδρονίκῳ ἠθέλησε συγγενέσθαι. τῷ δὲ τοῦτο μὲν οὐκ ἦν καθ' ἡδονὴν διὰ τὸ τὸν πόδα ἔτι ἀπὸ τοῦ τραύματος ἀλγεῖν, ὅμως μέντοι τῷ βασιλεῖ καὶ πάππῳ τὰ τοῦ πράγματος ἀναθείς, ἐπεὶ ἐπέτρεπεν ἐκεῖνος, εἰς Τζερνομιάνους ἅμα γυναικὶ ἐλθόντι τῷ Μιχαήλ, συνεγένετό τε καὶ συνδιέτριψεν αὐτοῖς ὁ βασιλεὺς ἐφ' ἡμέραις ὀκτώ· συνησθέντες δὲ ἀλλήλοις οἱ βασιλεῖς, μετὰ τοῦτο διελύθησαν ἑκάτερος ἐπ' οἴκου. εἰς Διδυμότειχον δὲ Ἀνδρόνικος ὁ βασιλεὺς ἐλθών, παρὰ τῶν ἐν Βυζαντίῳ φίλων εὗρεν ἄγγελον ἀφιγμένον, ὅτι βασιλεὺς ὁ πρεσβύτερος ἀπό τινων τεκμηρίων καὶ λόγων εὔδηλός ἐστι πολεμησείων, ἀπαγγέλλοντα πρὸς αὐτόν. ὅπερ ἀκούσας ὁ βασιλεύς, ἐξεπέπληκτο μὲν εὐθὺς τὴν ἀτοπίαν τῆς ἀγγελίας, ἠπίστησε δὲ ὅμως. τοῖς δὲ φίλοις ἐκέλευεν ἀπαγγέλλειν, ὡς αὐτὸς μὲν πολλὴν ἂν αὐτοῖς τῆς εἰς αὐτὸν εὐνοίας εἰδείη χάριν, διὰ δὲ τὸ σφόδρα μὴ βούλεσθαι τὰ τοιαῦτα τοῖς λεγομένοις ἀπιστεῖν· δέον δὲ αὐτοὺς πάνυ φιλοῦντας ἀκριβεστάτῃ βασάνῳ τὸ πρᾶγμα δοῦναι, καὶ ὅ,τι ἂν φανῇ σαφὲς ἀπαγγέλλειν. τοῖς μὲν οὖν ἐν Βυζαντίῳ φίλοις ὁ βασιλεὺς ἐπέσκηπτε τοιαῦτα. ἅμα δὲ δομεστίκῳ τῷ μεγάλῳ καὶ πρωτοστράτορι συνελθόντες, ἀνηρεύνων, εἴ τι συνειδεῖεν ἑαυτοῖς ἄξιον πολέμου εἰργασμένοις, ὃ καὶ τὸν βασιλέα τὴν εἰρήνην ἂν πείσειε καταλῦσαι· πολλά τε καὶ πολλάκις τὸν ἄχρι τότε χρόνον

---

[53] В непреведения пасаж се говори за сватбата между Андроник III Палеолог и Ана Савойска.
[54] Константинопол, сиреч Цариград. [55] Велика Кариа, село в Източна Тракия.

се натъкнаха на императора. Настана жестока битка и варварите, сражавайки се смело, всички загинаха. А императорските хора и конете, освен няколко, всички бяха ранени, но нито един не загина. Те загубиха много коне. И императорът бе ранен в крака от стрела, а конят му, улучен седем пъти, след малко умря в сражението. А великият доместик за малко не загина в сражението. Защото много варвари го бяха заобиколили и нараниха коня му до такава степен, че не можеше да се движи. Често го удряха със стрели и с копия и с камъни. Но нищо не можа да го улучи, понеже оръжието му противодействуваше, макар че бедрата и раменете му бяха открити. Грабнаха меча от пояса му и с дърпания разкъсаха краищата на дрехите му. Сам той, защищавайки се, се спаси по чудо, дори без да бъде ранен. След победата казваше, че от детинство е завършгал много и големи битки, но нито веднъж не бил толкова близко до опасността. Така всички варвари паднаха в сражението. А императорът пристигна в Димотика и дълго време се намираше в тежко положение от раната. По време на прибиране на храните през същата година царят на мизите Михаил пожела да се срещне с младия император Андроник. На последния не му бе приятно поради болката в крака от раната, но все пак осведоми дядо си — императора, за същността на работата. Понеже той не се съгласи, императорът в продължение на осем дни прекара с Михаил, който дойде с жена си в Черномен. А императорите се повеселиха помежду си и след това всеки се върна в страната си. Императорът Андроник пристигна в Димотика и намери дошъл вестител от страна на приятелите си във Византион, който му съобщи, че от някои признаци и слухове е съвсем очевидно, че старият император желае война. Императорът, като чу това, веднага остана изненадан от странното известие, но същевременно не вярваше. Заповяда да съобщят на приятелите му, че той им благодари много за благосклонността към него, но не вярва на казаното, понеже никак не желаел това. А трябвало те като истински приятели старателно да проучат и да съобщават това, което е очевидно. Императорът това възложи на приятелите си във Византион. Като се събраха след това заедно с великия доместик и протостратора, те обсъдиха дали не са извършили нещо, което да е достатъчен повод за война и което би накарало императора да наруши мира. Като изследваха много и често вре-

ἐξετάσαντες ἀπὸ τῶν σπονδῶν, τῷ βασιλεῖ μὴ οὔτ' ἐκ προφανοῦς, οὔτ' ἐξ ἀδήλου προφάσεως εὕρισκον προσκεκρουκέναι. ᾠήθησαν δὲ ὅμως ἀπὸ τοιαύτης αἰτίας ἐνδέχεσθαι πρόφασιν τὸν πόλεμον ἂν σχεῖν.

I, 43. *Τῷ πρώτῳ βεβασιλευκότι Ῥωμαίων Παλαιολόγῳ τῷ Μιχαὴλ ἄῤῥενες τρεῖς γεγέννηνται παῖδες, οὗτός τε ὁ μετ' αὐτὸν βεβασιλευκὼς Ἀνδρόνικος καὶ Κωνσταντῖνος ὁ ἐν τῇ πορφύρᾳ τεχθεὶς καὶ Θεόδωρος τρίτος, καὶ θυγατέρες τοσαῦται. τοῖς μὲν οὖν ἄλλοις ἄλλοι γεγέννηνται παῖδες, καθάπερ ἐν ἀρχῇ τῆς ἱστορίας ἐδήλωσε φθάσας ὁ λόγος, τῷ πορφυρογεννήτῳ δὲ Κωνσταντίνῳ ὁ Παλαιολόγος Ἰωάννης μονογενὴς γεγέννηται παῖς· ᾧ Μετοχίτης ὁ μέγας λογοθέτης ἐξέδωκε τὴν θυγατέρα Εἰρήνην πρὸς γάμον, τῇ τοῦ πανυπερσεβάστου πρὸς τοῦ θείου καὶ βασιλέως ἀξίᾳ τετιμημένῳ. οὗτος δὴ ὁ πανυπερσέβαστος οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ τρὶς Θεσσαλονίκης τε καὶ τῶν ἄλλων ἑσπερίων πόλεων ἐπιτροπεύσας, τά τε ἄλλα διῴκει ᾗ αὐτῷ ἐδόκει ἄριστα εἶναι, καὶ τῷ τῶν Τριβαλῶν ἄρχοντι Στεφάνῳ τῷ Κράλῃ Μαρίαν τὴν αὐτοῦ κατηγγύησε θυγατέρα. οὗ δὴ γενομένου, νοῦν ἔσχε τῷ τῶν Τριβαλῶν ἄρχοντι προσχωρῆσαι ὄντι κηδεστῇ, ὡς ἂν τῇ ἐκείνου δυνάμει χρώμενος συμμαχοῦντος, ὧν ἐπετρόπευε πόλεων ὅσας ἂν οἷόν τε ᾖ φρουραῖς κατασχὼν καὶ ἰδιοποιησάμενος, ἰδίαν ἑαυτῷ καταστήσῃ δυναστείαν, ἀποστήσας βασιλέως. ὁ μὲν οὖν τοιαῦτά τε διενοεῖτο καὶ εἰς ἔργον ἐξῆγε, καὶ πανοικεσίᾳ μὲν ἐχώρησε πρὸς Τριβαλούς, καταπράξασθαι δὲ ἴσχυσεν ὧν ἤλπισεν οὐδέν. αἱ γὰρ ὑπ' αὐτὸν πᾶσαι πόλεις τὴν ἀποστασίαν συνεῖσαι, οἷα δὴ ἐχρῶντο πολεμίῳ. ἐκ τῆς τοιαύτης δὴ αἰτίας ταραχῆς οὐ φαύλης τινὸς αἱ κατὰ τὴν ἑσπέραν ἐνεπλήσθησαν πόλεις. ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τῶν τοῦ μεγάλου λογοθέτου υἱῶν Δημήτριος μὲν ὁ Ἄγγελος Στρουμβίτζης ἐπίτροπος ἦν,* ***Μιχαὴλ δὲ ὁ Λάσκαρις, Μελενίκου, πόλεων Μακεδονικῶν.***

(I, pp. 208_{24}—210_1)

мето от сключване на мира до този ден, те откриха, че нито явно, нито тайно са сбъркали нещо по отношение на императора. Все пак смятаха, че такава причина не може да даде повод за война.

I, 43. Михаил, първият Палеолог, който царувал у ромеите, имал трима сина, единият Андроник, който царува след него, Константин Порфирогенит и третият Теодор и толкова дъщери. На тях се родиха други деца, както вече успяхме да кажем в началото на разказа, а именно, на Константин Порфирогенит един единствен син, Йоан Палеолог. Нему, който бе удостоен с титлата паниперсеваст[56] от чичо си императора, великият логотет[57] Метохит даде дъщеря си Ирина за жена. Този паниперсеваст не веднъж, но многократно беше управлявал Солун и другите западни градове, а и други длъжности изпълняваше, както му се струвало, че е най-добре. Той сгоди дъщеря си Мария за владетеля на трибалите крал Стефан[58]. След това намисли да мине на страната на владетеля на трибалите, който му бе зет, та като си послужи с войската му като на съюзник и присвоявайки си колкото може от градовете, които управляваше, да си създаде собствено владение, като се отцепи от императора. На истина той замисли това и се залови за работа. С цялата си фамилия отиде при трибалите, но не можа да осъществи нищо от това, на което се надяваше. Защото всички градове, които се намираха под властта му, като разбраха за отцепването му, го сметнаха за неприятел. Поради тази причина истински смут изпълни градовете на Запад. А по същото време Димитър Ангел, един от синовете на великия логотет, бе управител на Струмица, а Михаил Ласкарис на Мелник, македонски градове.

9. Chreles in exercitu imperatoris Ioannis Palaeologi militat

9. Хрельо воюва на страната на византийския император Йоан Палеолог

I, 52. *Ἐπεὶ δὲ συνήθροιστο ἡ στρατιά, τὸν μὲν πρωτοστράτορα βασιλεὺς τῆς Θρᾴκης ἀπέδειξεν ἐπίτροπον πάσης, καταλιπὼν αὐτῷ καὶ μέρος τῆς στρατιᾶς, ὥστε δύνασθαι πρὸς τοὺς ἐκ Βυζαντίου ἀντέχειν· αὐτὸς δὲ ἅμα τῷ μεγάλῳ δομεστίκῳ τὴν ἐπίλοιπον παραλαβών, πρὸς Μακεδονίαν ἐχώρει, ὡς ἐκεῖ μαχούμενος τοῖς ἐκ τῆς ἑσπέρας τοῦ πρεσβυτέρου βασιλέως*

I, 52. Когато войската бе събрана, императорът[59] назначи протостратора[60] за управител на цяла Тракия, като му остави и част от войската, за да може да се противопостави на тези от Византион. Сам с великия доместик, като взе останалата войска, се отправи към Македония, за да се сражава там със западните военачалници στρατηγοῖς. ἐπύθετο γάρ, αὐτοὺς ἐκ τῶν ἑσπερίων πόλεων στρατιὰν οὐκ εὐκαταφρόνητον συνηθροικότας, ἅμα δὲ καὶ Τριβαλῶν οὐκ ὀλίγην συμμαχίαν ἐπαγομένους, χωρεῖν κατ' αὐτοῦ. βασιλίδα δὲ τὴν αὐτοῦ γαμετὴν ἐν Διδυμοτείχῳ καταλέλοιπεν ἅμα τῇ αὐτοῦ θείᾳ Θεοδώρᾳ τῇ Καντακουζηνῇ τῇ τοῦ μεγάλου δομεστίκου μητρί. γενόμενος δὲ ἐν Γρατζιάνου πόλει περὶ ἐκβολὰς τῆς Θρᾴκης κειμένῃ, Ξένην αὐτοῦ μητέρα τὴν βασιλίδα τὴν ἐκ Βυζαντίου ἐπάνοδον αὐτοῦ περιμένουσαν εὗρεν. αὕτη γὰρ ἔτι τῶν πρὸς ἀλλήλους τοῖς βασιλεῦσι σπονδῶν οὐσῶν, πρὸς βασιλέως ᾐτήσατο τοῦ κηδεστοῦ πρὸς Θεσσαλονίκην ἐν ᾧ φροντιστηρίῳ τὸ μοναχικὸν ἠμφιάσατο σχῆμα πάλιν ἐπανελθεῖν· καὶ ἐπετράπη. ὡς δὲ μεταξὺ τῆς ὁδοῦ ὁ πρὸς ἀλλήλους τῶν βασιλέων πόλεμος ἀνεῤῥιπίσθη, ἔμεινεν ἐν Γρατζιάνου, δείσασα τὴν ἀταξίαν τῶν ἑσπερίων. ὡς γὰρ ἠγγέλθη αὐτοῖς, ὅτι διελέλυντο αἱ σπονδαί, τοὺς τῷ νέῳ βασιλεῖ προσκειμένους εἶρξάν τε πάντας καὶ εἶχον ἐν φρουρᾷ. ἡμέρας δὲ ὀλίγας ἅμα τῇ μητρὶ διατρίψας αὐτοῦ, ἐπεὶ ἡ ἐκ τῆς ἑσπέρας στρατιὰ ἠγγέλθη περὶ Δράμαν καὶ τὴν Φιλίππου, πόλεις Μακεδονικάς, ἐστρατοπεδευκέναι, θεῷ καὶ τῇ πανάγνῳ αὐτοῦ μητρὶ εὐξάμενος καὶ θυσίαν αἰνέσεως αὐτοῖς θύσας, τοὺς ἐπὶ ταῖς σπονδαῖς γεγενημένους τοῦ πρεσβυτέρου βασιλέως ὅρκους, οὓς αὐτὸς ᾤετο εὐορκεῖν, ἐκέλευσεν ἐπὶ τῆς σημαίας ἀναθέντας, εὐθὺ χωρεῖν τῶν πολεμίων. ἐστρατήγουν δὲ αὐτῶν ὅ, τε τοῦ πρεσβυτέρου βασιλέως ἀνεψιὸς Ἀσάνης Μιχαὴλ καὶ ὁ ὕπαρχος Μονομάχος καὶ ὁ πρωτοβεστιάριος Παλαιολόγος Ἀνδρόνικος, καὶ ἐπὶ τούτοις Δημήτριος ὁ δεσπότης ὁ τοῦ βασιλέως υἱός. τοῦ δὲ ἐκ τῶν Τριβαλῶν συμμαχικοῦ, δυοκαίδεκα ταγμάτων ὄντων, ὁ Χρέλης ἐστρατήγει, τῶν τε παρὰ Τριβαλοῖς εὐπατριδῶν καὶ ἀνδρίας καὶ ἐμπειρίας στρατηγικῆς τὰ πρῶτα φέρων παρ' αὐτοῖς. ἅμα δὲ τῷ ἅψασθαι τῆς ἐπ' ἐκείνους ὁδοῦ ὁ βασιλεὺς πρόσταγμα πέπομφε πρὸς αὐτούς, περιέχον τοιαῦτα· „θεῖέ μου δεσπότη καὶ ὑμεῖς θεῖοί μου καὶ οἱ λοιποὶ ἄρχοντες τῆς στρατιᾶς. ὁποίαν τινὰ εὐπείθειαν καὶ αἰδῶ καὶ φιλίαν πρὸς τὸν ἐμὸν πάππον καὶ βασιλέα ἐν παντὶ τῷ παρασχόντι ἐπεδεικνύμην, ὅπως τε οὐδεμίαν αὐτῷ παρέσχον ἀφορμὴν πολέμου, ἀλλὰ μᾶλλον πᾶσαν ἐπίνοιαν ἐκίνησα καὶ μηχανήν, ὥστε μηδὲ τὴν ἀρχὴν κινηθῆναι τὸν πόλεμον τουτονί, θεός τι οἶδεν ὁ πάντα εἰδὼς καὶ

---

[56] Паниперсеваст, дворцова титла, разновидност на севаст. Вж. J. Bréhier, Les institutions de l'Empire byzantin, Paris, 1948, p. 138 sq. [57] Велик логотет, една от висшите длъжности във Византия. От XII в. нататък бил върховен надзорник на цивилните ведомства в империята. Вж. Bréhier, op. cit., p. 127, 141, 254, 255, 257—258. — Срв. също Острогорски, пос. съч., с. 347. [58] Сръбският крал Стефан Урош III Дечански (1321—1331). [59] Византийският император Андроник III Палеолог. [60] Вж. бел. 18.

на стария император. Защото узна, че те настъпват срещу него, като бяха събрали немалка войска от западните градове, а същевременно водеха немалка съюзна войска от трибали[61]. Той остави в Димотика съпругата си — императрица, заедно с леля си Теодора Кантакузина, майка на великия доместик. А когато пристигна в Грацианопол[62], разположен в окрайнините на Тракия, намери майка си Ксения — императрицата, която чакаше завръщането му от Византион. Защото още когато имаше мир между императорите, тя бе помолила свекъра-император да ѝ разреши да се върне отново в Солун в манастира, в който беше облякла монашеското облекло. Тя получи разрешение. Докато потегли, войната между императорите избухна и тя остана в Грацианопол, като се страхуваше от безредието в западните области. Щом им бе съобщено, че мирът е нарушен, съмишлениците на младия император бяха хванати и хвърлени в затвора. Той прекара няколко дни с майка си, когато бе съобщено, че войската от Запад се е разположила на лагер около Драма и Филипи[63], македонски градове. Той въздаде молитви богу и на неговата пресвета майка и като отслужи благодарствена служба в тяхна чест, заповяда да окачат на знамето клетвите на стария император, дадени при сключване на мира, които смяташе сам да спазва, и да потеглят срещу неприянелите. Началници им бяха племенникът на стария император Михаил Асен, хипархът[64] Мономах и протовестиарият[65] Андроник Палеолог, а освен тях деспотът Димитър, син на императора. А Хрельо[66] командуваше съюзната войска от трибали, наброяваща 12 тагми, който по храброст и военен опит превъзхождаше всички измежду останалите знатни трибали. Заедно със започването на похода срещу тях императорът им прати разпореждане със следното съдържание: „Чичо мой деспоте и вие мои сънародници и всички останали военачалници. Каква благосклонност, уважение и обич проявих при всеки случай към моя дядо-император, как не му дадох никакъв повод за война, но по-скоро премахнах всякакво подозрение и машинация, така че да не възникне сегашната война, това всевидещият бог знае, αὐτὸς σύνοιδα ἐμαυτῷ. βασιλέα μὲν οὖν πεῖσαι ταῖς συνθήκαις ἐμμένειν οὐκ ἠδυνήθην, πολλὰ δεηθεὶς, ταῖς ἐπαγγελίαις πεποιθότα, ἃς αὐτῷ ἐπηγγείλασθε ὑμεῖς κατ' ἐμοῦ. πυθόμενος δὲ, καὶ ὑμᾶς τὰ κατὰ τὴν ἑσπέραν ὡς ἂν ὑμῖν ἄριστα εἶχεν οἰκονομησαμένους, νῦν ἥκειν ἄχρι Δράμας καὶ τῆς Φιλίππου, ὅπερ ἔστιν ὑπενόησα, ἐμὲ ζητοῦντας ἄχρι τούτου ἐλθεῖν. ἐπεὶ δὲ νεώτερος ὑμῶν ἐγὼ τὴν ἡλικίαν οὐ δέον ἐλογισάμην αἴτιος ὑμῖν πλειόνων γενέσθαι πόνων, ἐπὶ τῆς Θρᾴκης μένων, ἐπὶ τῆς σημαίας τῆς ἐμῆς τοὺς τοῦ βασιλέως ὅρκους ἀναθεὶς, οὓς ἐπὶ ταῖς συνθήκαις ὀμώμοκεν ἐμοὶ, τῆς πρὸς ὑμᾶς φερούσης ἡψάμην, ὡς ὅπου περ ἂν ἐντύχω μαχούμενος ὑμῖν· ὃ δὴ καὶ ὑμεῖς εἰδότες ἤδη, παρασκευάσασθε πρὸς μάχην." τοιαῦτα μὲν ἐδήλου τὰ γράμματα· οἱ δ' ἐπεὶ ἔγνωσαν ἀδύνατοι εἶναι ἀντιπαρατάξασθαι πρὸς μάχην, ἐπύθοντο δὲ, μέχρι Ξανθείας βασιλέα ἐφθακέναι, οὐκ ἐδόκει λυσιτελεῖν ἐπὶ τῆς αὐτῆς μένειν στρατοπεδείας, ἀλλ' ἄραντες ἐκεῖθεν, ἦλθον εἰς Φερὰς, ἅμα μὲν καὶ διὰ τὸ τὴν πόλιν ὀχυρὰν εἶναι καρτερωτάτων τειχῶν περιβολαῖς καὶ ἀφθονίαν τῶν ἐπιτηδείων δυναμένην χορηγεῖν τῇ στρατιᾷ τοσαύτῃ οὔσῃ, ἅμα δὲ ἐλπίσαντες, καὶ βασιλέα, ἂν αὐτοὺς πύθηται ὥσπερ στρατοπέδῳ τῇ Φεραίων χρωμένους καὶ ἀφθονίαν ἔχοντας σίτου, ὥσπερ ἀποδειλιάσαντα τὸ ἐξ ὀχυροῦ αὐτοὺς ὁρμᾶσθαι στρατοπέδου, πρὸς Χριστούπολιν μενεῖν. βασιλεὺς δὲ ὡς ἐγένετο ἐν Χριστουπόλει, ἐπεὶ ἐπύθετο αὐτοὺς ἀφιγμένους εἰς Φερὰς, ᾔει καὶ αὐτὸς αὐτῶν κατόπιν καὶ ἐστρατοπέδευσεν ἐν πολιχνίῳ τινὶ Ζίχνα προσαγορευομένῳ, ἐγγὺς Φερῶν. οἱ δὲ Ζίχνιοι καὶ πρότερον μὲν ἀφεστηκότες ἤδη ταῖς γνώμαις πρὸς βασιλέα τὸν νέον, Ἀλεξίου Τζαμπλάκωνος τοῦ μεγάλου παπίου ἐνάγοντος πρὸς τοῦτο, ἐκ Χριστουπόλεως κρύφα πρὸς αὐτὸν διαλεγομένου, τότε δὲ οὐκ ἐν ἐλπίσιν, ἀλλ' ἐν βεβαίῳ ἤδη τὴν βοήθειαν ὁρῶντες, ἀπέστησαν ἀναφανδὸν, καὶ βασιλεῖ προσεχώρησαν τῷ νέῳ καὶ τὸ πόλισμα ἐνεχείρισαν. στρατοπεδεύσας δὲ ὁ βασιλεὺς ἐν Ζίχνᾳ ἡμέρας δύο, ὡς ἂν ἔκ τε τῶν τῆς ὁδοιπορίας πόνων καὶ τῶν ὑετῶν καὶ τῶν χειμώνων ἡ στρατιὰ ἀνακτήσηται ἑαυτήν· (ἦν γὰρ δὴ κατὰ μῆνα Ἰανουάριον ἡ τοῦ χειμῶνος ὥρα·) τῇ τρίτῃ ἅμα ἕῳ ὁπλίζεσθαι τὴν στρατιὰν τῇ σάλπιγγι ἐκέλευσε σημῆναι. ἐπεὶ δὲ περιέθεντο τὰ ὅπλα, ταξάμενοι ὡς ἐς μάχην, ᾔεσαν εὐκόσμως ἅμα καὶ μετὰ σιγῆς. ὡς δὲ ἐγένοντο ἐγγὺς Φερῶν, διαβάντες ποτάμιόν τι λεγόμενον Λιβοβιστὸν, ἔστησαν παρατεταγμένοι ὡς τοῖς ἐναντίοις συμβαλοῦντες. καὶ

---

[61] Навсякъде в своята История Кантакузин назовава сърбите „трибали". [62] Грацианопол, град в Тракийския Халкидик. [63] Филипи, развалини между Драма и Кавала. [64] Хипарх, лице, което се грижело за снабдяване на войската с всичко необходимо по време на поход. [65] Протовестиарият бил началник на императорския гардероб. Вж. Bréhier, op. cit., p. 130—131. [66] Хрельо бил сръбски феодален владетел от първата половина на XIV в., чиито владения обхващали земите по левия бряг на р. Вардар с главни градове Щип и Струмица. Вж. подробно за него у М. Динић, Реља Охмућевић, Зборник радова византолошког института, књ. 9, Београд, 1966, с. 95—118.

знам го и аз в себе си. Не бях в състояние да убедя императора да остане верен на споразумението, въпреки че много го молих, понеже повярвал на обещанията, които му дадохте срещу мене. А като научих, че вие, след като сте уредили работите на Запад, както за вас е най-добре, сте дошли до Драма и Филипи, аз предположих, което е вярно, че вие сте дошли дотук, за да ме търсите. Понеже по възраст съм по-млад от вас, сметнах, че не трябва да ви причинявам по-големи мъчнотии, като остана в Тракия. Като закачих върху знамето си императорските клетви, които той ми даде при сключването на договора, поех пътя към вас, за да се сражавам с вас, където се случи. А и вие, които знаете това, пригответе се за сражение." Това съобщаваше императорът с писмото. А те, като узнаха, че не са в състояние да се противопоставят в сражение, а се научиха, че императорът е дошъл до Ксанти, решиха, че не е изгодно да останат на същия лагер, но се вдигнаха оттам и дойдоха до Фере[67] било защото градът бе защитен с твърде здрави стени и можеше да достави в изобилие всичко необходимо на толкова голяма войска, било защото се надяваха, че императорът, като узнае, че те са на лагер при Фере и имат в изобилие храни, ще се уплаши те да не излязат от укрепения лагер, и ще остане в Христопол[68]. А императорът, като пристигна в Христопол и научи, че те са дошли във Фере, сам потегли след тях и се разположи на лагер в някакво градче, наречено Зихна[69], близо до Фере. Жителите на Зихна и по-рано бяха благоразположени към младия император, понеже великият папий[70] Алексий Цамблак, който от Христопол тайно разговарял с него, ги подтикваше към това. И тогава, понеже те не само се надяваха на помощта, но я виждаха вече сигурно, отметнаха се открито и минаваха на страната на младия император, като му предадоха градчето. Императорът остана на лагер в Зихна два дни, за да може войската да се съвземе от тежкия път, дъждовете и студовете (бе зимно време, месец януари). На третия ден на разсъмване той заповяда да се даде сигнал войската да се въоръжава. А като се въоръжиха, те се наредиха като за бой и тръгнаха в строй вкупом и мълчаливо. Когато наближиха до Фере, преминаха една рекичка, наречена Ливовища[71], и застанаха наредени като че ще влязат в бой с неприятелите. И те прекараха деня διημερεύσαντες ἐκεῖ, ἐπεὶ οὐδεὶς αὐτοῖς ἀντεπεξῆλθεν, ἐστρατοπεδεύσαντό τε καὶ διενυκτέρευσαν ἐκεῖ. οἱ δὲ τῆς ἑσπερίου στρατιᾶς ἡγεμόνες ἐκκλησιάσαντες τῆς αὐτῆς νυκτὸς ἅμα Χρέλῃ, τῷ τῶν συμμάχων Τριβαλῶν στρατηγῷ, ἐβουλεύοντο, εἰ δέοι μάχεσθαι βασιλεῖ· καὶ ἔδοξεν ἀλυσιτελὲς καὶ Ῥωμαίοις καὶ τοῖς συμμάχοις. ἡ γὰρ εὐταξία καὶ ἡ σιωπὴ καὶ ἡ καρτερία τῆς βασιλέως στρατιᾶς δέος αὐτοῖς οὐ μετρίως ἐνεποίει, ὡς οὐκ ἂν αὐτοῖς οὕτως ὁρμὴ παρέστη δαιμονία πλείοσί τε μάχεσθαι ἑαυτῶν καὶ παρὰ πόλει τῇ σφετέρᾳ στρατοπεδευομένοις, εἰ μὴ πρότερον οὕτω παρεσκεύασαν ἑαυτούς, ὡς ἢ νικήσοντες μαχόμενοι ἢ πεσούμενοι παρὰ τὴν μάχην. ἔδοξε δὲ αὐτοῖς λυσιτελεῖν, τειχήρη κατέχοντας τὴν στρατιάν, φρουρεῖν τὴν πόλιν καὶ ὑπομένειν τὴν πολιορκίαν, ὡς τοῦ βασιλέως οὐ περιμενοῦντος ἐνταυθοῖ, ἀλλ' ἐπαναστρέψοντος ταχέως. ἅμα δὲ ἕῳ εἰς τὴν ὑστεραίαν ὁ βασιλεὺς τὴν στρατιὰν ὡπλισμένην παρατάξας ὡς ἐς μάχην, ἄχρι μεσημβρίας ἔμεινε πρὸ τῶν τειχῶν, ἐλπίζων ἐς μάχην προκαλέσασθαι τοὺς ἔνδον. ὡς δὲ οὐδεὶς αὐτοῖς ἀντεπεξίοι, τὸν Λουκᾶν Γεώργιον πέπομφε πρὸς αὐτοὺς ὁ βασιλεύς, ἐκ τῶν οἰκετῶν μὲν ὄντα τῶν αὐτοῦ, συνετὸν δὲ ἄλλως καὶ πρὸς πρεσβείας ἔχοντα ἐπιτηδείως. ὃν γενόμενον πρὸς ταῖς πύλαις οἱ μὲν δεῖν ἔφασαν δέχεσθαι εἰς τὴν πόλιν, οἱ δὲ ἀντέλεγον. ἐπεὶ δὲ καὶ ὁ τῶν Τριβαλῶν στρατηγὸς ὁ Χρέλης τῶν ἀξιούντων ἦν δέχεσθαι τὸν βασιλέως πρεσβευτήν, εἰσεδέξαντο αὐτόν, τοῦ μὴ δοκεῖν ἐξεπίτηδες τὸν σύμμαχον ἀνιᾶν. γενόμενος δὲ πρὸς αὐτοὺς ὁ Λουκᾶς, πάντας προσηγόρευεν ἐκ βασιλέως· ἔλεγέ τε πρὸς αὐτούς, ὡς „βασιλεὺς ὁ ἐμὸς δεσπότης πολλὴν ὑμῶν ἀναλγησίαν κατεγνωκώς, ὅτι χειμῶνος ὥρᾳ ἐν ἡμέραις ἤδη δυσὶ πρὸς ταῖς πύλαις ἑστηκὼς ὑμῶν, καὶ πολλήν, ὡς εἰκὸς ἐν ὥρᾳ τοιαύτῃ, ταλαιπορίαν ὑπὸ κρύους ὑπομένων, οὐδεμιᾶς ἠξίωται προνοίας παρ' ὑμῶν, ἔπεμψεν ἐμὲ τὴν μικρολογίαν ὑμῖν ὀνειδιοῦντα καὶ ἅμα ἀξιώσοντα, ἢ βασιλέα τὸν ἐμὸν δεσπότην ἐντὸς τειχῶν αὐτοὺς φιλοφροσύνης ἕνεκα καλεῖν, ἢ αὐτοὺς ἔξω πρὸς αὐτὸν ἐλθεῖν τῆς αὐτῆς ἕνεκα αἰτίας. ἀλλὰ ταῦτα μὲν ἐμοὶ παίζοντι μᾶλλον, ἔφη, λέλεκται ῥᾳστώνης χάριν. βασιλεὺς δὲ ὑμῖν μηνύει, ὡς, ὁ ἐμὸς πάππος καὶ βασιλεὺς ὑπὸ τῶν ἐμὲ πρὸς αὐτὸν διαβαλλόντων ἐναχθείς, τὰς μὲν συνθήκας, ἃς πρὸς ἀλλήλους τῆς εἰρήνης ἕνεκα ἐθέμεθα, διαλύσας, τὸν πόλεμον τουτονὶ κεκίνηκε κατ' ἐμοῦ μηδὲν μήτε ἀδικήσαντος, μήτε παραβεβηκότος τὰς συνθήκας. καὶ πολλὰ πολλάκις ἐμοῦ δεηθέντος καὶ πάντα κάλων κινήσαντος ὥστε μὴ λυθῆναι τὴν εἰρήνην, οὐκ ἠνέσχετο αὐτός, ἐμοὶ δοκεῖν,

---

[67] Вж. бел. 44. [68] Христопол, дн. Кавала. [69] Зихна, крепост близо до гр. Сер. [70] Велик папий, управител на дворцовата стража. [71] Ливовища, река в Източна Тракия.

там и понеже никой не излезе насреща им, разположиха се на лагер и пренощуваха там. А началниците на западната войска, като се събраха същата нощ с Хрельо, началника на съюзниците трибали, съвещаваха се дали трябва да се сражават с императора. И решиха, че не е изгодно и за ромеите, и за съюзниците [да се сражават]. Защото дисциплината, мълчанието и силата на императорската войска им внушаваха немалък страх, понеже те сметнаха такова нападение за странно, а именно да се сражават с по-многобройна от тях и с разположили се на лагер до техния град, освен ако предварително не са се приготвили така, че или да победят в сражение, или да паднат в битката. А те сметнаха, че е изгодно да държат войската зад стените, да пазят града и да понасят обсадата, понеже императорът не смятал да остава там, но щял да се върне бързо. На следния ден на разсъмване императорът нареди въоръжената войска като за сражение и остана до обед пред стените, надявайки се да предизвика защитниците на сражение. Но тъй като никой не излезе насреща им, императорът прати при тях Георги Лука, един от приближените си, инак мъдър и подходящ за пратеничества. Когато той пристигна пред вратите, едни казаха, че трябва да се пусне в града, а други се противопоставиха. Понеже и началникът на трибалите Хрельо бе от тия, които смятаха, че императорският пратеник трябва да бъде допуснат, приеха го, за да не изглежда, че нарочно измъчват съюзника. И когато отиде при тях, Дука поздрави всички от името на императора и им каза: „Моят господар императорът, като разбра голямото ви коравосърдечие, понеже вече два дни стои зимно време пред вратите ви и търпи големи несгоди от студа, както се случва в такова време, без да бъде удостоен с никаква грижа от вас, изпрати ме да порицая вашата дребнавост и едновременно да помоля или да поканите моя господар вътре в крепостите от уважение, или да дойдете при него поради същата причина. Но това го казах повече на шега, добави той, за да ми мине. В същност императорът ви съобщава, че моят дядо и император, подбуден от тия, които ме клеветят пред него, като наруши договорите, които сключихме помежду си заради мира, почна тази война срещу мене, без да съм сбъркал нещо и без да съм нарушил договорите· И понеже много молих и употребих много усилия, за да не бъде нарушен мирът, струва ми се, той не послуша, тъй като ἀποβλέπων πρὸς ὑμᾶς καὶ ἐλπίζων, ῥᾳδίως ἂν ἐμὲ κατεργάσεσθαι ἐν τῷ πολέμῳ δι᾽ ὑμῶν. ἐπεὶ δὲ, ὡς ὁρᾶτε, οὐχ ᾗ αὐτὸς προσεδόκα τὰ πράγματα ἀπέβη, ἀλλὰ καὶ ἣν εἶχε πρὸς ὑμᾶς ἤδη βεβαίως περιῄρηται ἐλπὶς, δέομαι ὑμῶν, τοῦ κοινοῦ παντὸς τῶν Ῥωμαίων ἔλεον λαβόντας, οὕτω δεινῶς ὑπ᾽ ἀλλήλων φθειρομένων διὰ τὸν πόλεμον ἡμῶν τὸν πρὸς ἀλλήλους, πέμψαι πρὸς βασιλέα τινὰ διδάξοντα περὶ τῶν ἐνταυθοῖ πραγμάτων τἀληθές. οἴομαι γὰρ, ἂν πύθηται τὰ ἐνταῦθα πράγματα ποῖ κεχώρηκε, μᾶλλον ὑφήσειν τῆς πρὸς ἐμὲ ὀργῆς καὶ τὸν πόλεμον ἐθελήσειν καταθέσθαι, οὐκέθ᾽ ὁμοίως ὥσπερ καὶ πρότερον τὰς πρὸς τὸν πόλεμον ἐλπίδας ἔχων. ἐγὼ δὲ πρῶτον μὲν ἄπρακτος καθεδοῦμαι, μηδὲν κινῶν ὅσον ἂν συμβῶμεν χρόνον, ἕως ἂν ὁ πεμφθεὶς πρὸς βασιλέα ἐπανήξῃ. κἂν μὲν αὖθις ὁ βασιλεὺς μὴ προσδέξηται τὴν εἰρήνην, ἅπτεσθαι τοῦ πολέμου· ἂν δὲ, θεοῦ συνευδοκοῦντος, τὸν πόλεμον ἐθελήσῃ καταθέσθαι, παρέξομαι ὑμῖν ἐγὼ πίστεις ἰσχυρὰς δι᾽ ὅρκου τοῦ μηδενὶ μνησικακήσειν, εἴ τις καὶ τοῦ παρόντος ἔδοξεν αἰτιώτατος γενέσθαι πολέμου, ἀλλὰ πᾶσιν εὐμενῶς διατεθεὶς, ἀσφάλειαν καὶ ἀμνηστίαν παρέξειν τῶν κακῶν." Τοιαῦτα μὲν πρὸς αὐτοὺς ὁ Λουκᾶς ἐκ βασιλέως εἶπε τοῦ νέου.

(I, pp. 259_{19}—265_{16})

I, 53. Ἐν τούτοις δὲ τῶν πραγμάτων ὄντων, ἧκεν ἐκ Θεσσαλονίκης ὡς βασιλέα ὁ Φιλομμάτης ὑπὸ τῶν ἐκεῖ τὰ βασιλέως τοῦ νέου πραττόντων πεμφθεὶς, τά τε ἄλλα ἀπαγγέλλων ὡς ἔχει καλῶς, καὶ ὡς, εἰ νῦν ἀφίκοιτο, σὺν οὐδενὶ παραληψόμενος πόνῳ τὴν πόλιν. ἐπεὶ δὲ ἐπύθετο ὁ βασιλεὺς, τά τε ἀχθοφόρα τῶν ζώων καὶ τὰς ἀποσκευὰς καὶ στρατιωτῶν ὅσοι μὴ εὐπόρουν ἵππων εὐρώστων καὶ τὰ πολέμια ἀγαθῶν καταλέλοιπεν ἀπολεξάμενος ἐν Ζίχνᾳ ἅμα Τζαμπλάκωνι τῷ μεγάλῳ παπίᾳ καὶ τισιν ἑτέροις ὀλίγοις· αὐτὸς δ᾽ ἅμα δομεστίκῳ τῷ μεγάλῳ καὶ τοῖς λοιποῖς ἡγεμόσι τὴν ἀπολεχθεῖσαν στρατιὰν παραλαβὼν, ἔδοξεν ἐπὶ Δράμαν ὡς πολιορκήσων ἀπιέναι. ἐπεὶ δὲ ἐπεγένετο ἡ νὺξ, ἀναστρέψας ἀφ᾽ ἧς ἐπορεύετο ὁδοῦ, ἤλαυνεν ἐπὶ Θεσσαλονίκην διὰ Στρυμόνος. καὶ διαβὰς τὸν ποταμὸν, κατὰ τὸ Μαρμάριον προσαγορευόμενον Μικρὸν ἐκέλευσε τὴν στρατιὰν τυχεῖν ἀναπαύλης καταβάντας ἀπὸ τῶν ἵππων. ἀναπαυσάμενοι δὲ εἴχοντο πάλιν τῆς αὐτῆς ὁδοῦ, καὶ τήν τε ἐπιοῦσαν καὶ τὴν νύκτα τὴν μετ᾽ αὐτὴν ὁδεύσαντες, ἅμα ἕῳ κατὰ τὴν τρίτην ἦσαν ἐν Χορταΐτου. τῇ προτεραίᾳ δὲ αὐτῆς φήμη τις διὰ Θεσσαλονίκης διῄει, ὡς βασιλεὺς ὁ νέος τό,τε Ζίχνα εἷλε προσχωρῆσαν, καὶ εἰς Φερὰς ἐλθὼν, τὴν ἐκ τῆς ἑσπέρας στρατιὰν ἅμα Τριβα-

има пред вид вас, и се надява, че чрез вас лесно би ме погубил във войната. А тъй като, както виждате, работата не стана, както очаквах, и надеждата, която хранеше към вас, изчезна напълно, моля ви, като проявите милост за общото благо на ромеите, тъй като поради войната ние страшно се избиваме помежду си, пратете при императора някого да съобщи истината за тукашните работи. Защото смятам, че ако узнае какво е тукашното положение, по-лесно би успокоил гнева си срещу мене и ще пожелае войната да спре, тъй като няма предишните надежди за нея. А аз засега ще остана бездеен, като не предприемам нищо, за каквото време се споразумеем, докато не се върне пратеникът до императора. И ако императорът отново не приеме мира, да започне войната. А ако с божия помощ желае да прекрати войната, аз ще ви дам сигурни уверения с клетва, че не ще бъда злопаметен към никого, дори ако някои излезе твърде виновен за настоящата война, понеже съм благоразположен към всички, ще гарантирам безнаказаност и ще дам прошка за лошите им постъпки.“ Това каза Лука от името на младия император. . .

I, 53. Такова бе положението, когато от Солун дойде при императора Филомат, пратен от тамошните хора, които били привърженици на младия император. Той съобщи, че всичко е наред и че ако сега дойде, без всякакъв труд щял да завземе града. Когато императорът се научи за това, изостави товарните животни и обоза и тези от войниците, които нямаха силни и подходящи за война коне, в Зихна заедно с Цамблак, велик папий, и с неколцина други. А сам с великия доместик[72] и останалите военачалници взе отбраната войска и реши да се отправи към Драма[73], за да го обсади. С настъпването на нощта той се отклони от пътя, по който вървеше, и през Струма пристигна в Солун. Като премина реката, той заповяда на войската да слезе от конете и да почине до така наречения Малък Мрамор[74]. След почивката отново поеха същия път и като пътуваха на другия ден и на следващата нощ, на третия ден сутринта бяха в Хортет[75]. Предишния ден се пръсна слух в Солун, че младият император завзел Зихна, която му се предала, и като пристигнал във Фере, затворил вътре в стените западната войска заедно със съюзниците трибали, които не могли да изλοῖς τοῖς συμμάχοις ἐγκατέκλεισεν ἐντὸς τειχῶν, μηδὲ ἀντοφθαλμῆσαι δυνηθέντας· ἀναζεύξας δὲ πάλιν εἰς Ζίχνα, τόν τε παρακοιμώμενον Ἀπόκαυχον καὶ Ἀλέξιον τὸν Παλαιολόγον πέπομφεν ἐνταῦθα, πρόφασιν μὲν, ὡς πρὸς τὸν ἐπιτροπεύοντα Θεσσαλονίκης μέγαν στρατοπεδάρχην τὸν Χοῦμνον καὶ τὸν μητροπολίτην διαπρεσβευσομένους· τῇ δ' ἀληθείᾳ, τοῖς τὰ αὐτῶν πράττουσι κρύφα διαλεξομένους καὶ ἅμα κατασκοπεύσοντας, εἰ Θεσσαλονίκην ὑπαγαγέσθαι δυνατόν. παρὰ μὲν οὖν τῆς φήμης τοιαῦτα διεθρυλλεῖτο· πολλὰ δὲ ἀνερευνήσας ὁ Χοῦμνος ὥστε τὸν ἀπαγγείλαντα τὰ τοιαῦτα ἐξευρεῖν, οὐκ ἠδυνήθη. ὅμως δὲ ἐδόκει λυσιτελεῖν αὐτῷ τε καὶ μητροπολίτῃ, εἰς τὴν ὑστεραίαν εἰς Χορταΐτου τὸν μητροπολίτην ἐλθόντα, τόν τε Παλαιολόγον Ἀλέξιον καὶ τὸν παρακοιμώμενον τὸν Ἀπόκαυχον, εἴγε ἀληθῆ τὰ περὶ αὐτῶν διαθρυλληθέντα εἴη, ὡς βασιλέα ἀναστρέφειν κελεύειν, ὡς οὐ συγχωρηθησομένης αὐτοῖς τῆς εἰς Θεσσαλονίκην εἰσόδου. εἰ δ' ἀπειθοῖεν καὶ βιάζοιντο τὴν ἄφιξιν, προαναφωνεῖν αὐτοῖς, ὡς εἰρχθήσονται ἐπιβουλεύοντες αὐτοῖς καὶ βουλόμενοι Θεσσαλονίκην ἀποστῆσαι βασιλέως. τοιαῦτα οἱ μὲν περὶ τῶν ἀκουσθέντων ἐβουλεύσαντο πράττειν. ἅμα δὲ ἕῳ εἰς τὴν ἐπιοῦσαν ὁ μητροπολίτης μὲν κατὰ τὸ σύνθημα τὴν εἰς Χορταΐτου ᾔει· ὁ δέ γε Χοῦμνος ἅμα τοῖς ἀμφ' αὐτὸν τῆς προσαγορευομένης τῶν Ἀσωμάτων πύλης ἐξελθὼν, ὅ, τι ἂν ἀποβαίη ἵστατο ἀποσκοπῶν, καὶ ἡ πόλις πᾶσα μετέωρος πρὸς τὰς φήμας ἦν. τοῖς μέντοι δοκοῦσι τὰ βασιλέως τοῦ νέου πράττειν προείρητο μήτε ὅπλοις μήτε ἵπποις χρῆσθαι, ἀλλ' ἢ οἴκοι διατρίβειν, ἢ πεζῇ καὶ ὅπλων προϊέναι χωρίς. τότε δὲ καὶ αὐτοὶ, ἐπεὶ πανταχόθεν τὰ βασιλέως διεθρυλλεῖτο, ἐπὶ τῶν τειχῶν τῆς αὐτῆς πύλης ἀνελθόντες ἄνοπλοι τὴν ἔκβασιν περιέμενον τῶν πραγμάτων. ὁ μέντοι μητροπολίτης ἐπεὶ ἐγγὺς ἐγένετο Χορταΐτου, ἀπροσδοκήτως ἐντυχὼν τῷ νέῳ βασιλεῖ, ἐξεπέπληκτό τε καὶ τῆς ἀφίξεως κατεμέμφετο τὴν ἀκαιρίαν. προσαγορεύοντος δὲ αὐτὸν βασιλέως, αὐτὸς πρὸς τὸν ἐκ τοῦ αἰφνιδίου κίνδυνον θορυβηθεὶς, μηδὲ ἀντιπροσειπὼν, ἤλαυνεν ὡς εἶχε τάχους πρὸς τὴν πόλιν, τὴν ἔφοδον μηνύσων βασιλέως. εἵπετο δ' αὐτῷ καὶ ὁ βασιλεὺς συντονώτερον βαδίζων. οἱ δὲ τὰ αὐτοῦ πράττοντες τοῖς τείχεσιν ἐφεστῶτες, ἐπεὶ ἀπὸ τῶν σημαιῶν ἔγνωσαν βασιλέα προσελαύνειν, ἀναθαρσήσαντες ἐπιτίθενται τοῖς ἔξω τῶν πυλῶν, λίθοις βάλλοντες ἀπὸ τῶν τειχῶν· οἱ δὲ, τῶν τε πολεμίων ἔξωθεν ἐπιόντων, τῶν τε ἔνδοθεν φανερῶς ἐκπολεμωθέντων, οὐκ ἔχοντες ὅ,τι χρήσωνται, ἔνδον μὲν εἰσῆλθον τῶν τειχῶν καὶ ἀπέκλεισαν τὰς πύλας· μὴ δυνάμενοι δὲ ἀντέχειν πρὸς τοὺς βάλλοντας ἀπὸ τοῦ τείχους, ἐτράπησαν εἰς φυγὴν

---

[72] С великия доместик, сиреч с Йоан Кантакузин. Вж. бел. 10. [73] Драма, град в Източна Македония. [74] Малък Мрамор, село в Серско. [75] Става дума за манастира Хортет, в околностите на Солун.

държат погледа му. Като се върнал отново в Зихна, пратил там паракимомена[76] Апокавк и Алекси Палеолог под предлог, че ще отидат като пратеници при Хумн, управител на Солун и велик стратопедарх, и при митрополита, а в действителност, за да говорят тайно с привържениците му и едновременно да се осведомят дали е възможно да подчини Солун. Това се носеше от мълвата. А Хумн не можа да открие кой е разпространил тези работи, въпреки че се стара много. И той реши, че е полезно за него и за митрополита да заповяда на другия ден митрополитът да отиде в Хортет, а Алексий Палеолог и паракимоменът Апокавк да се върнат при императора, ако е истина всичко, което се мълвяло за тях, понеже не щяло да им се даде достъп до Солун. Ако не се подчинели и дойдели насила, да се предупредели, че ще бъдат хвърлени в затвора като заговорници против тях, които желаят да откъснат Солун от императора. Това смятаха да направят относно мълвата. На следния ден на разсъмване митрополитът, според уговорката, пое пътя за Хортет. А Хумн заедно със сподвижниците си, като излезе пред така наречената порта на Асоматите, стоеше и наблюдаваше какво ще става и целият град бе развълнуван от мълвата. Наредено бе на тия, които изглеждаше, че държат страната на младия император, да не си служат нито с оръжие, нито с коне, но или да останат по домовете си, или да излязат пеша и без оръжие. Тогава и те, тъй като отвсякъде се говореше за императора, се изкачиха невъоръжени на стените над същата врата и наблюдаваха развоя на събитията. Когато митрополитът дойде близо до Хортет, внезапно се натъкна на младия император, разгневи се и порица ненавременното му идване. А когато императорът го поздрави, смутен от внезапната опасност, без да му отговори, с всички сили се втурна към града, за да съобщи за пристигането на императора. А императорът го последва, вървейки по-бавно. Съмишлениците му застанаха на стените и когато узнаха по знамената, че императорът приближава, одързостиха се и нападнаха намиращите се извън вратите, замеряйки ги с камъни от стените. А тези, като не знаеха какво да правят, влязоха зад стените и заключиха вратите, понеже неприятелите нападаха отвън. Като не можаха да се противопоставят на замерящите ги от стената, побягнаха и като καὶ τὴν ἀκρόπολιν κατέσχον ἐλθόντες ὡς ἀμυνούμενοι ἐκεῖθεν. ἦρχε δὲ αὐτῆς Λυζικὸς Γεώργιος ἐκ Βεῤῥοίας. οἱ δὲ ἀπὸ τοῦ τείχους κατελθόντες καὶ τὰς πύλας ἀνοίξαντες, εἰσεδέξαντο βασιλέα. ἅμα δὲ καὶ ἡ πόλις πᾶσα προσετίθετο τῷ νέῳ βασιλεῖ, καὶ ἠσπάζοντο ἐλθόντες πανδημεί. βασιλεὺς δὲ μὴ ἀπὸ Φερῶν εἰς τὴν ἀκρόπολιν στράτευμα ἐλθὸν δυσάλωτον ἀπεργάσηται δείσας, στρατιὰν ἀπολεξάμενος ὅσην ᾤετο ἀρκέσειν πρὸς τὸ ἔργον, τὴν ἀκρόπολιν προσέταξεν ἔξωθεν φρουρεῖν, ὅπως μηδεὶς εἰσέλθοι ἐς αὐτήν. οἱ δὲ ἐν Φεραῖς ὅτι εἰς Θεσσαλονίκην ἔρχεται πυθόμενοι ὁ βασιλεύς, δείσαντες, ὅπερ ἐγένετο, μὴ αὐτῷ προσχωρήσῃ, τριακοσίους ἔπεμψαν λογάδας, ὥστε τήν τε ἀκρόπολιν κατασχεῖν καὶ τοῖς ἐν τῇ πόλει θάρσος παρασχεῖν ἀντιστῆναι βασιλεῖ. συμβαλόντες δὲ αὐτοῖς οἱ παρὰ βασιλέως προστεταγμένοι τὴν ἀκρόπολιν φρουρεῖν, ἐτρέψαντο κατὰ κράτος, καὶ τοὺς μὲν ἀπέκτειναν αὐτῶν, τοὺς δὲ εἷλον ζῶντας. βασιλεὺς δὲ ἐπεὶ τὰ πρὸς φυλακὴν τῆς ἀκροπόλεως ἐξηρτύσατο, ἧκεν εἰς τὴν ἁγίαν σορὸν Δημητρίου τοῦ μάρτυρος καὶ μυροβλύτου, ἅμα μὲν προσκυνήσων αὐτὸν, (ἦν γὰρ ἐξ ἡλικίας πρώτης τιμὴν αὐτῷ καὶ πίστιν πλείω ἢ κατὰ τοὺς ἄλλους μάρτυρας παρέχων καὶ ὥσπερ ἐραστὴς αὐτοῦ ὢν,) ἅμα δὲ καὶ τῆς παρούσης ἕνεκα εὐτυχίας ἀμειψόμενος εὐχαριστίαις. προσκυνήσας δὲ καὶ εὐχαριστήσας, ἐπεὶ καὶ τὸν πόδα ἐκ τῆς πρὸς Πέρσας μάχης τραυματισθεὶς, (ἐν τέσσαρσι καὶ δέκα μησὶ θεραπευθῆναι οὐκ ἠδυνήθη, πολλὰ τῶν ἰατρῶν πραγματευσαμένων, ἀλλὰ σφακελίζων ἀεὶ οὐ φορητὰς παρεῖχε τὰς ὀδύνας,) τὸ ὑπόδημα λύσας, τῷ μύρῳ χρίειν ἔμελλε τοῦ ἁγίου, ἐνθυμηθεὶς, ὡς ἃ μὴ δύναιτο ἀνθρωπίνη τέχνη καὶ σπουδὴ, ταῦτα θεὸς τοῖς ἁγίοις μάρτυσι δύνασθαι παρέσχεν. ἐπεὶ δὲ τόν τε πόδα ἀπεγύμνου καὶ τὰς ὀθόνας, αἷς ἐδεσμεῖτο, περιῄρει, ὢ τῆς πολλῆς τοῦ θεοῦ περὶ τοὺς μάρτυρας φιλοτιμίας! ὁ μὲν μοτὸς ἔξω εὕρητο ἐῤῥιμμένος, ὑγιὴς δὲ ὁ ποὺς ἐς τοσοῦτον, ὡς μηδὲ ἴχνος οὐλῆς ἢ τραύματος ὑποφαίνειν, ἀλλ' ἀγνοεῖσθαι εἴ ποτε καὶ ἐτρώθη. ὅπερ ἰδὼν ὁ βασιλεὺς μᾶλλόν τε ἥσθη διὰ τοῦτο, ἢ ὅτι Θεσσαλονίκην ὑπεποιήσατο ἑαυτῷ, καὶ θερμοτέρας τούτου ἕνεκα καὶ πλείους τὰς εὐχαριστίας ἀπεδίδου. καὶ ἡ πόλις δὲ πᾶσα τὴν εἰς τὸν βασιλέα πυθόμενοι θαυματουργίαν, πολλοὺς ὕμνους εἴς τε θεὸν ᾖδον καὶ Δημήτριον τὸν ἐκείνου θεραπευτήν. ἐκεῖθεν δὲ ἐξελθὼν ὁ βα-

---

[76] Паракимоменът или спалникът спял нощем до стаята на императора и се грижел за безопасността му.

дойдоха до акропола, завзеха го, за да се бранят оттам. Началник на акропола беше Георги Лизик от Верея[77]. А тези от стените слязоха и като отвориха вратата, приеха императора. И заедно с това целият град мина на страната на младия император и дойдоха всенародно да го поздравят. А младият император се уплаши да не би да бъде мъчно надвита войската, която от Фере отиде в акропола, и като събра колкото войска смяташе, че ще е необходима за случая, нареди да пазят акропола отвън, та никой да не може да влезе в него. Жителите пък на Фере, като научиха, че [старият] император отива в Солун, уплашиха се да не би Солун да мине на негова страна, както стана, и пратиха триста отбрани войници да завземат акропола и да дадат кураж на гражданите да се противопоставят на императора. Отишлите по заповед на императора да пазят акропола се сблъскаха с тях, разбиха ги напълно и едни от тях убиха, а други взеха живи. Императорът, когато се снабдил с всичко за отбраната на акропола, отиде при светия саркофаг на мъченика и мироточеца Димитър[78] (защото от ранна възраст проявяваше към него по-голяма почит и вяра, отколкото към другите мъченици, и бе негов почитател), а заедно с това отправи благодарствени молитви заради настоящия щастлив случай. Той му се поклони и му благодари и понеже бе ранен в крака при сражение с персите, свали си обувката и искаше да го намаже с мирото на светеца, вярвайки, че което не е могло да постигне човешкото изкуство и грижа, това бог е предоставил на светите мъченици да го правят (той в продължение на четиринадесет месеца не могъл да се излекува, макар лекарите да се трудили много, кракът винаги се възпаляваше и издаваше непоносима смрад). Когато събу крака и свали превръзките, с които беше превързан — о, каква голяма милост на бога към неговите мъченици!, — като бе махната превръзката, кракът дотолкова бе оздравял, че нямаше никаква следа от рана или белег на рана, но дори не можеше да се познае, че някога е бил ранен. Ето защо императорът се зарадва още повече когато видя това, отколкото, че е завладял Солун, и по тази причина възнесе повече и по-горещи молитви. И целият град, като узна за чудото с императора, изпя много химни в чест на бога и неговия служител Димитър. А имσιλεύς, κλινούσης ἤδη τῆς ἡμέρας, εἰς τὰ βασίλεια ηὐλίσατο τὴν νύκτα ἐλθών. ἅμα δὲ ἕῳ εἰς τὴν ὑστεραίαν αὐτός τε ὁπλισάμενος καὶ ἡ στρατιά, καὶ τοῦ Θεσσαλονικέων δήμου προθύμως συστρατευομένου, ᾔεσαν εἰς τὴν ἀκρόπολιν, ὡς, εἰ μὴ προσχωροῖεν ἑκοντὶ οἱ κατασχόντες, βιάσαιντο τοῖς ὅπλοις. πρῶτα μὲν οὖν πέμψας ὁ βασιλεὺς, προσηγόρευέ τε τοὺς ἔνδον καὶ προὐκαλεῖτο αὐτοὺς ἀμαχεὶ τὴν ἀκρόπολιν παραδιδόναι, ἀμνηστίαν τε παρέχων καὶ ἐπαγγελλόμενος ποιήσειν εὖ. ὡς δ’ οὐκ ἐσήκουον, ἀλλὰ ἐσκληρύνοντο, καταστάντες ἐτειχομάχουν. καὶ μέχρι μὲν τριῶν ἢ τεττάρων ὡρῶν καὶ αὐτοὶ ἠμύνοντο καρτερῶς ἀπὸ τῶν τειχῶν· ἔπειτα οἵ τε τὴν ἀκρόπολιν κατοικοῦντες καὶ ὅσοι τῶν Θεσσαλονικέων ἦσαν μὴ πάνυ προσκείμενοι τῷ πρεσβυτέρῳ βασιλεῖ, διεστασίασάν τε ταῖς γνώμαις πρὸς τοὺς ἄλλους, καὶ ἀνακωχὴν αἰτήσαντες πρὸς βασιλέως τοῦ πολέμου, εἰς λόγους κατέστησαν τοῖς συμπολιορκουμένοις. καὶ Λυζικῷ μὲν τῷ τῆς ἀκροπόλεως ἄρχοντι οὐκ ἔφασαν περὶ τῆς σφετέρας πατρίδος βουλεύειν συγχωρήσειν, ἑτέρας ὄντα πόλεως πολίτην, ὅν, βασιλεῖ προσχωρησάσης Βεῤῥοίας, οἱ συγγενεῖς, ἄν τι καὶ προσκρούσῃ, ἐξαιτήσονται· τοῖς δ’ ἄλλοις οὐ δίκαιον εἶναι ἔλεγον οὐδὲ λυσιτελὲς, τῆς ἄλλης ἁπάσης πόλεως προσχωρησάσης βασιλεῖ, αὐτοὺς ἀντίστασθαι καὶ πολεμεῖν. οὔτε γὰρ δυνήσονται ἑαυτούς τε καὶ τὴν ἄκραν περισῶσαι μόνοι ἐναπειλημμένοι, τῶν τε ἐκ Φερῶν κατὰ συμμαχίαν ἀφιγμένων ἡττημένων, καὶ οὐκ ἂν ἑτέρων τολμησόντων ἐλθεῖν. „ἥ τε βασιλέως στρατιὰ πολλή τε καὶ ἀξιόμαχος, καὶ προσέτι πᾶσα ἡ πόλις πανδημεὶ προσκαθήμενοι ἐκπολιορκήσουσιν ἡμᾶς. εἰ δὲ καὶ ἀντισχεῖν δυνησόμεθα πρὸς ὀλίγον, ἀμφοτέρωθεν ζημιωσόμεθα. ἄν τε γὰρ νικῶμεν, φίλους καὶ τοὺς οἰκειοτάτους ἀποκτενοῦμεν, ἄν τε ἡττώμεθα, ἀνάγκη ἀποθνήσκειν. ἃ δὴ ἅπαντα οὐ πρὸς ἡμῶν. εἰ μὲν οὖν καὶ ὑμῖν ταῦτα συνδοκεῖ· εἰ δ’ οὖν, ἀλλ’ ἡμεῖς γε ἡμᾶς τε αὐτοὺς καὶ τὴν ἀκρόπολιν ἐγχειρίσομεν βασιλεῖ.” οἱ μὲν οὖν τοιαῦτα εἶπον· Λυζικὸς δὲ καὶ ὅσοι ἦσαν τῷ πρεσβυτέρῳ προσκείμενοι βασιλεῖ, οὐκ ἔχοντες ὅ,τι δράσαιεν, ἅμα τοῖς ἄλλοις ἀμνηστίαν αἰτήσαντες εἴ τι προσκεκρούκασι πρὸς βασιλέα, καὶ τυχόντες, παρέδοσαν τὴν ἀκρόπολιν.

---

[77] Верея, дн. Бер в Южна Македония. [78] Свети Димитър, солунски светец, когото византийците смятали за покровител на града.

I, 54. Καὶ παρελθὼν ὁ βασιλεὺς, καὶ ὅσοι ἦσαν τῶν τὰ τοῦ πρεσβυτέρου βασιλέως πραττόντων παραλαβὼν, ἐξῆλθεν εὐθύς. καὶ εἰς βασίλεια ἐλθὼν, ἐβουλεύετο μετὰ τῶν ἐν τέλει, τῶν τε ἀφιγμένων σὺν αὐτῷ καὶ οἳ ἦσαν ἐν Θεσσαλονίκῃ, ὅποι χρὴ τραπέσθαι, ἐπειδὴ τὰ πράγματα ἠνάγκαζον μὴ ἠρεμεῖν. οἱ μὲν οὖν ἄλλοι πάντες εἰς Βέῤῥοιαν ἐβουλεύοντο ἐλθεῖν, ὁ μέγας δὲ δομέστικος Βέῤῥοιαν μὲν ἔλεγεν ἐᾶν, εἰς

ператорът тръгна от храма, привечер дойде в двореца и пренощува там. На разсъмване на следния ден въоръжен и той, и войската, следван охотно от въоръжени солунчани, тръгнаха към акропола, та ако защитниците не отстъпят доброволно, да ги принудят с оръжие. Императорът проводи найнапред пратеници, поздрави защитниците и ги подкани без бой да предадат акропола, като им даде прошка и обеща, че ще се отнася добре с тях. Понеже ония не се подчиниха, а упорствуваха, те се вдигнаха и нападнаха крепостта. И до три-четири часа ония се отбраняваха упорито от стените. След това обитателите на акропола и колкото от солунчаните не бяха разположени вече към стария император, се разбунтуваха срещу другите и поискаха от императора да спре войната. Те влязоха в преговори с тия, които бяха обсаждани заедно с тях. И казаха на Лизик, началник на крепостта, че не ще позволят да взима решение за техния град, понеже е гражданин на друг град. Него щели да накажат роднините, ако извърши нещо лошо, тъй като Верея е минала на страната на императора. А на останалите казаха, че е несправедливо и безполезно да се противопоставят и да воюват с тях, понеже целият останал град бил минал на страната на императора. Защото заградени, сами не щели да могат да спасят нито себе си, нито крепостта, понеже пристигналите на помощ от Фере били разбити и други не щели да се осмелят да дойдат. „Войската на императора е голяма и боеспособна и освен това целият град, като ни обсади всенародно, ще ни победи. Дори ако можем да се противопоставим за малко, ще пострадаме и в двата случая. Защото, ако победим, ще погубим приятелите и най-близките си, а ако бъдем победени, ще трябва да умрем. Всичко това ни е чуждо. Ако, разбира се, и вие така мислите, ако ли не, ние и себе си, и крепостта ще предадем на императора.“ Това казаха те. А Лизик и тия, които бяха привърженици на стария император, като нямаше какво да правят, заедно с другите поискаха прошка, ако нещо са обидили императора, и като я получиха, предадоха крепостта.

I, 54. И императорът дойде заедно с някои от привържениците на стария император и веднага излезе. И той пристигна в двореца и се съветваше с дошлите заедно с него сановници и с тия в Солун накъде трябва да тръгне, понеже положението го принуждаваше да не бездействува. Наистина всички останали го съветваха да отиде във Верея, а великият доместик казваше да

Ἔδεσσαν δὲ ἐλθεῖν, κἀκεῖθεν εἰς Καστορίαν. προσετίθει δὲ καὶ τὰς αἰτίας, λέγων, ὡς „ὅ, τε δεσπότης Δημήτριος καὶ ἔπαρχος ὁ Μονομάχος καὶ ὁ Ῥαοὺλ Ἰσαάκιος τὰς γυναῖκας καὶ παῖδας ἔχοντες ἐν Ἐδεσσηνοῖς, εἰκὸς πάσῃ σπουδῇ χρήσασθαι καὶ μηχανῇ ὥστε κατασχεῖν αὐτά, ἅμα μὲν καὶ τῶν γυναικῶν ἕνεκα καὶ τέκνων, ἅμα δ', ὅτι μικρόν τε ὂν τὸ πόλισμα καὶ καρτερὸν ἀπό τε τειχῶν καὶ τῆς τοῦ τόπου κατασκευῆς, ῥᾴδιόν ἐστιν εἰς φυλακήν. κἂν φθάσωσιν αὐτὸ προκατασχεῖν, διαφεύξεται μὲν οὐδ' οὕτω τὸ μὴ ἁλῶναι παρ' ἡμῶν, παρέξει δὲ πολλὴν τὴν δυσχέρειαν καὶ τὴν τριβὴν καὶ τὸν πόνον ἐν τῷ πολιορκεῖσθαι. ἐὰν δὲ νῦν παραγενώμεθα ἡμεῖς, οἱ αὐτόθι δυνατώτατοι καὶ τοὺς ἄλλους ἄγοντες καὶ φέροντες οἷ ἂν βούλωνται, ἐκ πολλοῦ προσκείμενοι ἐμοί, ῥᾷστα παραδώσουσι τὸ πόλισμα ἡμῖν· μᾶλλον δὲ καὶ πρὶν ἡμᾶς ἥκειν ἐκεῖ, ἂν βασιλέως τε προστάγματα καὶ γράμματα ἐμὰ πρὸς αὐτοὺς ἥξει, ἐκ παντὸς τρόπου σπουδάσουσι τὰ κελευόμενα ποιεῖν. κἄν τις καὶ τῶν εἰρημένων ἀφίκηται πρὸς αὐτούς, οὐκ ἂν εἰσδέξωνται. Καστορίας δὲ καὶ αὐτῆς ὀχυρωτάτης οὔσης διὰ τὸ πανταχόθεν περικλύζεσθαι τῇ λίμνῃ, ὁ τοῦ πρωτοβεστιαρίου γαμβρὸς ὁ Ἄγγελος ἄρχει, ὃς ἐμοί τε ἔγγιστα προσήκει κατὰ γένος καὶ πολλὴν ἐμοὶ τὴν εὔνοιαν καὶ τὴν εὐπείθειαν ὀφείλει, ἐκθρεψαμένῳ τε αὐτὸν καὶ τὰ πολέμια διδάξαντι· καὶ διὰ τὴν πρὸς ἐμὲ φιλίαν ῥᾷστα πρωτοβεστιάριον ἂν πρόηται τὸν κηδεστὴν, καὶ ἡμῖν τὴν πόλιν παραδοίη. ταῦτα δὲ ἡμῖν κατασχοῦσιν, αὐτόκλητοι προσχωρήσουσιν οἱ Βεῤῥοιῶται· δοκῶ μοι δὲ, αὐτοὺς καὶ πρὶν ταῦτα εἰς πέρας ἥκειν εἰς τὴν ὑστεραίαν ἢ καὶ τρίτην ἡμέραν ἂν ἐλθεῖν παραδώσοντας τὴν πόλιν." τοιαῦτα τοῦ μεγάλου δομεστίκου βουλευσαμένου, ὅ, τε βασιλεὺς συνέθετο εὐθὺς, καὶ οἱ ἄλλοι συνεπεψηφίζοντο ἐπαινέσαντες τὴν βουλὴν, καὶ ἐκεκύρωτο τὴν ἐπὶ Ἔδεσσαν ἰέναι. αὐτίκα τε προστάγματα βασιλέως καὶ τοῦ μεγάλου δομεστίκου γράμματα διὰ ταχυδρόμων ἱππέων πρός τε Ἔδεσσαν ἐπέμφθησαν καὶ Καστορίαν. καὶ Ἄγγελος μὲν ὁ Καστορίας ἐπίτροπος εὐθὺς τὴν πόλιν εἶχε διὰ φρουρᾶς, ὡς βασιλεῖ τῷ νέῳ, ὅταν ἀφίκηται, παραδώσων. οἳ δ' ἐν Ἐδέσσῃ δυνατοὶ, οἵ τε Ἄγγελοι Ῥαδίποροι ἐπικεκλημένοι, τρεῖς ὄντες ἀδελφοὶ, καὶ ὁ Λάσκαρις, ἐπεὶ τὰ προστάγματα ἐδέξαντο βασιλέως, μηδεμίαν ποιησάμενοι ἀναβολὴν, ἐπεὶ καὶ ὁ δῆμος Ἐδεσσηνῶν τῆς αὐτῶν ἐξήρτητο γνώμης, τήν τε βασίλισσαν τὴν Δημητρίου τοῦ δεσπότου γαμετὴν καὶ τὴν ἐπάρχου τοῦ Μονομάχου καὶ τὴν Ῥαοὺλ περιώρισαν ἐν οἰκίαις, καὶ ἐφύλαττον περιστήσαντες φρουράν. μετὰ μικρὸν δὲ οἱ ἄνδρες αὐτῶν ἐλθόντες, ἐπεὶ

изостави Верея и да замине за Едеса[79], а оттам в Кастория[80]. Той изложи и причините, като каза, че и деспотът Димитър[81] и епархът Мономах[82] и Раул Исак, имайки жените и децата си в Едеса, редно е да проявят всяко старание и хитрост, за да я завладеят било заради жените и децата, било понеже градчето е малко и укрепено природно и със стени и лесно се охранява. Дори ако онези успеят да го завземат порано, не ще избегне да бъде покорено от нас, но обсадата ще ни струва много мъки, опит и труд. А ако ние сега отидем, местните първенци, които водят и насочват народа, където пожелаят, бидейки отдавна мои близки, лесно ще ни предадат градчето. И дори преди да отидем ние там, те всякак ще се постараят да изпълнят заповедите, ако получат нарежданията на императора[83] и моите писма. Ако някой от споменатите лица пристигне при тях, те не биха го пуснали. И самата Кастория, която е добре укрепена поради заобикалящото я отвсякъде езеро, я управлява Ангел[84], зетят на протовестиария[85], който ми е твърде близък роднина и изпитва голяма симпатия и благоразположение към мен, понеже го възпитах и обучих във военните работи. И поради обичта си към мене твърде лесно би изоставил тъста протовестиарий и би ни предал града. А като го завладеем, верейците сами ще се предадат. Мисля, че те и преди да стане това, на следния или на третия ден ще дойдат да предадат града." Когато великият доместик ги посъветва това, императорът веднага се съгласи и останалите се съгласиха и похвалиха съвета и бе решено да се върви към Едеса. Веднага нарежданията на императора и писмата на великия доместик бяха изпратени по бързи конни вестоносци към Едеса и Кастория. И Ангел, началникът на Кастория, веднага завзе града със стража, за да го предаде на младия император, когато дойде. А знатните в Едеса, наричани Ангели Радипори, които бяха трима братя, и Ласкарис, когато получиха нарежданията на императора, не се забавиха никак, тъй като и населението на Едеса споделяше намерението им. Те затвориха в домовете им госпожа съпругата на деспота Димитър и тези на епарха Мономах и на Раул и ги поставиха под сгража. А след малко доεὕρισκον Ἐδεσσηνούς τε αὐτῶν ἀφεστηκότας καὶ εἰρχθείσας τὰς γυναῖκας, τραπόμενοι ἔφευγον πρὸς τὸν ἄρχοντα τῶν Τριβαλῶν. ὡς γὰρ ἐπύθοντο ἔτι ἐν Φεραῖς ὄντες, ὡς βασιλεὺς τὴν πρὸς Θεσσαλονίκην φέρουσαν ἐτράπη, ἤλπισαν μὲν οὐδ' ἐπὶ μικρὸν αὐτῷ τὴν πόλιν προσχωρήσειν, ἀσφαλείας δὲ ἕνεκα τοὺς τριακοσίους ἔπεμψαν ὡς τὴν ἀκρόπολιν καθέξοντας· ἐπεὶ δὲ ἐπύθοντο ὡς ἥ τε Θεσσαλονίκη προσεχώρησε βασιλεῖ, καὶ οἱ τριακόσιοι, οἱ μὲν ἀπέθανον, οἱ δ' ἐξωγρήθησαν ὑπὸ τῶν βασιλικῶν, πᾶσαν ἐλπίδα σωτηρίας ἤδη περιαιρεθέντες, πρὶν ἔκπυστα τοῖς πᾶσι γενέσθαι τὰ συμβάντα, τὴν στρατιὰν ὅση ἦν ἀναλαβόντες, προσχήματι μὲν ᾔεσαν ὡς ἐπὶ Θεσσαλονίκην, ὡς οὔπω ἑαλωκυῖαν περιποιήσοντες, ἵνα μὴ δοκοῖεν ἐκλιπόντες Φερὰς καὶ τὰς ἄλλας τῆς Μακεδονίας πόλεις φεύγειν· τῇ δ' ἀληθείᾳ, ὡς ἕκαστος χωρήσοντές οἷ ἂν αἵ τε γυναῖκες καὶ τὰ τέκνα ᾖ. ἐπεὶ δὲ ἐξελθόντες ἀπὸ Φερῶν εἴχοντο ὁδοῦ ὅσοι τε ἐκ Θεσσαλονίκης συνεστρατεύοντο αὐτοῖς, ἐπεὶ ἐπύθοντο ἑαλωκυῖαν, ἀποστάντες αὐτῶν, ἐχώρησαν πρὸς βασιλέα· καὶ οἱ Βεῤῥοιῶται τὰ ἐν Βοδηνοῖς πυθόμενοι συμβάντα, ταὐτὰ τοῖς ἐκ Θεσσαλονίκης ἐποίουν· τό, τε συστρατευόμενον αὐτοῖς ὑπήκοον Ῥωμαίοις στράτευμα Μυσῶν ἤδη καὶ ἐνεωτέρισε φανερῶς. ἐντυχόντες γὰρ τοῦ πρωτοβεστιαρίου βοσκήμασι πολλοῖς, διήρπασαν αὐτά, αὐτοῦ παρόντος καὶ προσεποιήσαν ἑαυτοῖς. ἐπιχειροῦντι δὲ ἀνασώζειν τὰ διαρπασθέντα, οὐ μόνον οὐκ ἐπείθοντο, ἀλλὰ καὶ τῶν σκευοφόρων αὐτοῦ τινα ἀφείλοντο τὸν ἵππον, ἔργῳ διδάσκοντες ὡς εἰ μὴ ἀγαπῴη, χωρήσοντες καὶ κατ' αὐτοῦ. ἥ τε λοιπὴ ἅπασα στρατιὰ καὶ οἱ ἐκ τῶν ἑσπερίων πόλεων παρόντες δυνατοί, τῶν βασιλέως πραγμάτων ἤδη φανερῶν γεγενημένων, ἐκλιπόντες τοὺς στρατηγούς, πάντες ἦλθον ὡς αὐτόν. δείσας δὲ ὁ πρωτοβεστιάριος εἰς Ἀχρίδα ἐλθεῖν, (ἐκεῖ γὰρ ἦν καταθέμενος τὴν γυναῖκα καὶ τὰ τέκνα,) ὅτε κατὰ βασιλέως ἅμα τῷ στρατεύματι ἐχώρει, ἅμα δεσπότῃ καὶ τοῖς λοιποῖς, εἰς πεντήκοντα καὶ ἑκατὸν ὄντες, ἐχώρησαν πρὸς Κράλην τὸν ἄρχοντα τῶν Τριβαλῶν. Φεραῖοι δὲ, ὅσοι ἦσαν ἐκ Βυζαντίου δεσπότῃ καὶ τοῖς ἄλλοις ἑπόμενοι στρατηγοῖς, ἐπεὶ ἐλείποντο ἐκεῖ ἀναχωρούντων, πάντα συσχόντες, τὰ ὄντα μὲν διήρπασαν αὐτοῖς, αὐτοὺς δὲ ὑπὸ δεσμοῖς ἤγαγον ὡς βασιλέα. βασιλεὺς δὲ ἐπεὶ ἐδέδοκτο τὴν ἐπὶ Ἔδεσσαν ἰέναι, ἐξελθὼν Θεσσαλονίκης, δευτεραῖος ἦλθεν εἰς αὐτά. οἱ Ἐδεσσηνοὶ δὲ ἐξελθόντες πανδημεί, προσεκύνησάν τε βασιλέα καὶ τὸ πόλισμα παρέδοσαν. τὰ μὲν οὖν ἄλλα ᾗ αὐτῷ ἐδόκει διῴκει ὁ βασιλεύς· ὅσα δὲ ἦν αὐτόθι χρήματα δεσπότῃ καὶ τοῖς ἄλλοις στρατηγοῖς, ἃ μὲν ἂν ᾖ ἴδια ταῖς γυναιξί, ταῦτ' ἔχειν

---

[79] Едеса, дн. гр. Воден в Югозападна Македония. [80] Кастория, дн. гр. Костур. [81] Деспот Димитър бил брат на Андроник II Палеолог. Срв. Ioannis Cantacuzeni Historia, ed. Bonn, 1828, I, p. 534, 22—24. [82] Епархът Мономах бил управител на Солун. Вж. Острогорски, пос. съч., с. 462, 473. [83] Става дума за Андроник III Палеолог. [84] Йоан Ангел бил византийски наместник в Солун и Епир. Вж Острогорски, пос. съч., с. 474. [85] Става дума за протосгратора Теодор Синадин, византийски наместник в Солун. Вж. Острогорски, пос. съч., с. 480, 481.

караха мъжете им и като се научиха, че едесците са се отметнали от тях и че жените им са пленнички, избягаха обратно при краля на трибалите. Когато тия, които бяха все още във Фере, се научиха, че императорът е поел пътя за Солун, предположиха с увереност, че градът ще мине на негова страна, а за сигурност изпратиха тристата души, за да държат здраво акропола. А когато научиха, че и Солун е минал на страната на императора и че едни от тристата души са загинали, а други са били пленени от царските войски, загубиха вече всякаква надежда за спасение. И преди да стане на всички известно случилото се, те взеха колкото имаше войска и тръгнаха уж за Солун, представяйки работата така, че още не е завзет, за да не изглежда, че бягат, изоставяйки Фере и другите градове на Македония, а в същност, за да могат всички да отидат, където са им жените и децата. Когато напуснаха Фере, потеглиха на път с тези солунчани, които воюваха заедно с тях, но като узнаха, че градът е превзет, отделиха се от тях и минаха на страната на императора. И верейците, като се научили за случилото се във Воден, направиха същото със солунчаните. Войската на мизите, подчинена на ромеите, която воюваше заедно с тях вече открито, се разбунтува. Като се натъкнаха на огромните стада на протовестиария, разграбиха ги в негово присъствие и си ги присвоиха. А когато той се опита да си върне заграбеното, те не само не се съгласиха, но и взеха коня на едного от обоза, показвайки на дело, че ако не е доволен, ще тръгнат и срещу него. И цялата останала войска и знатните, дошли от западните градове, тъй като положението на императора стана ясно, изоставиха военачалниците и всички си отидоха у дома. А протовестиарият се уплаши да дойде в Охрид (там бе оставил съпругата и децата си), когато отиваше срещу императора заедно с войската, и заедно с деспота и останалите на брой 150 души се отправи при краля, архонта на трибалите. А тези от Фере, които следваха от Византион деспота и другите военачалници, когато бяха изоставени там от отстъпващите, заловиха и ограбиха всичко и ги заведоха оковани при императора. А императорът, когато научи, че отиват за Едеса, напусна Солун и на втория ден пристигна там. Едесците излязоха всички, поклониха се на императора и предадоха градчето. Императорът уреди всичко, както беше решил: колкото пари имаше там на деспота и на другите стратези, той нареди тези, които προσέταξεν αὐτάς, καὶ μηδένα ἀδικεῖν, ἃ δ' ἂν ᾖ τῶν ἀνδρῶν, αὐτῷ μηνυθῆναι, ὡς ἂν αὐτὸς διαγνῷ περὶ αὐτῶν. αἱ μὲν οὖν ἄλλαι τὰ ἴδια μεμηνύκεσαν καὶ τὰ τῶν ἀνδρῶν, βασίλισσα δὲ ἡ τοῦ δεσπότου γαμετὴ, δείσασα μὴ τὰ χρήματα ἀφαιρεθείη, ὀλίγα μὲν ἐκ τῶν ἐνόντων ἐποίησε φανερὰ, τὰ πλείω δὲ μοναχῷ τινι παρακατέθετο φυλάττειν. καὶ διέλαθόν γε ἄχρι καιροῦ· ἔπειτα φωραθέντος τοῦ μοναχοῦ μετὰ χρόνον τινὰ ὑπὸ τῶν ἐπιτροπευόντων ἐν ἐκείνοις τοῖς χωρίοις, ἄλλοτε ἄλλα διηρπάσθη. ἐπεὶ δὲ ἀνηνέχθη τῷ βασιλεῖ περὶ τῶν χρημάτων, τά τε ἴδια καὶ τὰ τῶν ἀνδρῶν προσέταξεν ὁ βασιλεὺς ἔχειν τὰς γυναῖκας, ὡς ἂν ἔχοιεν καὶ τοῖς ἀνδράσι χορηγεῖν ἐπὶ τῆς ξένης· αὐτὰς δὲ ἐκ Βοδηνῶν ἀχθῆναι εἰς Θεσσαλονίκην, κἀκεῖθεν εἰς Διδυμότειχον, ἵν' ἐκεῖ συνδιάγοιεν τῇ βασιλίδι. καὶ ἐπληροῦτο τὰ κεκελευσμένα.

I, 55. Εἰς τὴν ὑστεραίαν δὲ ἀπάρας ἐξ Ἐδέσσης, ἦλθεν εἰς Καστορίαν· καὶ εἰσεδέξατο αὐτὸν ὁ ταύτης ἐπιτροπεύων Ἄγγελος χαίρων, καὶ παρέδωκε τὴν πόλιν. ἦν γὰρ δὴ καὶ πρότερον τὴν ἄφιξιν προσδεχόμενος αὐτοῦ, ἐξ ὅτου πρὸς αὐτὸν ἐκ Θεσσαλονίκης προστάγματά τε ἐκείνου καὶ τοῦ μεγάλου δομεστίκου γράμματα ἐπέμφθη, καὶ τὴν πόλιν εἶχεν ἐν φυλακῇ ἕνεκα αὐτοῦ. μεταξὺ δὲ τὴν πρὸς Καστορίαν ὁδεύων ὁδὸν, τόν τε Βοησίλαν τῶν Μυσῶν δεσπότην καὶ Βρυέννιον τὸν μέγαν δρουγγάριον καὶ Ἐξώτροχον τὸν μέγαν ἑταιρειάρχην ἅμα δισχιλίοις ἱππεῦσι στρατιώταις ἀπολεξάμενος, τὴν πρὸς Ἀχρίδα ἐκέλευσεν ἰέναι, εἴ πως δυνηθεῖεν τὸν πρωτοβεστιάριον φθάσαντες παρελθεῖν εἰς αὐτήν. καὶ βαδίσαντας συντόνως, ἐπεὶ προτεραίᾳ ἦλθον, εἰσεδέξαντο αὐτοὺς οἱ Ἀχριδηνοὶ ἀνοίξαντες τὰς πύλας· ἤδη γὰρ ἅπαντα ἀφίσταντο πρὸς βασιλέα τὸν νέον, καὶ ἀναγκάζοντος μηδενός· πρωτοβεστιάριος δὲ ἐπεὶ ὑστέρησε, πυθόμενος ἑαλωκυῖαν τὴν Ἀχρίδα, τὰς σωζούσας ἐλπίδας ἀπογνοὺς, ηὐτομόλησε μετὰ τῶν ἄλλων εἰς Κράλην. καὶ ἐπεχείρουν πείθειν αὐτὸν, πόλεμον ἄρασθαι πρὸς βασιλέα, εἴ πως δι' αὐτοῦ δυνηθεῖεν ἀναμαχέσασθαι τὴν ἧτταν. καὶ πεισθεὶς αὐτοῖς, ἦλθεν ἄχρι μεθορίων τῆς αὑτοῦ καὶ Ῥωμαίων γῆς, στρατὸν ἐπαγόμενος πολύν. βασιλεὺς δὲ ἡμέραν μίαν αὐλισάμενος ἐν Καστορίᾳ, ἄρας ἐκεῖθεν, ἦλθεν εἰς Ἀχρίδα. καὶ ἐκέλευσε τὴν πρωτοβεστιαρίου γαμετὴν ὅσα ἔχει χρήματα λαβοῦσαν, εἰς Θεσσαλονίκην ἐλθεῖν, ὡς ἅμα ταῖς ἄλλαις ἀφιξομένην εἰς Διδυμότειχον. ἡ δὲ ὑποπτεύσασα, μὴ οὐκ ἀληθῆ τὰ λεγόμενα ᾖ, καὶ δείσασα περὶ τοῖς χρήμασι, τοῖς φίλοις παρακατέθετο φυλάττειν· αὐτὴ δὲ ἰσχυρίζετο μηδὲν ἔχειν. ἐκείνη μὲν οὖν ὡς εἶχεν ἅμα

са на жените, те да си ги вземат и никой да не бъде обиждан, а тези, които са на мъжете, да му се докладва, та той да реши за тях. Останалите жени показаха своите и на мъжете си пари, а госпожа съпругата на деспота се уплаши да не загуби парите и обяви малко от наличните пари, а повечето повери на един монах да ги пази. И остана скрито за известно време: когато след време монахът бе разобличен от управниците по ония места, всичко бе разграбено на различни страни. А когато случаят с парите бе съобщен на императора, той заповяда жените да задържат своите и на мъжете си пари, та да има с какво да подпомогнат мъжете си в чужбина. А те да бъдат доведени от Воден в Солун, оттам в Димотика, за да бъдат заедно с господарката. И заповедта бе изпълнена.

I, 55. На следния ден той се вдигна от Едеса и пристигна в Кастория. И управителят ѝ Ангел го прие с радост и му предаде града. Защото очакваше пристигането му и по-рано, от момента, когато му бяха изпратени от Солун неговите разпореждания и писмата на великия доместик, и пазеше града за него. А междувременно императорът пое пътя за Кастория и като отдели Войсил, деспота на мизите, и Вриений, велик друнгарий[86], и Ексотрох, велик хетериарх[87], заедно с 2000 конници, заповяда им да отидат в Охрид, та ако успеят да преварят протовестиария, да влязат в града. И вървейки бързо, те пристигнали един ден по-рано и били приети от охридчани, които им отворили вратите. Защото всички минаха на страната на младия император, без да ги принуди някой. А протовестиарият закъсня и понеже научи, че Охрид е завзет, загуби всякаква надежда, която го крепеше, и избяга заедно с другите при краля. И започна да го убеждава да започне война против императора, та ако може с негова помощ да поправи поражението. Кралят бе убеден от тях и дойде с голяма войска до границата между своята и ромейската земя. А императорът, като прекара един ден в Кастория, вдигна се оттам и дойде в Охрид. И заповяда съпругата на протовестиария да вземе колкото пари има и да отиде в Солун, за да замине заедно с другите в Димотика. Тя обаче подозираше, че казаното не е истина, и като се уплаши за парите, даде ги на приятелите да ги пазят. Сама твърдеше, че няма нищо. А тя, както си беше, заедно с καὶ ἑτέραις γυναιξὶν ἤχθη εἰς Θεσσαλονίκην. καὶ μετὰ μικρὸν εὕρηνται αὐτῆς παρά τινι κεχρυμμένα κόσμοι τε γυναικεῖοι καὶ ἕτερ᾿ ἄττα, χρυσίων δισμυρίων ἄξια τιμῆς· ὀλίγαις δὲ ὕστερον ἡμέραις προσελθών τις τῷ μεγάλῳ δομεστίκῳ καὶ ἀναμνήσας παλαιᾶς τινος εὐεργεσίας, ἣν ὑπ᾿ αὐτοῦ ἦν πεπονθὼς, ἔλεγε δίκαιον εἶναι καὶ αὐτὸν ὅ,τι ἂν δύναιτο ἀντευποιεῖν, καὶ ἐμήνυεν αὐτῷ, ὡς εἰδείη τοῦ πρωτοβεστιαρίου χρήματα ὅπου κρύπτοιτο πολλά. πέμψας δὲ ὁ μέγας δομέστικος τῶν πιστοτάτων οἰκετῶν τινα, ὑφηγουμένου τοῦ μεμηνυκότος, τὰ χρήματα ἤχθη πρὸς αὐτὸν ἐν δυσὶ κιβωτίοις, ἐν οἷς ἦν ἀγγεῖόν τι ἐκ χαλκοῦ πεποιημένον, δισχιλίους καὶ μυρίους ἔχον χρυσοῦς, καὶ ζῶναι καὶ ἐκπώματα ἐκ χρυσοῦ πεποιημένα καὶ ἄργυρος ἄσημος καὶ γυναικεῖοι κόσμοι καὶ ἕτερ᾿ ἄττα τετρακισμυρίων ἄξια χρυσίων. τῷ μὲν οὖν τὰ χρήματα μεμηνυκότι λόγοις τε ὁ μέγας δομέστικος ὡμολόγει χάριτας καὶ ἔργοις ἐποίει εὖ· βασιλεῖ δὲ προσελθὼν, τά τε χρήματα ἐμήνυεν ὡς εὕρηνται, καὶ ἐδήλου καὶ τὸν ἀριθμόν. βασιλέως δὲ „οὐκοῦν" εἰπόντος „σὲ τὸν εὑρηκότα δίκαιον ἔχειν" „ἀλλ᾿ οὔτε πρότερον" εἶπεν αὐτὸς „ἐν τοῖς τοῦ πολέμου καιροῖς οὔτε πλείω οὔτ᾿ ἐλάττω χρήματα ἀφειλόμην τινὸς, ὥσπερ οἶσθα καὶ αὐτός· οὔτε τούτων ἂν ὀφθείην ἥττων νῦν." „ἀλλ᾿ οὐδὲν" ἔφη „θαυμαστὸν" ὁ βασιλεὺς „εἰ πολλὰ ὑπ᾿ αὐτῶν ἀφῃρημένος καὶ μάλιστα πρωτοβεστιαρίου τουτουῒ, ὀλίγα ἄττα ἐκ τῶν αὐτοῦ ὠφεληθήσῃ." „αὐτὸ μὲν οὖν τοῦτο μᾶλλον" εἶπε „θαυμαστὸν, εἰ πολλὰ ὑπ᾿ αὐτῶν καὶ μάλιστα κατὰ τὸν δεύτερον πόλεμον ζημιωθεὶς, καιροῦ παρασχόντος, οὐκ ἠθέλησα ἀμύνασθαι τοῖς ἴσοις, νυνὶ δὲ ὀλίγων ἕνεκα χρημάτων τό,τε ἐξ ἀρχῆς ἦθος διαφθερῶ καὶ ἥττων ἀδίκου λήμματος καὶ κέρδους ἂν φανῶ· ἀλλὰ μᾶλλον αὐτὰ στρατιώταις καὶ ἄλλοις οἷς ἂν ἐθέλῃς κέλευσον διανεμηθῆναι." βασιλεὺς μὲν οὖν ἐπείθετο εἰπόντι, καὶ τὸν χρυσὸν ὅσος ἦν ἐκέλευσε διανεμηθῆναι τῇ στρατιᾷ· ὅσα δὲ ἦν ἔπιπλα καί τινα ἐκ τῶν σκευῶν τῶν εὐπατριδῶν διεδόθη τισὶ, καὶ τὰ λειπόμενα τῷ βασιλικῷ προσήχθη ταμιείῳ. ὀκτὼ δὲ ἡμέραις τῇ Ἀχρίδι ἐνδιατρίψαντα βασιλέα οἵ τε τὰς Δευβόλεις νεμόμενοι Ἀλβανοὶ νομάδες καὶ οἱ τὰς Κολωνείας, ἔτι δὲ καὶ οἱ Ἀχρίδος ἐγγὺς, προσεκύνησαν ἐλθόντες καὶ δουλεύειν ἐπηγγείλαντο προθύμως. τοὺς δὲ πόῤῥω κατῳκισμένους πρὸς ἐσχατιαῖς τῆς Ῥωμαίων ἡγε-

---

[86] Великият друнгарий бил началник на флотата. Вж. Bréhier, op. cit., p. 126, 302, 357.

[87] Велик хетериарх, началник на императорската гвардия. Вж. Bréhier, op. cit., p. 127, 354.

други жени бе отведена в Солун. И след известно време у някого се намериха нейни скрити женски украшения и други подобни на стойност 20 000 жълтици. Няколко дни по-късно един човек дойде при великия доместик и му напомни за някакво старо благодеяние, което му бил направил, и каза, че е справедливо и той да му се отблагодари, както може. Съобщи му, че знае къде са скрити многото пари на протовестиария. А великият доместик изпрати един от най-верните си хора, воден от вестителя, и му бяха донесени парите в две сандъчета. В тях имаше медно гърне с 12 000 жълтици, пояси и чаши, направени от злато, и сребро на кюлчета, и женски украшения и други подобни на стойност 40 000 жълтици. Великият доместик изказа благодарност на този, който му съобщи за парите и го облагодетелствува на дело. А като отиде при императора, съобщи му как са открити парите и даде сведение за количеството. Когато императорът каза: „Справедливо е да ги притежаваш, ти, който си ги намерил", доместикът отговори: „Но по-рано не съм взимал ничии пари по време на война, нито повече, нито по-малко, както сам знаеш. И не бих желал да ме видят, че парите са ме надвили." „Нищо чудно, рече императорът, ако и ти вземеш малко от неговите пари, тъй като си бил много ощетен от тях и найвече от протовестиария." Доместикът каза: „Това би било още по-чудно, след като съм бил ощетен много от тях и най-вече при втората война, когато ми се удаде случая да се отплатя със същото, а сега заради малко пари да погазя стария си нрав и да се покажа победен от незначително възмездие и печалба. Но по-скоро заповядай парите да се раздадат на войниците и на някои други, на които пожелаеш." Императорът бе убеден от думите му и заповяда, колкото злато имаше, да се разпредели на войската. А колкото имаше покъщнина и други неща от имуществата на знатните, то бе дадено на други, като остатъкът бе докаран в царската хазна. Албански номади, които живееха около Девол[88] и други около Колония[89] и тези близо до Охрид, като дойдоха при императора, който прекара осем дни в Охрид, поклониха се и дали дума да му служат доброволно. А обитателите на далечните покрайнини на ромейската държава той повика чрез царски

---

[88] Девол, град при река Горни Девол, Корчанско. Вж. В. Златарски, Де се е намирал гр. Девол, Известия на историческото дружество, V (1922), с. 40—45. [89] Колония, град западно от Костур, в западните поли на планината Грамос.

μονίας γράμματα ἐκάλει βασιλικὰ πρὸς Θεσσαλονίκην ἐλθεῖν, ὡς προσκυνήσοντας ἐκεῖ· καὶ οὐ πολλῷ ὕστερον ἦλθον. ὁ μέντοι Κράλης ἅμα στρατῷ παντὶ τῷ ὑπ' αὐτὸν ἐν μεθορίοις τῆς αὐτοῦ καὶ Ῥωμαίων ἡγεμονίας ὤν, ὑπὸ μὲν τῶν φυγάδων Ῥωμαίων ὁσημέραι παρεκαλεῖτο κατὰ βασιλέως ἐλθεῖν καὶ μαχην συνάπτειν, ὑπήκουε δὲ οὐδαμῶς, δεδιὼς μὴ οὐ κατὰ γνώμην αὐτῷ τὰ πράγματα χωρήσῃ. περιέμενε δὲ τὸν Χρέλην, ὃς ἦν ἐν Φεραῖς, Ῥωμαίοις κατὰ τοῦ νέου βασιλέως συμμαχῶν, (ἔτι γὰρ ἀπῆν,) παρ' αὐτοῦ περὶ βασιλέως καὶ τῆς ὑπ' αὐτὸν στρατιᾶς βουλόμενος πυθέσθαι, εἰ ἐπιχειρητέα εἴη ἢ μή. ἐπεὶ δὲ ἀφῖκτο, ἐπυνθάνετο αὐτοῦ ὁ Κράλης, εἰ πρὸς βασιλέα πολεμητέον εἴη· ὁ δὲ συνεβούλευεν, εἰρήνην μᾶλλον ἄγειν καὶ μὴ τὸν οὐκ ὄντα πόλεμον ἑαυτῷ καὶ ὑπηκόοις ἐπάγειν. βασιλέα γὰρ αὐτὸς ἔλεγεν ἐν Φεραῖς ἑωρακέναι ἄγοντα μὲν στρατὸν οὐ πάνυ πολὺν, τοσοῦτον δὲ τὰ πολέμια ἐξησκημένον καὶ ἵπποις τε καὶ ὅπλοις διακεκοσμημένον ἐκπρεπῶς, ὡς ἔκπληξιν καὶ ἀπὸ μόνης ὄψεως παρέχειν· οὕτω δὲ ἀθορύβως καὶ εὐτάκτως ἑπόμενον τοῖς ἡγεμόσιν, ὡς δοκεῖν οὐ πολλοὺς, ἀλλ' ἕνα ὄντα τῶν τε παραγγελμάτων ἀκούειν καὶ σπουδῇ τὰ κελευόμενα ποιεῖν. „ἀνδρίας δὲ τοσοῦτον αὐτοῖς περίεστι καὶ τόλμης, ὡς, καίτοι τῶν ἀντιτεταγμένων ὄντες ἐλάσσους πολλῷ, καὶ ἐπιόντες αὐτοῖς παρὰ πόλιν οἰκείαν στρατοπεδευομένοις, οὔτε ἔδεισαν οὔτε ἐθορυβήθησαν οὐδαμῶς· ἀλλὰ ἐγγὺς γενόμενοι Φερῶν ὅσον συναναμίγνυσθαι αὐτοῖς, ἔστησαν ἀνάπλεῳ ὁρμῆς διὰ πάσης τῆς ἡμέρας προκαλούμενοι ἐς μάχην. ἐπεὶ δὲ οὐδεὶς αὐτοῖς ἀντεπεξῄει, μικρὸν ἐκκλίναντες, ηὐλίσαντο τὴν νύκτα, καὶ ἐς τὴν ὑστεραίαν πάλιν φραξάμενοι ἅμα ἕῳ, ὡς ἐς μάχην ἔστησαν παρατεταγμένοι, καὶ πέμψαντες ἡμᾶς προὐκαλοῦντο ἐς τὴν μάχην· ἡμῶν δὲ οὐδὲ ἀντιβλέπειν ὑπομενόντων καὶ φανερῶς τὴν συμπλοκὴν ἀπειπαμένων, ἀναστρέψαντες μεθ' ὅσης ἂν εἴποις τῆς εὐταξίας, ἐστρατοπεδεύσαντο ἐν Ζίχνα. τῇ δὴ οὕτω πανταχόθεν συγκεκροτημένῃ στρατιᾷ, καὶ ὑπὸ στρατηγοῖς ἀγομένῃ πολλοῖς τε καὶ ἀγαθοῖς, ἀνάγκης χωρὶς οὐκ ἂν συγχωρήσαιμι συμπλέκεσθαι ἐγώ. νυνὶ δὲ καὶ τῆς ἑσπερίου στρατιᾶς ἁπάσης, πολλῆς τε καὶ αὐτῆς καὶ ἀγαθῆς οὔσης, προσκεχωρηκυίας βασιλεῖ, ἔτι μᾶλλον ἀπορώτερα τὰ πρὸς τὸν πόλεμον αὐτῶν καθέστηκε.” Τοιαῦτα εἰπόντος τοῦ Χρέλη, ὅ,τε Κράλης ἐπείθετο καὶ οἱ ἄλλοι ἡγεμόνες τῆς στρατιᾶς, καὶ ἤδη ἀπέσχοιντο ταῖς γνώμαις τοῦ πρὸς βασιλέα πολεμεῖν· ἔμενον δὲ ὅμως ἐπὶ τῆς

писма да дойдат в Солун, за да му се поклонят там. И малко по-късно те дойдоха. Кралят пък заедно с цялата си подчинена войска се намираше в пограничните области на своята и на ромейската държава и беше ежедневно подбуждан от ромейски бегълци да потегли срещу императора и да започне сражение. Той обаче не се съгласи по никакъв начин, защото се уплаши да не би работите да не тръгнат по неговия план. Той очакваше Хрельо, който бе във Фере като съюзник на ромеите срещу императора (защото още го нямаше). Той искаше да научи от него за императора и за подчинената му войска, дали трябва да нападне или не. А когато пристигна, кралят се осведомяваше от него дали ще воюва срещу императора. А онзи го съветваше, че е по-добре да пази мира и да не докара за себе си и за подчинените войната, която още не е избухнала. Той казваше, че видял императора във Фере с малка войска, но така упражнена във военните работи и много добре екипирана с коне и оръжие, че и от пръв поглед внушавала страх. Тя така спокойно и дисциплинирано следвала началниците си, та изглеждало, че не множина, а един, който получавал нарежданията, бързо изпълнявал заповяданото. „А тя се отличава с такова мъжество и смелост, че макар да бяха много по-малко от противниците, не се уплашиха и никак не се смутиха, когато последваха тия, които се бяха разположили на лагер край града си. Но като дойдоха близо до Фере, колкото да могат да влязат в стълкновение с тях, застанаха на едно място, изпълнени с желание за нападение, и през целия ден ги приканваха за сражение. А когато никой не им излезе насреща, отклониха се малко настрана и прекараха там нощта. На следния ден рано сутринта те отново се върнаха и застанаха наредени като за сражение. Те пратиха хора и ни призоваваха за сражение. Тъй като ние не можахме да издържим дори погледа им и явно се отказахме от сражението, те се върнаха в пълен ред, както би казал, и се разположиха на лагер в Зихна. Аз никога не бих позволил без нужда да влезем в бой с така събраната войска отвсякъде и водена от много и добри военачалници. А и сега, когато цялата войска от Запад, която е голяма и храбра, мина на страната на императора, условията са още по-неизгодни да се бием.“ След като Хрельо каза това, кралят и другите военачалници на войската се убедиха и се отказаха от намерението си да воюват с императора. Същеαὐτῆς στρατοπεδείας. βασιλεὺς δὲ ἐκ τῆς Ἀχρίδος μετὰ ὀγδόην ἡμέραν ἄρας, ἦλθεν εἰς Πελαγονίαν, τὴν εἰς Καστορίαν ἐκλιπὼν ὁδὸν, ἅμα μὲν, ἵνα καὶ τὰ ἐκεῖ περιποιήσηται πολίχνια καὶ τὴν ἄλλην χώραν, ἅμα δ', ἐπεὶ καὶ τὸν Κράλην ἐν ὁρίοις πύθοιτο τῆς σφετέρας ἀρχῆς εἶναι, ἵνα μὴ δοκοίη φόβῳ τῷ πρὸς αὐτὸν ἀποσχέσθαι τῆς ὁδοῦ. οἱ μέντοι Ῥωμαίων φυγάδες ὡς ἐπύθοντο διὰ Πελαγονίας ἰέναι βασιλέα, τῷ Κράλῃ προσιόντες, ἠνάγκαζον συμπλέκεσθαι βασιλεῖ, ἤδη οὐ πολὺ ἀπέχοντι αὐτῶν. ὁ Κράλης δὲ ἀπεκρίνατο, μήτε νῦν μήτε εἰσαῦθις ἑκὼν πολεμήσειν βασιλεῖ, ἐὰν μὴ αὐτὸς ἐπίῃ· αὐτοῖς δὲ τὴν δυνατὴν βοήθειαν εἰσενηνέχθαι, δυοκαίδεκα τάγματα ἅμα στρατηγοῖς παρασχόμενος ἐν Φεραῖς αὐτοῖς ἐπικουρεῖν. νυνὶ δὲ αὐτῷ καὶ τούτου ἕνεκα μεταμέλειν, ὅτι πρὸς οὐδὲν ἠδικηκότα πόλεμον ἤρατο ἐξ αἰτίας οὐδεμιᾶς. βασιλέας δὲ Ῥωμαίων πρὸς ἀλλήλους διαφερομένους, αὐτοὺς ἂν εἰδέναι, ὅπως τε πολεμήσουσιν ἀλλήλοις καὶ καθότι ξυμβήσονται, ἐμὲ δὲ μηδὲν ὑπ' οὐδενὸς ἠδικημένον, οὐδ' αὐτὸν πολεμήσειν οὐδενὶ, ἕως ἂν μὴ ἀδικῶμαι. οἱ μὲν οὖν τοιαύτης τυχόντες τῆς ἀπολογίας, καὶ τῆς μόνης ὑπολειπομένης ἐλπίδος σβεννυμένης, ἐθορυβοῦντο σφοδρῶς. οὐ μὴν ἀπέσχοντο τοῦ μὴ σφόδρα μετὰ σπουδῆς πολλῆς πρὸς τὸν κατὰ βασιλέως πόλεμον τὸν Κράλην ἐξορμᾶν. πείθειν δὲ ἐπιχειροῦσι καὶ δεομένοις μὴ ἐᾷν αὐτοὺς ἀτιμωρήτους, ἐπεὶ καὶ τῶν Τριβαλῶν παρῆσαν οἱ ἐν τέλει, „οὐ δέον," εἶπον „ὦ οὗτοι, αὐτούς τε εἰκῆ καὶ μάτην κατατρίβεσθαι ἐπιχειροῦντας ἀνηνύτοις, καὶ ἡμᾶς ἀποκναίειν ἃ μὴ προσήκει δεομένους. πρότερον γὰρ ἐχρῆν, τοῦ πρὸς βασιλέας τοὺς ὑμῶν δεσπότας πολέμου κινουμένου, αὐτοὺς πᾶσαν πρόφασιν σκανδάλου περιαιρεῖν καὶ τὴν εἰρήνην ἐκ παντὸς τρόπου ἑαυτοῖς τε καὶ τοῖς ἄλλοις ἐκπορίζειν, εἰδότας, ὡς τοῦτο αὐτὸ βασιλεῦσί τε καὶ ὑμῖν καὶ τῷ κοινῷ λυσιτελεῖ Ῥωμαίων. ὑμεῖς δὲ τοὐναντίον ἅπαν αὐτοί τε ἐφαίνεσθε ποιοῦντες καὶ τοῖς ἄλλοις παραινοῦντες. τὰς γὰρ πόλεις ἁπάσας περιϊόντες, τοὺς μὲν τῷ πρεσβυτέρῳ βασιλεῖ τὸν πρὸς βασιλέα τὸν νέον πόλεμον συναιρομένους ἐπῃνεῖτέ τε καὶ ἐπηγγέλλεσθε θαυμάσι' ἄττα, τοὺς δὲ τὴν εἰρήνην ἄγειν αἱρουμένους καὶ τοὺς ἄλλους πείθοντας, ὡς τὰ τοῦ νέου βασιλέως πράττοντας ἐπίσης ἐχρῆσθε πολεμίοις, καὶ τὸν πόλεμον ἐγείρειν ἐσπουδάζετε τρόπῳ παντί. ἃ οὖν ἐσπουδάζετε τότε, στέργοιτ' ἂν παρόντα νῦν δι-

временно обаче останаха в същия военен лагер. А императорът след осем дни напуснал Охрид и отиде в Пелагония[90], като изостави пътя за Кастория, от една страна, за да си подчини тамошните градчета и останалата област, а, от друга страна, понеже се научи, че кралят се намира в пределите на неговата държава, за да не изглежда, че от страх пред него се е отклонил от пътя. А ромейските бегълци, като узнаха, че императорът е потеглил през Пелагония, отидоха при краля и го подтикваха да влезе в бой с императора, който не бил далеч от тях. А кралят отвърна, че нито сега, нито след това по собствен начин ще воюва с императора, ако сам той не нападне. На тях им дал възможната помощ, като им предал във Фере дванадесет тагми[91] заедно със стратезите[92] да им помагат. Сам се разкайвал и по тази причина, че без всякакъв повод бил започнал война срещу този, който с нищо не го бил обидил. „Ромейските императори враждуват помежду си и сами знаят как ще воюват едни с други и кога ще се споразумеят, а аз, който не съм онеправдан от никого, и сам не ще воювам с никого, докато не бъда засегнат." Като получиха такъв отговор и понеже единствената останала надежда изчезна, те силно се обезпокоиха. Те не преставаха силно и с голямо желание да подбуждат краля към война срещу императора. Тъй като присъствуваха и знатните трибали, те казаха на тия, които се опитваха да го убедят, да не ги оставят неотмъстени: „Вие не трябва сами излишно и безразсъдно да се морите, като се заемате с напразни неща, и нас да измъчват и да искате това, което не е позволено. Защото трябваше по-рано, когато бушуваше войната между императорите, ваши господари, да унищожите всякакъв повод за гняв и да предложите по всякакъв начин мир за себе си и за другите, като знаете, че това е полезно за императорите, за вас и за ромейската държава. А вие, изглежда, направихте всичко обратно и поощрявахте другите. Защото, като обикаляте всички градове, подбуждате сътрапниците на стария император към война с младия император и обещавате всякакви чудеса, а тия, които предпочитат мира и убеждават в това и другите, вие ги третирате наравно като врагове, понеже са привърженици на младия император. Това, за което тогава се стараехте да сполучите, сега понасяте ικαίως. ἡμεῖς δὲ Κράλῃ τῷ ἡμετέρῳ παραγγέλλομεν δεσπότῃ, μὴ πρὸς βασιλέα πόλεμον κινεῖν, μηδὲ ἀδικεῖν ἐθέλειν προεπιχειροῦντα, λογιζόμενον, ὡς καὶ παρὰ θεῷ τίσις ἐστὶ τοῖς ἀδίκως πραττομένοις τοῖς ἀνθρώποις· ἐὰν δὲ αὐτὸς ἐπίῃ, ἀμύνεσθαι παντὶ σθένει. εἰ μὲν οὖν πείθοιτο ἡμῖν βουλευομένοις, καλῶς ἂν ἔχοι· εἰ δ' οὖν, ἀλλ' αὐτὸς ἀπελθὼν διαφερέτω τὸν πόλεμον μόνος, συμπαραλαβὼν ὑμᾶς· ἡμῶν γὰρ ἀφίξεται οὐδείς." Τοιαῦτα εἰπόντων τῶν Τριβαλῶν, ὁ Κράλης τε ἐπείθετο καὶ πρὸς τοὺς Ῥωμαίους φυγάδας εἶπε· „τὴν μὲν διάνοιαν τῶν παρ' ἐμοὶ δυνατῶν ὁρᾶτε οἵαν ἔχουσι περὶ τοῦ πολέμου. ἐγὼ δὲ καὶ εἰ διὰ σπουδῆς τὸν πόλεμον ἦγον ἰδίων τινῶν ἕνεκα πρὸς βασιλέα διαφορῶν, ἀπεσχόμην ἄν, ὁρῶν αὐτοὺς οὕτως, ὥσπερ νῦν, διακειμένους· νυνὶ δὲ καὶ αὐτὸς οὐδὲν ἧττον αὐτῶν τὴν ἴσην ἔχω γνώμην περὶ τῶν πραγμάτων. διὸ οὐδὲ ἑλοίμην ἄν, ἐξὸν ἔξω τε κινδύνων εἶναι καὶ βεβαίως ἄρχειν τῆς σφετέρας, ἀδικεῖν τε δοκεῖν καὶ ἐν ἀδήλῳ καθίστασθαι κινδύνῳ, ἄλλως τε οὐδὲ τοῦ στρατεύματος ἐμοὶ παντὸς συνηθροισμένου. ὑμῖν δὲ πρὸς τὴν σωτηρίαν βοήθειαν εἰσενέγκοιμι ἂν ὅση δυνατή, καί, εἴγε βούλεσθε, πρὸς βασιλέα πρεσβείαν πέμψας, παραιτήσομαι ὑπὲρ ὑμῶν αὐτοῦ τὴν ὀργὴν ἐγώ. πρᾷος δὲ ὤν, ὡς ἀκούω, καὶ τοῖς προσκεκρουκόσιν ἕτοιμος πρὸς διαλλαγάς, συγγνώμην τε ἂν παράσχοι καὶ τὰς συμφορὰς οὐ μετρίως κουφιεῖ. εἰ δὲ τοῦτο ὑμῖν οὐκ ἀνεκτόν, ἀλλ' ἐγὼ πρὸς Μιχαὴλ τὸν βασιλέα Μυσῶν κηδεστὴν ὄντα ἐμὸν ὑμᾶς πέμψω, ὡς ἂν δι' αὐτοῦ πρὸς Βυζάντιον διασωθῆτε. καὶ τούτου δὲ ὑμῖν οὐ κατὰ γνώμην ὄντος, καὶ ἑτέραν ἔξεστι τραπέσθαι. εἰς Βενετίαν γὰρ ἀφιγμένοις, ῥᾳδίως ἐξέσται τριήρεσιν ἢ ὁλκάσιν ἐπανόδου πρὸς Βυζάντιον τυχεῖν. καὶ ἑτέραν δὲ ἐπὶ τούτοις ὑποθήσομαι ὑμῖν ἐλπίδα σωτηρίας. ἐπεὶ γὰρ Πρόσεκόν τε καὶ Πρίλλαπον καὶ Στρίμβιτζαν κατέχετε φρουραῖς, διανειμάμενοι τὰς πόλεις ταύτας, δυσαλώτους οὔσας διὰ καρτερότητα τειχῶν, καρτερεῖτε ἐν αὐταῖς, ἄχρις ἂν ὁ πρὸς ἀλλήλους τῶν βασιλέων εἴς τι πέρας πόλεμος ἀφίκηται." ἐπὶ τούτοις ἀμηχανία τε εἶχε τοὺς φυγάδας, καὶ ἀπαλλαγὴ κακῶν ἐφαίνετο ἐκ τῶν πραγμάτων οὐδεμία. ὅμως δὲ σκεψάμενοι ἐκ τῶν παρόντων εἵλοντο μᾶλλον ταῖς προειρημέναις ἐγκατακλεισθῆναι πόλεσι καὶ τὴν πολιορκίαν ὑπομένειν. καὶ πρωτοβεστιάριος μὲν ἅμα τισὶ τὸν Πρίλλαπον κατέσχε, τὸν δὲ Πρόσεκον Ἀσάνης ὁ Μιχαήλ, οἱ δὲ λοι-

---

[90] Пелагония, дн. гр. Битоля. [91] Тагма, войскова единица, наброяваща 400 души. Вж. Bréhier, op. cit., p. 353—354. [92] Със стратезиге, т.е. с военачалниците.

справедливо. Ние съобщаваме на нашия господар краля да не почва война против императора и да не иска да бъде несправедлив, като почне пръв, смятайки, че и от бога има наказание за несправедливо действуващите хора. А ако той го нападне, да се брани с всички сили. Ако се убеди от нашите съвети, добре би било. А ако не, то той да тръгне да води войната сам, като ви вземе заедно със себе си. Защото от нас никой не ще тръгне." Когато трибалите казаха това, кралят се убеди и рече на ромейските бегълци: „Виждате какво мнение за войната имат моите динати[93]. А аз, ако и да почнах войната прибързано с императора заради някои лични недоразумения, щях да се въздържа, ако ги виждах разположени така, както сега ги виждам. А сега и аз имам същото мнение за нещата като тях. Тъй като е възможно да бъда извън опасностите и да владея здраво своята земя, не бих предпочел да изглеждам, че съм несправедлив, и да рискувам, тъй като и без това цялата ми войска не е събрана. Аз бих предложил за спасението ви помощ, колкото е възможна. И ако искате, като проводя пратеници при императора, ще отклоня гнева му от вас. А бидейки милозлив, той е съгласен, както чувам, да се помири с тия, които са го обидили. Той би простил и би облекчил немалко страданията ви. Ако това е непоносимо за вас, то аз ще ви пратя при Михаил[94], царя на мизите, който е мой зет, та чрез него да се спасите във Византион. И това ако не ви хареса, тогава можете да тръгнете по друг път. Защото, като отидете във Венеция, лесно може да се върнете с военни или товарни кораби във Византион. И освен това ще ви предложа и друга надежда за спасение. Тъй като вие владеете с гарнизони Просек, Прилеп и Струмица[95], като си разпределите тези градове помежду си, които са труднодостъпни поради здравината на стените, дръжте се в тях, докато войната между императорите вземе някакъв край." При това положение безизходност обхвана бегълците и нямаше никакъв изход от лошото положение. Все пак, като обмислиха настоящото, предпочетоха да се затворят в споменатите градове и да издържат обсадата. И протовестиарият заедно с някои други получи Прилеп, Михаил Асен[96]—Просек, а останалите завзеха ποὶ Στριμβίτζης ἐκράτουν. καὶ Βασιλικὸς ὁ Νικηφόρος Μελενίκου ἐπιτροπεύων, ὑπὸ τοὺς αὐτοὺς χρόνους ἑαυτῷ περιεποίησεν εἰς ἀρχὴν, φάσκων, οὐδενὶ προσθήσεσθαι τῶν βασιλέων, ἄχρις ἂν ὁ πόλεμος καταλυθῇ.

---

[93] Динати, т.е. представителите на господствуващата феодална аристокрация във Византия. В случая сръбският крал назовава своите велможи „динати". [94] Българският цар Михаил III Шишман. [95] Просек, Прилеп и Струмица — градове в Цнтрална Македония. [96] Михаил Асен, племенник на Андроник II Палеолог. Вж. Cantacuzenus, op. cit., I, p. 234_{20}.

I, 56. Πρωτοβεστιάριος μὲν οὖν τῷ ἀδοκήτῳ πληγεὶς, ὡς ἐλέγετο, τῆς συμφορᾶς, καὶ μὴ φέρων τὴν κακοπραγίαν, ἐτελεύτησε μετὰ μικρόν. καὶ ἀποθανόντος αὐτοῦ, οἱ περιλειφθέντες ἑαυτούς τε καὶ Πρίλλαπον ἐνεχείρισαν βασιλεῖ· Ἀσάνην δὲ τὸν Πρόσεκον ἀφείλοντο οἱ Τριβαλοὶ κλοπῇ. βασιλεὺς δὲ ἐκεῖθεν εἰς Θεσσαλονίκην ἐλθὼν, καὶ ἀναγκαίων τινῶν πέρι ἡμέρας τινὰς αὐτῇ ἐνδιατρίψας, ὡς ἐδόκει ἀναγκαῖον εἶναι πρὸς Στρίμβιτζαν ἐλθεῖν, ἐξεστράτευσε πάλιν. καὶ γενόμενος ἐν αὐτῇ, τοὺς κατασχόντας ἐπιχείρει πείθειν, (βιάζεσθαι γὰρ οὐκ ἦν πολέμῳ διὰ καρτερότητα τειχῶν,) ἑαυτοὺς παραδιδόναι καὶ τὴν πόλιν. μὴ πειθομένων δὲ, ἀλλ' ἰσχυριζομένων τὴν πόλιν αὐτοὶ καθέξειν, ἄχρις ἂν ὁ πρὸς ἀλλήλους τῶν βασιλέων πόλεμος διαλυθῇ· ἐπεὶ οὐ προσεχώρει, ἄρας ἐκεῖθεν, ἦλθεν εἰς Μελένικον. τὰ ἴσα δὲ καὶ Νικηφόρου ἀποκριναμένου τοῦ Βασιλικοῦ, ἐπεὶ πρὸς πολιορκίαν τρέπεσθαι ἀδύνατος ἦν, ἄλλων ἀναγκαιοτέρων ἐπειγόντων, ἐπανέζευξεν εἰς Θεσσαλονίκην. γενομένῳ δὲ ἐκεῖ ἠγγέλθη ἐκ πρωτοστράτορος ἐπιτροπεύοντος τῆς Θρᾴκης, ὡς βασιλεὺς ὁ πρεσβύτερος ἥν τε εἶχε στρατιὰν ἐν Βυζαντίῳ καὶ ἑτέραν οὐκ ὀλίγην προσεκποριζόμενος, ἐκπέμψειε κατ' αὐτοῦ, ὑπὸ στρατηγῷ Ἀσάνῃ τῷ Κωνσταντίνῳ, παρὰ τὸν Μέλανα ποταμὸν στρατοπεδευομένου. γενομένης δὲ ἐκεῖ τῆς συμβολῆς καὶ τῆς μάχης ἀγχωμάλου ἐπιπολὺ διαμεινάσης, οἱ τοῦ νέου βασιλέως ὅμως ὑπερσχόντες, ἐτρέψαντό τε τοὺς ἀντιτεταγμένους καὶ τὴν δίωξιν ἐποιήσαντο ἄχρι Βυζαντίου. καὶ τοὺς μὲν ἀπέκτειναν αὐτῶν, τοὺς δὲ καὶ εἷλον ζῶντας πλὴν ὀλίγων ὅσοι διεσώθησαν εἰς τὴν πόλιν· ἑάλω δὲ καὶ ὁ στρατηγός. καὶ νικήσαντες περιφανῶς, ἀνεχώρησαν ἐπ' οἴκου. τούτων δὲ ἀγγελθέντων, τῆς μὲν νίκης ἕνεκα ὁ βασιλεὺς εὐχαριστηρίους εὐχὰς ἀπεδίδου θεῷ· ἐπιστραφεὶς δὲ πρὸς τοὺς παρόντας, (πολλοὶ δὲ ἦσαν,) οὐ μᾶλλον ἥδεσθαι ἔφη κρατησάντων τῶν σφετέρων, ἢ ὅσον ἀνιᾶται ἐπὶ τῇ τῶν ἀντιτεταγμένων ἥττῃ. „οὐ γὰρ μόνον ὅτι Ῥωμαῖοι οἱ πεσόντες, οὓς ἐχρῆν οὐ πρὸς ἀλλήλους, ἀλλ' ὑπὲρ ἀλλήλων βαρβάροις μαχομένους ἀποθνήσκειν, δίκαιον ἀλγεῖν, ἀλλ' ὅτι δέος, μὴ καὶ τῶν οἰκειοτάτων τινὲς ἢ τῶν φίλων ἦσαν οἱ ἀποθανόντες· καὶ τρίτον, ὅτι οὐχ ὑπὸ βαρβάρων τῶν φύσει πολεμίων, ἀλλ' ὑφ' ἡμῶν ἀνάλων-

Струмица. И Никифор Василик, който управляваше Мелник, по същото време си присвои властта, казвайки, че няма да се присъедини към никой от императорите, докато войната не свърши.

I, 56. Протовестиарият, поразен от внезапното нещастие, както се мълвеше, и като не можа да понесе злополучието, не след дълго умря. И след като той умря, оцелелите предадоха и себе си, и Прилеп на императора. А трибалите с измама завзеха Просек от Асен. Оттам императорът отиде в Солун и като прекара там няколко дни по неотложна работа, отново потегли на поход, понеже, изглежда, се налагаше да отиде в Струмица. И като пристигна там, опита се да убеди владеещите я да предадат себе си и града (защото не можеше да я превземе с война поради здравите стени). А те не се убедиха, но твърдо настояваха, че те ще владеят града, докато войната между императорите не престане. Понеже градът не се предаде, вдигна се оттам и дойде в Мелник. И Никифор Василик му отговори по същия начин. И притесняван от други по-тежки обстоятелства, той не беше в състояние да предприеме обсада и се оттегли в Солун. Когато пристигна там, бе известен от протостратора[97], който управляваше Тракия, че старият император бил изпратил срещу него войската, която имал във Византион, и друга немалка, която събрал, под командуването на стратега Константин Асен, който се намирал на лагер при р. Мелана[98]. Там станала схватка и понеже сражението твърде дълго останало нерешено, все пак привържениците на младия император надделели, обърнали в бягство неприятелите и ги преследвали до Византион. И едни от тях избили, а други взели живи освен малцина, които се спасили в града. Пленен бил и стратегът. И понеже явно били победили, върнали се по домовете си. Когато бе съобщено това, императорът въздаде богу благодарствени молитви заради победата. Той се обърна към присъствуващите (а те бяха множина) и каза, че се радва не толкова на своите, които излезли победители, колкото съжалява за поражението на противниците. „Справедливо е да тъгуваме не само защото падналите са ромеи, които трябваше да загинат, сражавайки се не помежду си, а с варвари заради всички ни, но и защото имаше опасност загиналите да бъдат от най-близките или от приятелите. И трето, понеже бяха погубени не от вар-

---

[97] Вж. бел. 85. [98] Мелана, т.е. Черна, река западно от Цариград.

ται τῶν πάνυ φιλούντων. καὶ ἐοικέναι ἡμᾶς νομίζω τοῖς ὑπὸ μανίας τῶν ἰδίων σαρκῶν ἐμφορουμένοις, οἳ οὐκ ἐπαινεῖσθαι, ἀλλ' ἐλεεῖσθαι δίκαιοι τῆς ἀτόπου τροφῆς. καί, τὸ δὴ μεῖζον, ὅτι οὐχ ὑπὸ Ἑλλήνων μόνον καὶ βαρβάρων τῶν ἀκουόντων δίκαιοι μισεῖσθαι τῆς εἰς ἀλλήλους παρανομίας, ἀλλ' ἄδηλον, εἴ τι καὶ τῶν γινομένων ἀρέσκει θεῷ, καὶ μὴ ἐπίσης οἵ τε ἀμυνόμενοι καὶ οἱ ἐπιόντες ἄξιοι τιμωριῶν παρ' αὐτῷ κριτῇ. ἐβουλόμην μὲν οὖν μὴ ἀπὸ Ῥωμαίων, ἀλλ' ἀπὸ βαρβάρων ἑστηκέναι τὸ τρόπαιον τοῖς ἡμετέροις, ἵνα εἶχον τῆς νίκης καθαρὰν τὴν ἡδονήν. ἐπειδὴ δὲ οὕτω τὰ ἡμέτερα ὑπὸ φθονεροῦ τινος δαίμονος συνεσκευάσθη, ὡς καὶ τὴν νίκην ἀλγηδόνος αἰτίαν φαίνεσθαι ἡμῖν, χάριτας ὁμολογῶ τῷ κρείττονι πολλάς, οὐ μόνον ὅτι τοῖς ἐμοῖς συνήρατο πρὸς τὴν νίκην, ἀλλ' ὅτι καὶ μηδεμίαν αἰτίαν αὐτὸς ἐν τῷ νυνὶ πολέμῳ οὐ μόνον παρεσχόμην, ἀλλὰ καὶ κινουμένου τὴν ἀρχήν, πολλὰ καὶ ἔπραξα ἄξια καὶ εἶπον λόγου, δεόμενος τὸν πόλεμον καταθέσθαι τοὺς κινοῦντας, εἰ καὶ καθ' ὑδάτων, τὸ τῆς παροιμίας, ἐδόκουν γράφειν.” Οἱ μὲν οὖν ἀκούσαντες, οὐ μόνον τῆς ἀγχινοίας ἐθαύμασαν τὸν βασιλέα, ἀλλὰ καὶ τοῦ μὴ φυσᾶσθαι μηδ' ἐπαίρεσθαι ἐν ταῖς εὐτυχίαις, ἀλλ' ἐν ταῖς τῶν πραγμάτων μεταβολαῖς ἴσον καὶ ὅμοιον παρέχειν ἑαυτόν. βασιλεὺς δὲ τόν τε πρωτοστράτορα γράμμασιν ἠμείβετο εὐχαριστηρίοις, καὶ τοὺς συνόντας αὐτῷ τῶν συγκλητικῶν τιμαῖς τε καὶ ἄλλαις εὐεργεσίαις, καὶ τοὺς στρατιώτας τοὺς μὲν ἐπιδόσει τῆς μισθοφορᾶς, τῶν ἐτησίων δὲ προσόδων τοὺς λοιποὺς μᾶλλον ἐπέρρωσε καὶ προθυμοτέρους πρὸς τὸ πολεμεῖν εἰργάσατο ὑπὲρ αὐτοῦ· αὐτὸς δὲ ἐν Θεσσαλονίκῃ ὑπογραφέας καταστήσας, δι' αὐτῶν διῴκει καὶ ἐξίσαζε τὴν ἑσπέραν, καὶ καταλόγους ἔτασσεν ἑτέρους πρὸς τοῖς οὖσιν, ὅπως πλείων γίγνοιτο ἡ στρατιά. ἐν τούτοις δὲ αὐτοῦ ἀσχολουμένου, πάλιν ἧκε γράμματα ἐκ πρωτοστράτορος μηνύοντα, ὡς ὁ πρεσβύτερος βασιλεὺς τῷ τῶν Μυσῶν βασιλεῖ Μιχαὴλ διάφορος πρότερον ὤν, νῦν πρὸς αὐτὸν τίθεται εἰρηνικὰς σπονδὰς καὶ συμμαχίαν· ἀγνοεῖν μέντοι τὰς ξυμβάσεις ἐφ' οἷς γίνονται αὐτοῖς, καὶ διὰ τοῦτο δέον ἐγνωκέναι τὴν μήνυσιν αὐτῷ ποιήσασθαι τῶν πραττομένων. βασιλεὺς δ' ἐπεὶ ἐπύθετο, συνῆκε μὲν τοῦ πρὸς αὐτὸν ἕνεκα πολέμου τὴν συμμαχίαν τῷ πάππῳ γεγενῆσθαι πρὸς Μυσούς, ἔγνω δὲ μὴ ἐκ πρώτης ἀκοῆς ἐκ τῆς ἑσπέρας ἀπανίστασθαι, ἀλλὰ μένειν τε ἔτι καὶ τῶν πραγμάτων καὶ τῆς στρατιᾶς πρόνοιαν ποιεῖσθαι, ἄχρις ἄν τι βεβαιότερον διδαχθῇ. ἡμέραις

вари, които са ни естествени неприятели, а от нашите най-близки. И аз мисля, че ние приличаме на тия, които изяждат от ярост собствената си плът. Не е редно те да бъдат похвалявани, а да бъдат съжалявани поради противоестествената храна. И нещо повече, те заслужават да бъдат мразени не само от елини и варвари, които чуват за беззаконието помежду ни, но е въпрос, дали се нрави нещо от ставащото на бога и дали не сме достойни за наказание от същия съдник еднакво и отбраняващите се, и нападащите. Аз бих желал да издигна трофей за нас не само върху ромеите, а върху варварите, за да получа удоволствието от чистата победа. А понеже някакъв завистлив демон докара до такова положение нашите работи, че и победата се явява за нас причина за скръб, въздавам много благодарности на Всевишния, тъй като не само помогна на моите хора да победят, но и защото не само не нося никаква вина в настоящата война, но и в самото ѝ начало, направих и казах много достойни за споменаване неща, като изисквах причинителите да прекратят войната, макар и да изглеждаше, че пиша на вода, според поговорката.“ Те, като чуха това, не само се учудиха на остроумието на императора, но и на въздържаността и умереността му в успехите, и на еднаквото му държане при превратностите на живота. А императорът отвърна с благодарствено писмо на протостратора и удостои с почести и други благодеяния сенаторите, които бяха на негова страна, а едни от войниците възнагради парично, останалите пък насърчи с годишни доходи и ги направи да бъдат разположени да воюват за него. Сам постави в Солун чиновници, чрез които управляваше и успокояваше Запада, и добави към съществуващите други списъци, за да увеличи войската. Когато беше зает с тия неща, от протостратора отново дойде писмо, с което известяваше, че старият император, който преди това беше враг на Михаил, царя на мизите, сега сключи с него мирен договор и военен съюз.[99] Той не знаел за каква цел са сключени споразуменията и затова сметнал, че трябва да му съобщи за станалото. Императорът, след като бе осведомен, разбра, че дядо му е сключил военен съюз с мизите против него, и реши да не се оттегля от Запада веднага при първия слух, но да чака още и да се погрижи за положението и войската, докато не научи δὲ ὕστερον ὀλίγαις πάλιν ἐκ πρωτοστράτορος ἀφικνεῖται γράμματα πρὸς βασιλέα μηνύοντα, ὡς αἱ πρὸς Μυσοὺς βασιλέως σπονδαὶ καὶ ἡ συμμαχία πέρας ἤδη ἔσχον, καὶ οἱ πράξαντες τὴν συμμαχίαν ἐκ τῶν πρὸς Μυσοὺς αὐτομόλων Ῥωμαῖοι ἐν Βυζαντίῳ εἰσὶν ἔτι. βουλευσαμένῳ δὲ μετὰ τῶν ἐν τέλει τῷ βασιλεῖ οὐκέτι διαμέλλειν ἐδόκει ἐν Θεσσαλονίκῃ, ἀλλὰ τάχιστα εἰς Βυζάντιον ἀπιέναι, πρίν τι νεωτερισθῇ. καὶ τῆς ἑσπέρας στρατηγὸν Συργὴν ντὲ Λεζιάνο τὸν Κύπριον, ὃς ὕστερον ῥὴξ Ἀρμενίας ἐγεγόνει, ἐξάδελφον αὐτῷ ὄντα μητρόθεν, καταστησάμενος, ἄρας ἐκ Θεσσαλονίκης αὐτὸς ἅμα τῇ στρατιᾷ, ἦλθεν εἰς Διδυμότειχον.

---

[136] Алемани, т.е. западноевропейски наемници. [137] Става дума за битката при Велбъжд (Кюстендил), станала на 28 юли 1330 г., където българите били разбити от сърбите. Вж. Бурмов, пос. съч., с. 268. [138] Динатите, т.е. велможите, болярите. [139] Сръбският крал Стефан Урош III Дечански. [140] Става дума за Теодора, сестра на византийския император Андроник III Палеолог, втората съпруга на Михаил III Шишман. [141] Кантакузин има пред вид Ана, сестра на сръбския крал Стефан Дечански, първата съпруга на Михаил III Шишман.

βασιλέως ἀδελφὴν ἀπελαθῆναι τῆς ἀρχῆς, δικαιοτέραν οὖσαν ἄρχειν, ἅτε τῆς Κράλη ἀδελφῆς ὑπὸ περιόντος ἔτι ἐκβληθείσης Μιχαήλ. ἐπεὶ δὲ ἐδέδοκτο ἀναχωρεῖν τοῖς τε προσχωρήσασιν ἀρτίως πολιχνίοις φρουρὰς ἐγκαταστησάμενος ὁ βασιλεὺς, τῶν τε λοιπῶν πέρι τὴν ἄκραν πόλεων ὅσης ἐδέοιτο πρόνοιαν ποιησάμενος, καὶ στρατιὰν ἅμα στρατηγῷ Συργιάντῃ καὶ τῆς ἄλλης ἑσπέρας ὄντι καταλιπὼν, ὥστε ἀμύνεσθαι ὑπὲρ αὐτῶν ἂν ἐπίωσιν οἱ Τριβαλοὶ, τὴν ἄλλην στρατιὰν ἀναλαβὼν, εἰς Ἀδριανούπολιν ἐπανῆλθεν· οὐ πολλαῖς δὲ ὕστερον ἡμέραις καὶ τὴν ἐπίλοιπον Ῥωμαίων στρατιὰν ὅση ἦν συναγαγὼν, ἐσέβαλεν εἰς τὴν Μυσίαν, καὶ τά τε ἄλλα μάλιστα τὴν χώραν δῃώσας καὶ ἐκ τῶν ὑπηκόων πόλεων Μυσοῖς τὴν Ἀγχίαλον καὶ Μεσημβρίαν καὶ Ἀετὸν Κτένιά τε καὶ Ῥωσόκαστρον καὶ Διάμπολιν παραστησάμενος ὁμολογίᾳ, εἰς Βυζάντιον ἐπανῆκε.

(I,pp.427_{11}—431_{20})

16. Principes Bulgarorum Alexandrum regem declarant. Bulgari fines Romanorum invadunt

II,26. *Ἅμα δὲ ἦρι ἀρχομένῳ γράμματα ἧκε βασιλεῖ ἐκ Βυζαντίου ἀγγέλλοντα, ὡς δύο τῶν παρὰ Μυσοῖς δυνατῶν, Ῥαξίνας ὁ πρωτοβεστιάριος καὶ Φίλιππος ὁ λογοθέτης, πρὸς τὴν βασιλεύουσαν αὐτῶν τοῦ Μιχαὴλ γαμετὴν, θείαν οὖσαν Κράλη τοῦ Στεφάνου, διαστασιάσαντες ἐξήλασαν τῆς ἀρχῆς· καὶ αὐτὴ μὲν φεύγουσα ἅμα τέκνοις, πρὸς Κράλην τὸν ἀδελφιδοῦν ἧκει. ἐκεῖνοι δὲ ἅμα καὶ τοὺς ἄλλους πείσαντες δυνατοὺς τῶν Μυσῶν, τὸν ἀδελφιδοῦν τοῦ προβεβασιλευκότος Μιχαὴλ, Ἀλέξανδρον τὸν Στρεαντζιμήρου ἀπέδειξαν βασιλέα ἑαυτῶν· ὃς ἅμα τῷ ἐγκρατὴς γενέσθαι τῆς ἀρχῆς τήν τε στρατιὰν ὅση ἦν Μυσοῖς παραλαβὼν, καὶ ἐκ Σκυθῶν κατασυμμαχίαν οὐκ ὀλίγην, ταῖς πρότερον ἐπεστράτευσε πόλεσι προσχωρησάσαις βασιλεῖ· καὶ πλὴν Μεσημβρίας τὰ μὲν τῶν ἄλλων τοῖς ὅπλοις, τὰ δὲ παρεστήσατο ὁμολογίᾳ. τοιαῦτα δὲ πυθομένῳ βασιλεῖ, οὐκέτι ἀνεκτὸν ἐδόκει μένειν ἐν Θεσσαλονίκῃ· ἀλλ᾽ ἄρας ἐκεῖθεν, εἰς Βυζάντιον ἀφικνεῖται. καὶ πρῶτα μὲν Συναδηνὸν τὸν πρωτοστράτορα εἰς Μεσημβρίαν*

императора, която имала по-голямо право да управлява, понеже сестрата на краля била изгонена още докато бил жив Михаил. А императорът, след като реши да се върне, постави стражи в градовете, които неотдавна му се бяха подчинили доброволно, прояви внимание към останалите погранични градове, от каквото се нуждаеха, и едновременно, като остави войска на Сиргиан[142], който бе стратег на останалия Запад, за да ги брани, ако трибалите нападнат, взе цялата останала войска и се върна в Адрианопол[143]. Не много дни след това събра и останалата ромейска войска, колкото имаше, и нахлу в Мизия. И освен това, като опустоши извънредно много страната и си подчини доброволно намиращите се под властта на мизите градове Анхиало и Месемврия и Аетос, Ктения[144] и Россокастро и Диамполис, върна се във Византион.

16. Българските боляри провъзгласяват Александър за цар. Българите нападат византийските предели

II, 26. В началото на пролетта дойде писмо от Византион до императора, което му известяваше, че двама от динатите у мизите, протовестиарият Раксин и логотетът Филип[145], въстанали срещу управляващата ги съпруга[146] на Михаил, която бе леля на крал Стефан[147], и я лишили от властта. Тя заедно с децата си избягала и отишла при своя племенник краля[148]. А онези убедили и другите динати на мизите и посочили за свой цар Александър[149], племенника на царувалия преди това Михаил[150] и син на Срацимир[151]. Щом заел властта, той взел колкото войска имало у мизите и немалка съюзна скитска войска и се отправил на поход срещу предалите се преди това доброволно на императора градове[152]. И освен Месемврия едни от тях подчинил с оръжие, а други доброволно. Императорът, като научи за това, реши, че че не е нужно да остава в Солун, а се вдигна оттам и пристигна във Византион. И найнапред изпрати за началник в Месемврия протостратора Синадин. Той се страхуваше ἄρχοντα ἐκπέμπει· δείσας μὴ καὶ Μεσημβριανοὶ ἄχρις ἂν ἡ στρατιὰ ἀποσταῖεν παρασκευασθῇ. ἐκέλευέ τε εἰς Βυζάντιον ἀθροίζεσθαι τὴν στρατιάν· καὶ αὐτὸς παρεσκευάζετο ὡς τοῖς Μυσοῖς πολεμησείων. μεταξὺ δὲ παρασκευαζομένου, ἠγγέλλετο ἐκ τῆς ἕω, ὡς στρατιὰ Περσῶν εἴη παρεσκευασμένη ἐπιθέσθαι Νικομηδεῦσι. Νικομήδεια δὲ ὅπλοις μὲν ἀνάλωτος ἦν καὶ βίᾳ χειρῶν, τειχῶν τε καρτερωτάτων περιβολῇ καὶ τῇ ἄλλῃ τοῦ τόπου φύσει εὐφυῶς πρὸς ὀχυρότητα ἐχούσῃ· ἐδεδίει δὲ τὴν ἔνδειαν τὴν ἐκ τοῦ σίτου. ὃ δὴ καὶ οἱ βάρβαροι συνιδόντες, τῶν τειχῶν μὲν ἠμέλουν ὡς ἀναλώτων ἐσομένων ἐκ τειχομαχίας, τῆς παρόδου δὲ ἐσπούδαζον κρατῆσαι, δι’ ἧς ἐτρέφετο ἡ πόλις. καὶ ὁ βασιλεὺς δὲ ὁμοίως ὅ,τι διανοοῦνται οἱ βάρβαροι σαφῶς εἰδώς, διὰ σπουδῆς ἁπάσης τροφὴν παρέχειν Νικομηδεῦσιν ἐπιόντων τῶν βαρβάρων ἐποιεῖτο· ὡς εἰ τοῦτο παρείη, ῥᾷστα τὴν λοιπὴν οἰσόντων πολιορκίαν. καὶ τότε οὖν πυθόμενος ἐστρατοπεδεῦσθαι τοὺς βαρβάρους παρ’ αὐτήν, τῆς μὲν κατὰ τῶν Μυσῶν ἠμέλει εἰσβολῆς· στόλον δὲ ἐξαρτυσάμενος ἔκ τε τριήρεων καὶ φορτίδων νεῶν ἑτέρων, στρατιάν τε ἐνθέμενος καὶ σῖτον, ἔπλει ἐπὶ Νικομήδειαν. πρὶν δὲ καταῖραι, οἱ βάρβαροι αἰσθόμενοι, σκηνὰς ἀναλαβόντες καὶ τὴν ἄλλην ἀποσκευήν, ἀνεχώρουν εἰς τὴν οἰκείαν, δείσαντες τὴν βασιλέως ἔφοδον. Ὀρχάνης γὰρ αὐτῶν ὁ σατράπης ἔτι οὐ παρῆν. ἀπόβασιν δὲ ποιησάμενος ὁ βασιλεὺς καὶ Νικομηδέας λόγοις τε καὶ ἄλλαις φιλοφροσύναις ἐπιῤῥώσας, τόν τε σῖτον παρασχών, ηὐλίσατο ἐκεῖ ἐπὶ δυσὶν ἡμέραις. ἅμα δὲ ἕῳ εἰς τὴν τρίτην παντὶ τῷ στόλῳ ἐπανέπλεεν εἰς Κωνσταντίνου. καὶ διατρίψας ἐν αὐτῇ ἡμέρας οὐ πολλάς, ἐπεὶ καὶ ἡ στρατιὰ πᾶσα ἤδη παρῆν, καὶ ὅσα ἔδει ἐπεπόριστο, ἄρας ἐκ Βυζαντίου, οὐ πολλαῖς ὕστερον ἡμέραις ἐσέβαλεν εἰς τὴν Μυσίαν καὶ ἐδῄωσέ τινα αὐτῆς· ὑπερβάς τε τὸν Αἷμον, τὰ μὲν ἄλλα πολίσματα ὅσα ἦν καὶ πρότερον ἔχων, παρεστήσατο ὁμολογίᾳ πάλιν· Ἀγχίαλος δὲ ἔτι ἐφρουρεῖτο παρὰ τῶν Μυσῶν. Ἀλέξανδρος γὰρ ὁ τῶν Μυσῶν βασιλεύς, αἰσθόμενος τὴν βασιλέως εἰσβολήν, ἐβοήθει κατὰ τάχος πανστρατιᾷ ἄγων τοὺς Μυσούς. καὶ ἐλθὼν ἐστρατοπεδεύσατο παρὰ τὸ Ἀετόν, οὐ πολὺ ἀπέχων βασιλέως παρὰ τὸ Ῥωσόκαστρον ἐστρατοπεδευμένου· πλὴν ὅτι στενή τις καὶ ἀπόκροτος δίοδος τὰ στρατεύματα ἀμφότερα διεῖργεν· ἣν φθάσας ὁ Ἀλέξανδρος, ἐφρούρει πεζὴν ἐπιστήσας στρατιάν. βασιλεὺς δὲ ἐπεὶ ἐπύθετο Ἀλέξανδρον ἐγγὺς ἐστρα-

---

[142] Сиргиан, провинциален управител в Тракия при византийските императори Андроник II и Андроник III. Бил противник на Кантакузин. За него вж. у Острогорски, пос. съч., с. 466, 467. [143] Адрианопол, т.е. дн. Одрин. [144] Ктения, в средновековието крепост между Айтос и Росокастро. Вж. Иречек, пос. съч., с. 754. [145] Протовестиарият Раксин и логотетът Филип, български боляри, взели дейно участие в провъзгласяването на Иван Александър за български цар. [146] Става дума за първата съпруга на Михаил III Шишман, сръбкинята Ана-Неда. [147] Сръбският крал Стефан Душан (1331—1355). [148] Т.е. при Стефан Душан. [149] Българският цар Иван Александър (1331—1371). [150] Има се пред вид Михаил III Шишман. [151] Срацимир, баща на Иван Александър, е владеел Крънската област. Вж. Бурмов, пос. съч.с. 270, бел. 40. [152] Става дума за градовете Анхиало, Месемврия, Айтос, Ктения, Росокастро и Ямбол.

да не би жителите на Месемврия да се отметнат, преди да бъде приготвена войската. Нареди да се събира войска във Византион и сам се готвеше да воюва срещу мизите. В момента, когато се готвеше, бе съобщено от Изток, че персийска войска[153] била готова да нападне Никомидия[154]. Никомидия бе непревзимаема с оръжие и сила, понеже бе заобиколена с твърде здрави стени и поради благоприятното разположение на мястото, но изпитваше нужда от храна. Варварите видяха това и изоставиха стените като непревзимаеми с обсада, а побързаха да завладеят пътя, по който градът се снабдяваше. Императорът все пак, като видя, че варварите ясно са забелязали това, с голямо старание се погрижи да достави храна на жителите на Никомидия, въпреки че варварите нападнаха. Понеже ако това станеше, те лесно щели да понесат другата обсада. И тогава, като узна, че варварите са се разположили на лагер около нея, той се отказа от нападението срещу мизите. Но приготви флота от триери и от други товарни кораби и като си достави войска и храна, отплува за Никомидия. Преди да пристигне, варварите се научили и като събрали шатрите и другото снаряжение, върнали се в родината си от страх пред нападението на императора. Защото Орхан, техният сатрап, още го нямаше. А императорът, като слезе от кораба и ободри никомидийците с думи и други любезности, даде им храната и остана там два дни. Сутринта рано на третия ден с цялата си флота той отплува обратно за Константинопол. И той прекара в него не много дни и тъй като цялата войска бе налице и беше си набавил каквото трябваше, той се вдигна от Византион и след малко дни нахлу в Мизия и опустоши известна част от нея: като премина Хемус[155], отново доброволно си подчини другите градове, които преди това притежаваше. А Анхиало все още се владееше от мизите. Защото Александър, царят на мизите, като узнал за нахлуването на императора, бързо се притекъл на помощ с цялата си войска от мизи. И като пристигнал, разположил се на лагер при Айтос, отстоящ недалеч от императора, който се бе разположил на лагер при Росокастро. Освен това двете войски ги разделяше един тесен и каменист проход, който Александър успя да заеме, и го пазеше, като бе поставил пехотна войска. А императо-

---

[153] Персийска войска, т.е. турска войска.

[154] Никомидия, град в Северозападна Мала Азия.

[155] Хемус, дн. Стара планина.

τοπεδευκέναι, ἐς τὴν ὑστεραίαν ἅμα ἕῳ ἐκέλευεν ὁπλίζεσθαι τὴν στρατιάν· καὶ ἐπειδὴ ἦσαν ὡπλισμένοι, παραλαβὼν αὐτοὺς ὡς μάχην παρατεταγμένους, ἐγγὺς τῆς διόδου ἦλθεν, ἣ παρὰ Ἀλεξάνδρου ἐφρουρεῖτο, καὶ προὐκαλεῖτο ὡς ἐς μάχην τοὺς Μυσούς. προσβάλλειν γὰρ αὐτῶν τῷ στρατοπέδῳ οὐκ ἐνῆν διὰ τὴν δίοδον οὖσαν τραχεῖαν καὶ στενὴν καὶ φρουρουμένην ὑπ' αὐτῶν. διημερεύσας δὲ ἐκεῖ ἐν ὅπλοις, ἐπεὶ οὐδεὶς ἀντεπεξῄει, εἰς τὸ οἰκεῖον στρατόπεδον πάλιν ἐπανῆλθε. καὶ ὕστερον ἡμέραις οὐ πολλαῖς πάλιν ἧκεν ἄγων ὡπλισμένην τὴν στρατιὰν ἐπὶ τὴν μάχην, καὶ διημέρευσεν ὥσπερ καὶ πρότερον πρὸς τῶν στενῶν τὰς εἰσβολάς. Μυσοὶ δὲ οὐδ' οὕτως ἐτόλμησαν εἰς τὴν εὐρυχωρίαν ἐξελθόντες ἐκ τοῦ ἴσου διαγωνίσασθαι πρὸς βασιλέα. ὁ δὲ εἰς τὸ στρατόπεδον τὸ οἰκεῖον πάλιν ἐπανέζευξε καταπλήξας τῇ τόλμῃ τοὺς βαρβάρους. Ἀλέξανδρος δὲ ὁρῶν ἤδη ἀδύνατος ὢν ἐκ παρατάξεως ἀντιστῆναι βασιλεῖ, πρεσβείαν πέμψας διελέγετο περὶ εἰρήνης. ἠξίου τε ἔχοντας ἑκάτερον ἃ ἔχουσι, πολέμου ἀποσχέσθαι. βασιλεὺς δὲ οὔτε πολέμου ἔφασκεν αὐτὸς ἄρξαι, οὔτε ἀποστερῆσαί τινα τῶν Μυσοῖς διαφερόντων· ἀλλ' ἀδικούμενος ὑπ' αὐτῶν πολέμου ὑπαρχόντων, ἀμύνεσθαί τε ἀναγκαίως, καὶ τὰ ὑπ' αὐτῶν ἀφῃρημένα ἀνασώζεσθαι. ἀποστερεῖσθαι δὲ ἔτι Ἀγχιάλου, ἣν εἰ ἀπολήψεται, σπονδὰς θέσθαι ἕτοιμος εἶναι πρὸς αὐτοὺς εἰρηνικάς. καίτοι γε ἐχρῆν εἰ φιλόνεικος ἦν καὶ ἀπαραίτητος πρὸς τὰς ἀντιδόσεις, πᾶσαν ἐπιδείξασθαι σπουδήν, ὥστε καὶ αὐτὸν ἐκ τῶν αὐτοῖς διαφερόντων τινὰ κτήσασθαι πολέμῳ. διὰ δὲ τὸ τὰ στρατεύματα ἀμφότερα τῆς αὐτῆς ἔχεσθαι θρησκείας· ἄλλως θ' ὅτι καὶ ἡ εἰρήνη παντὸς πολέμου εἶναι δοκεῖ αἱρετωτέρα, μᾶλλον αὐτὴν αἱρεῖσθαι, εἰ τὰ οἰκεῖα μόνον ἀπολήψεται. Ἀλέξανδρος δὲ ἰσχυρίζετο ἀδικεῖν οὐδὲ αὐτός· Ἀγχίαλόν τε γὰρ καὶ τὰ ἄλλα πολίσματα, ἃ ἦν ἀφῃρημένος, οὐ Ῥωμαίοις προσήκειν μᾶλλον ἢ Μυσοῖς. τοῖς γὰρ πρὸ αὐτοῦ βεβασιλευκόσιν ἐξ ἱκανοῦ εἶναι ὑποχείρια τοῦ χρόνου. διὸ καὶ μᾶλλον βασιλέα ἀδικεῖν πρὸς οἷς ἀφῄρηται ἀπαιτοῦντα καὶ Ἀγχίαλον. βασιλέως δὲ ἀποκριναμένου μὴ δεῖν τὴν ἀδικίαν ἐν δικαιώματος ποιεῖσθαι λόγῳ, μηδὲ ὅτι ἐπὶ χρόνον ἀπεστέρησαν, οἴεσθαι διὰ τοῦτο δίκαιον εἶναι καὶ διηνεκῶς ἀποστερεῖν. τὰς γὰρ τοιαύτας πόλεις οὐ μόνον ἄνωθεν ἐκ παλαιοῦ ὑπηκόους Ῥωμαίοις εἶναι, ἀλλὰ καὶ αὐτῶν τὰς πλείους ὑπ' αὐτῶν τε ἐκτίσθαι καὶ κατῳκίσθαι ἀποικίας πεπομφότων· οὔπω δὲ χθὲς καὶ πρώην ὑφ' ἑαυτοὺς πεποιῆσθαι Μυσοὺς ἐκ τῶν Σφεντισθλάβου τοῦ βασιλέως χρό-

рът, като узна, че Александър се е разположил на лагер наблизо, на разсъмване на следния ден заповяда войската да се въоръжи. Като се въоръжи, той я пое наредена за сражение, дойде близо до прохода, който се пазеше от Александър, и подканяше мизите към сражение. Защото не беше възможно да ги нападне в лагера поради неравния и тесен проход, който се пазеше от тях. Като прекара деня там в бойна готовност, понеже никой не излезе срещу него, върна се обратно в лагера си. И не много дни след това отново пристигна с въоръжената войска, за да се срази, но прекара деня, както и по-рано, пред входа на теснините. А мизите и тогава не се осмелиха да слязат в равнината и да се сражават с императора при равни условия. Той отново се върна в лагера си, като уплаши варварите със смелостта си. Александър видя, че не е в състояние в открито сражение да се противопостави на императора, и проводи пратеничество и преговаряше за мир. Той помоли двете страни да задържат това, което имат, и да се въздържат от война. Императорът казваше, че нито сам е започвал война, нито е взел нещо от мизите, но онеправдан от тях, които започнали войната, по необходимост се защищавал и си възвръщал отнетото му от тях, но бил лишен все още от Анхиало, който, ако получи обратно, готов бил да сключи мир с тях. Но ако беше честолюбив и неумолим, при връщането трябваше и той да напрегне всички сили, за да спечели нещо от тях с война. Но понеже двете войски изповядвали една и съща религия, а и освен това, понеже изглежда, че мирът е за предпочитане пред всякаква война, по-добре е той да бъде предпочитан, ако само си върне собственото. А Александър твърдеше, че не постъпвал несправедливо, защото Анхиало и другите градчета, които си бил присвоил, принадлежали повече на мизите, отколкото на ромеите. Защото те били подвластни от доста време на царуващите преди него. И поради това императорът постъпвал още по-несправедливо, като освен тези градове, които бил отнел от тях, искал и Анхиало. А императорът отговори, че не трябва несправедливостта да се смята за справедливост, нито понеже временно са ограбили, поради това да се смята, че е справедливо постоянно да грабят. Тези градове не само били подвластни на ромеите от старо време, но повечето от тях били основани и заселени от тях, след като изпратили заселници. А мизите си ги подчинили неотдавна, по времето на цар Свето-

νων, ὃς ἦν τὴν αὐτοῦ ἀδελφὴν γεγαμηκώς, τοῦ πρὸς Κατελάνους καὶ Πέρσας τοῖς Ῥωμαίοις πολέμου κεκινημένου· ὃς πλεῖστα δὴ ἐκάκωσε τὰ πράγματα αὐτοῖς, δι' ὃν οὐδὲ ταῦτα ἀνασώσεσθαι ἠδυνήθησαν ἐξ αὐτῶν. νυνί τε αὐτὸν ἀδικεῖν οὐδὲν, ἀλλὰ τά τε ὄντα ἔχειν καὶ τὰ ἐλλείποντα ἀπαιτεῖν, ἃ εἰ μὲν εἰρήνης ἐπιθυμοίη ἀποδιδόναι· εἰ δὲ μή, ἀλλ' αὐτόν γε μὴ δύνασθαι προΐεσθαι, τρόπῳ δὲ παντὶ πειράσεσθαι διασώζειν τὴν ἀρχήν, ὁ Ἀλέξανδρος, (ἐπεὶ ἐγγὺς ἐστρατοπεδεύοιτο ἀλλήλων καὶ δι' ἐλαχίστου τὰς ἀποκρίσεις ἐποιοῦντο,) οὐκ ἔφασκε δεῖν περὶ ἀρχῆς τινα διαλεγόμενον ἀποδείξεσι χρῆσθαι καὶ λόγοις πιθανοῖς, ἀλλ' ὅπλοις καὶ χειρὶ βιαιοτέρᾳ τὰ δίκαια βραβεύειν. οἷς καὶ αὐτὸν ἐκ τοῦ ὑπερέχοντος χρώμενον νυνί, περὶ γῆς ὅρων διαλέγεσθαι ἀσφαλῶς· ἐγὼ δὲ παρεχώρησα ἂν καὶ Ἀγχιάλου ἐκ τοῦ ῥᾴστου, εἰ μὴ πολλὴν ἐμοί τε καὶ στρατιᾷ τὴν ἀτολμίαν καὶ τὴν μέμψιν ἐπῆγε. πρὸς γὰρ τῷ μὴ ἀντιστῆναι τολμῆσαι, μηδὲ ἐκ παρατάξεως διαγωνίσασθαι ὑμῖν, καίτοι γε ἅπαξ καὶ δὶς πρώτοις ἐπελθοῦσιν, εἰ καὶ Ἀγχιάλου ἐπ' οὐδεμιᾷ παραχωρήσομεν ἀντιδόσει, σαφέστατα δὴ ἐν πᾶσιν ἀνθρώποις ὁμολογήσομεν τὴν ἧτταν. ἀλλά τινος ἕνεκα αἰσχύνης προκαλύμματος εἰ βούλοιτο Διάμπολιν ἀποδόντα, τὴν Ἀγχίαλον ἀπολαμβάνειν. πάντως δὲ εἰδέναι ἀκριβῶς, ὡς, ὅ φασι, χάλκεα χρυσείων ἀνταλλάττεται. τούτου δὲ γενομένου, αὐτόν τε ἔχειν ἃ συμβήσεται αἰτεῖ καὶ αὐτὸν αἰσχύνης ἀπηλλάχθαι, ἴσ' ἀντ' ἴσων δοκοῦντα ἔχειν. βασιλεὺς δ' ἐπεὶ ἐδόκουν οἱ λόγοι προσηνεῖς τε εἶναι καὶ ἄξιοι παραδέχεσθαι, τοῦτο μὲν Ἀγχιάλου, Διαμπόλεως οὐδ' ὅσον εἰπεῖν διαφερούσης, τοῦτο δ' εἴτι καὶ πρόοιτο τῆς εἰρήνης ἕνεκα, οὐδεμίαν αὐτῷ μέμψιν ἂν οἰηθεὶς ἐπαγαγεῖν· ἄλλως τε καὶ σιτίων τῇ στρατιᾷ ἐπιλιπόντων, καὶ ἐνδείας οὔσης ἤδη λαμπρᾶς τῷ στρατοπέδῳ καὶ δεομένων ἢ διαγωνίζεσθαι πρὸς τοὺς πολεμίους, ἢ ἀναχωρεῖν, ὥστε καὶ αὐτὸν τὴν ἔνδειαν συνορῶντα πολλοῖς τὴν ἐς τὰ οἰκεῖα ἐπιτρέψαι ἀναχώρησιν, προσεδέξατό τε τὴν πρεσβείαν, καὶ ἐγένοντο αἱ συνθῆκαι ἐπὶ τούτοις, ὥστε Ῥωμαίους καὶ Μυσοὺς ποιήσασθαι σπονδάς, καὶ μηδὲν ἀλλήλους ἀδικεῖν· ἀλλ' Ἀγχίαλον μὲν ἀπολαβεῖν Ῥωμαίους, ἀποδοῦναι δὲ Διάμπολιν, καὶ τοῦ λοιποῦ εἰρήνην ἄγειν ἔχοντας ἃ ἔχουσιν ἑκατέρους. τοιαῦτα μὲν ἀμφοτέροις τοῖς βασιλεῦσιν ἐγεγένηντο αἱ σπονδαὶ ἑβδόμῃ καὶ δεκάτῃ μηνὸς Ἰουλίου ἱσταμένου· καὶ οἱ ἀποληψόμενοι τὰς πόλεις καὶ τοὺς ὅρκους παρῆσαν ἑκατέροις παρ' ἀλλήλων.

(I, pp.458_{17}—464_{11})

слав[156], който бил женен за неговата сестра, по време на войната на ромеите против каталани и перси. Той им навредил твърде много и заради него не могли да ги отнемат от тях. А сега той не вършел несправедливост, но владеел сегашните и искал останалите градове, които трябвало да даде, ако искал мир. А ако ли не, то той не можел да ги изостави, а по всякакъв начин щял да се опита да запази властта (над тях). А Александър (и двамата се бяха разположили наблизо на лагер и бързо се получаваха отговорите) казваше, че говорещият за власт не трябва да си служи с доказателства и убедителни думи, но с оръжия и по-твърда ръка да отстоява правото. Той сега, разполагайки с по-голяма сила, разговарял със сигурност за пределите на държавата. А аз веднага бих отстъпил и Анхиало, ако това не пораждаше у мен и войската голям страх от недоволство. Защото, освен че не се осмеляваме да се противопоставим и да се сражаваме открито с вас, макар че неведнъж първи нападнахте, ако (сега) отстъпим още и от Анхиало, без каквото и да е компенсация, ние ще признаем пред всички хора по най-ясен начин поражението си. Но ако би пожелал да даде Ямбол, за да се прикрие позорът, щял да получи Анхиало. Нека да знаел ясно, че, както казват, заменял злато срещу мед. Ако това стане, той щял да има, което искал, а самият той щял да се освободи от позора, като даде вид, че е взел равно за равно. Императорът, понеже думите му се сториха любезни и приемливи, пък и Анхиало превъзхождаше много Ямбол, счете, че никак не би бил упрекнат, дори ако даде и нещо за мира. И понеже липсваха припаси за войската и вече имаше голяма оскъдица в лагера, та трябваше или да се сражават с неприятелите, или да отстъпят, а освен това, виждайки желанието у мнозина да се върнат в родината си, той прие пратеничеството и договорите станаха при тия условия — ромеи и мизи да сключат мир и никога да не се онеправдават взаимно. Но ромеите да получат Анхиало, а да дадат Ямбол и в бъдеще да живеят в мир и всеки да владее това, което има. Договорът между двамата императори беше сключен при тия условия на 17 юли.[157] От двете страни се явиха пълномощници, за да предадат градовете и да положат клетвите.

---

[156] Касае се за градовете Анхиало, Месемврия, Созопол и Агатопол, които били отстъпени от Византия на българския цар Теодор Светослав през 1308 г. За това вж. у Б. Цветкова, пос. съч., с. 25.

[157] 17 юли 1332 г.

17. Pugna apud Rhosocastrum. Turci Thraciam invadunt

II, 27. Τῆς αὐτῆς δὲ νυκτὸς καθ' ἣν ἔμελλον εἰς τὴν ὑστεραίαν τελεσθήσεσθαι οἱ ὅρκοι, ἧκον πρὸς τὸν Ἀλέξανδρον κατὰ συμμαχίαν στρατιὰ ἀπὸ Σκυθῶν. ἦν γὰρ δὴ αὐτοὺς προσκεκλημένος ἐπὶ Μπελαοῦρον τὸν θεῖον, ὃς διαστασιάσας πρὸς αὐτὸν καὶ μέρος τῆς ἀρχῆς παρασπασάμενος, λυπηρὸς ἦν καὶ κακῶς ποιῶν τὴν χώραν. νομίσας δὲ εἰς δέον χρήσεσθαι τῷ καιρῷ, εἰ τούτους ἐξαπατήσας ἐπαγάγοι βασιλεῖ, τὸν θεῖον ἔλεγεν αὐτοῖς ἐγγὺς παρεῖναι, ᾧ δέον πρὶν αἰσθέσθαι ἐπελθεῖν· ἐκεῖνον δὲ μηδὲν εἰδότα τῶν γεγενημένων προθύμως καταστῆναι εἰς τὸν πόλεμον εἰκός· τούτου δὲ γενομένου, ἐκεῖνόν τε διαφθαρήσεσθαι ῥᾷστα κρατηθέντα ὑφ' ἡμῶν ὄντων πολλαπλασιόνων καὶ ἡμᾶς πόνων ἀπαλλάξεσθαι μακρὰν ἀνύειν μέλλοντας ὁδόν. καὶ ἔπεισέ γε τοὺς βαρβάρους μὴ συνιδόντας τὴν ἀπάτην· βασιλεῖ γὰρ οὐκ ἂν ἐπῆλθον, εἴπερ ἔγνωσαν, διὰ τοὺς ὅρκους καὶ τὰς σπονδάς, οὓς ἦσαν νεωστὶ πρὸς αὐτὸν πεποιημένοι. ἅμα δὲ ὄρθρῳ ὁπλισάμενοι, ἐχώρουν διὰ τῶν στενῶν ἐπὶ Ῥωμαίους. αἰσθόμενοι δὲ οἱ βασιλέως σκοποί, (αὐτόθι γὰρ ἦσαν τεταγμένοι,) ἀπήγγελλον τὴν ἔφοδον κατὰ τάχος· καὶ ὁ βασιλεὺς ἐκέλευεν ὁπλίζεσθαι τὴν στρατιάν. ἐπεὶ δὲ ὡπλίσαντο, ἐξῄεσαν τεταγμένοι κατὰ φάλαγγας ἓξ οὔσας πρὸς ταῖς δέκα. ἦρχε δὲ τοῦ μὲν δεξιοῦ κέρως ὁ πρωτοστράτωρ, τοῦ δὲ ἀριστεροῦ Τζαμπλάκων ὁ μέγας παπίας, τὸ μέσον δὲ αὐτὸς ἐπεῖχεν ὁ βασιλεύς. ἓξ δὲ φάλαγγες τὸ μέτωπον ἐπλήρουν ἅπαν· καὶ μετ' αὐτοὺς ἦσαν αἱ δέκα τεταγμέναι ὡς ἕκαστοι μετὰ τῶν στρατηγῶν. βασιλεὺς δὲ ἠνιᾶτο μὲν ἠπατημένος ὡς πολὺ τῆς στρατιᾶς διὰ τὴν τῶν συνθηκῶν ἐλπίδα ἐπιτρέψας οἴκαδε ἀναχωρεῖν. ὅμως δὲ πρὸς μόνους τοὺς Μυσοὺς τὸν ἀγῶνα ἔσεσθαι νομίζων, ἐπῄει θαῤῥῶν αὐτοῖς. ἀπιοῦσι δὲ ἠκούετο σάλπιγξ ἠχοῦσα Σκυθική. ἠχεῖ γὰρ οὐ κατὰ τὰς ἄλλας, ἀλλ' ἄγριόν τι καὶ ἀπηχές, ὁποῖον ἱκανὸν εἶναι τοὺς βαρβάρους ἐρεθίζειν πρὸς θυμόν. διὸ καὶ γνώριμός ἐστι καὶ πόῤῥωθεν ἀκουομένη. νομίσας δὲ ὁ βασιλεὺς οὐ Σκύθας εἶναι, (οὐδὲ γὰρ ἂν ἠθετηκέναι τὰς σπονδὰς τὰς πρὸς αὐτόν,) ἀλλὰ τοὺς πέραν Ἴστρου Γέτας, οἳ ὁμόσκευοι τοῖς Σκύθαις ὡς τὰ πολλά εἰσιν ἱππο-

17. Битката при Рософкастро. Турците нахлуват в Тракия

II, 27. А в същата нощ, през която смятаха да се положат клетвите на следния ден, при Александър дошла съюзна войска от скити. Той ги беше повикал срещу чичо си Белаур[158], който въстанал срещу него, и като му бил отнел част от царството, бил безпощаден и жестоко опустошавал страната. Той сметнал, че добре може да се възползува от случая, ако ги поведе срещу императора с измама, и затова им казал, че чичо му се намирал наблизо и трябвало да го нападнат, преди да узнае. И понеже той нищо не знаел за станалото, с готовност щял да влезе във войната. А след като това станало, той щял да бъде погубен твърде лесно, като бъде победен от нас, които сме многобройни, и щял да ни освободи от грижата да изминем толкова дълъг път. И по тоя начин той убедил варварите, без те да разберат измамата. Защото те, ако знаеха, не биха потеглили срещу императора поради клетвите и договора, които бяха сключили неотдавна с него. На разсъмване те, въоръжени, потеглиха през теснините срещу ромеите. А съгледвачите на императора, като узнаха (те бяха разположени там), съобщиха бързо за нападението. И императорът заповяда войската да се въоръжи. След като се въоръжиха, потеглиха наредени по отреди, които бяха шестнадесет. Дясното крило командуваше протостраторът, лявото — великият папий Цамплакон, а средата държеше императорът. Шест отреда образуваха челната колона, а след тях бяха подредени десетте отреда, всички с началниците си. Императорът, измамен, скърбеше, тъй като голяма част от войската, като се надяваше на договорите, се върна по домовете си. Все пак смятайки, че борбата ще бъде само срещу мизите, смело се отправи срещу тях. А когато настъпиха, чуха да свири скитска тръба. Защото тръбеше не като другите, но някак диво и силно, за да може да подбуди варварите към мъжество. И поради това тя се познаваше и се чуваше отдалеч. А императорът сметна, че това не са скити (защото не биха нарушили договора си с него), а гетите[159] отвъд Истър, въоръжени подобно на скитите и повечето стрелци-конници, дошли τοξόται, κατὰ συμμαχίαν παρόντας πρὸς ἔκπληξιν τῇ Σκυθικῇ σάλπιγγι χρῆσθαι, οἷς θαῤῥοῦντα καὶ Ἀλέξανδρον προθύμως πρὸς τὸν πόλεμον χωρεῖν, ἀντεπῄει καὶ αὐτὸς θαῤῥῶν. ἐπεὶ δὲ ἐγγὺς ἀλλήλων ἦσαν ὅσον ὁρᾶσθαι, ὅ,τε ἥλιος τὸν ὁρίζοντα ὑπερβὰς, ἐναργεστέραν ταῖς ὄψεσι τὴν δύναμιν παρεῖχε, τότ' ἤδη καθαρῶς ἐφαίνετο Σκυθικὴ εἶναι ἡ ἐπιοῦσα στρατιά· οὐ γὰρ ἦσαν τεταγμένοι μετὰ τῶν Μυσῶν, ἀλλ' ἰδίαν αὐτοὶ ἐπεῖχον τάξιν. ἐπεὶ δὲ ἐγγὺς ἦσαν ὅσον ἐμβαλεῖν, οἱ Σκύθαι τὸν μὲν βασιλέα μετὰ τῶν προτάκτων παρεξέκλιναν· ἐπὶ δὲ τοὺς ἐπιτάκτους ἐχώρουν καὶ ἐτρέψαντο ἀντισχόντας ἐπ' ὀλίγον καὶ τὴν δίωξιν ἐποιήσαντο ἄχρι Ῥωσοκάστρου. ἐκεῖ δὲ συστραφέντες οἱ Ῥωμαῖοι, ἠμύνοντο τοὺς βαρβάρους ἔξω τῶν τειχῶν. βασιλεὺς δὲ ἅμα ταῖς προτεταγμέναις ἓξ φάλαγξι, καίτοι τῶν ὀπίσω τετραμμένων εἰς φυγὴν, οὐδὲν μᾶλλον ὑπεχώρησεν, ἀλλ' ἵη κατευθὺ Μυσῶν, καὶ συνέβαλον ὀλίγοι πρὸς πολλαπλασίους. μάχης δὲ καρτερωτάτης ἐφ' ἱκανὸν γεγενημένης, καὶ χειρὸς ἔργα καὶ τόλμης ἄξια πολλὰ τῶν Ῥωμαίων ἐπιδειξαμένων, τέλος ὑπὸ τοῦ πλήθους τῶν Μυσῶν ἐκβιαζόμενοι καὶ ἐν κινδύνῳ ἤδη καθεστῶτες, ὑπεχώρησαν ὀπίσω. βασιλεὺς δ' ἅμα τῷ μεγάλῳ δομεστίκῳ καὶ Ἀσάνῃ τῷ Μανουὴλ τῷ τῆς μεγάλου δομεστίκου γυναικὸς ἀδελφῷ, ὃς τῆς βασιλικῆς τάξεως ἦρχε, καὶ ἑτέρους ἄγων πεντήκοντα ἐκ τῶν ἐπιφανῶν λογάδας, πρῶτα μὲν ἐτρέψαντο τοὺς κατ' αὐτούς. ἔπειτα σφοδροῦ προσεῤῥυηκότος τοῦ πολέμου καὶ πολλῶν περιχυθέντων, οὐκ ἠδυνήθησαν τηρῆσαι τὸν συνασπισμὸν, ἀλλὰ διαλυθέντες ὡς ἠδύναντο ἕκαστος, ἀνεχώρουν, τῶν δύο μόνων ὑπολελειμμένων βασιλέως καὶ μεγάλου δομεστίκου ἐν ταὐτῷ· κἀκεῖνοι δὲ διαιρεθέντες ἐπ' ὀλίγον, πάλιν τάχιστα εἰς ἓν συνῆλθον, ὡς καὶ τὸν μέγαν δομέστικον εἰπεῖν πρὸς βασιλέα· „καιρὸς εὐψυχίας καὶ τόλμης, ὦ βασιλεῦ· χρῶ τοίνυν τῇ χειρὶ, καὶ ἄξια ἔργα ἐπιδείκνυσο σαυτοῦ.“ τὸν δ' ἀποκρίνασθαι, μηδὲν ὄφελος εἶναι τῆς ἀνδρίας καὶ τῆς τόλμης τῆς αὐτοῦ, τῶν ἄλλων ἁπάντων τετραμμένων εἰς φυγήν. ὅμως βασιλεύς τε καὶ ὅσοι εἰς χεῖρας ἦλθον τοῖς Μυσοῖς, καίτοι καὶ γενομένης τῆς τροπῆς, οὐ νῶτα βάλλεσθαι παρέσχον φεύγοντες ἀμεταστρεπτί· ἀλλ' ἀμυνόμενοι καὶ περισώζοντες ἑαυτοὺς, ἦλθον ἄχρι Ῥωσοκάστρου· ἐκεῖ δὲ τῇ λοιπῇ στρατιᾷ γενόμενοι εἰς ἓν, ἠμύνοντο ὁμοῦ προθύμως πρός τε Σκύθας καὶ Μυσοὺς ἄχρι τρίτης τῆς ἡμέρας ὥρας· μηδὲν δὲ πλέον οἱ βάρβαροι δυνάμενοι ἀνύσαι, (οὐδὲ γὰρ αὐτὸς Ῥωσοκάστρου ἴσχυσαν βιάσασθαι ἐλθεῖν,) διαλυθέντες, εἰς στρατόπεδον τὸ οἰκεῖον ἐπανῆλθον. ἔπεσον δὲ παρὰ τὴν μάχην καὶ ἐξωγρήθησαν Ῥωμαίων ἀπὸ μὲν τῶν

---

[158] Белаур, брат на Михаил III Шишман. [159] Византийският император Андроник III, който участвувал в сражението при Рософкастро, смятал, че гетите отвъд Дунав, които споменава Кантакузин, не са татари, а румъните, дошли на помощ на Иван Александър. К. Иречек, История на българите, поправки и добавки от самия автор, София, 1939 г., с. 217, счита, че това били татари, които императорът взел за румъни.

на помощ, които си служеха със скитска тръба за всяване на страх. И като разчитал на тях, Александър с готовност влезе в сражението и смело потегли напред.

Когато се приближиха едни до други така, че да се виждат, и когато слънцето се издигна над хоризонта и даде възможност да се види по-ясно войската, тогава вече ясно се виждаше, че войската, която напредваше, е скитска. Защото те не бяха наредени заедно с мизите, но си имаха свой собствен строй. Когато бяха толкова близко, че да нападнат, скитите отбягнаха императора и предните редици, а нападнаха тила, който след малка съпротива бе обърнат в бягство и бе преследван чак до Росокастро. А ромеите се струпаха там и се защищаваха от варварите извън стените. Императорът с предните шест отреда, макар задните да бяха обърнати в бягство, ни най-малко не отстъпи, а веднага потегли срещу мизите и се сблъскаха малцина с мнозина. Когато сражението стана твърде тежко и продължително и ромеите показаха голяма храброст и мъжество, накрая те бяха надвити от множеството мизи и изпаднали в тежко положение, отстъпиха назад. А императорът заедно с великия доместик и с Мануил Асен, брата на жената на великия доместик, който командуваше императорския отред, и с други 50 отбрани измежду знатните, най-напред прогониха намиращите се срещу тях. После, след като сражението стана твърде ожесточено и мнозина (неприятели) се стекоха, те не можаха да запазят строя, но като се пръснаха, кой както можа, отстъпиха. Само императорът и великият доместик останаха двамата на същото място. А онези, разпръснати за малко, отново бързо се събраха заедно, така че великият доместик каза на императора: „Време е за мъжество и смелост, царю. Сега си послужи с десницата и извърши дела, достойни за тебе.“ А той му отговори, че не ще да има полза от храбростта и смелостта му, когато всички други са обърнати в бягство. Все пак императорът и тези, които бяха влезли в сражение с мизите, макар и да беше настанало бягство, отстъпваха, без да излагат гърба си на удари, и дойдоха до Росокастро като се защищаваха и пазеха. А там, като се събраха с останалата войска, заедно геройски се отбраняваха срещу скити и мизи до третия час на деня. А варварите, като не можаха да постигнат нищо повече (те не можаха да дойдат да превземат със сила Росокастро), пръснаха се и се върнаха в собствения си лагер. В сражението паднаха и бяха пленени 37 ромейски конници, от ἱππέων ἑπτὰ καὶ τριάκοντα· ὧν ἦσαν ἓξ τῆς τάξεως τῆς βασιλικῆς· πεζοὶ δὲ πέντε πρὸς τοῖς ἑξήκοντα· καὶ τούτων οἱ πλείους ἢ σύμπαντες σχεδὸν ὑπὸ τῶν Σκυθῶν ἑάλωσαν ἢ ἀπέθανον. ἀπέθανον δὲ καὶ ἀπὸ τῶν Μυσῶν ὀλίγῳ πλείους τῶν Ῥωμαίων. πλὴν ἡ νίκη φανερῶς προσεγένετο τοῖς Μυσοῖς διὰ τὸ μὴ τοὺς Ῥωμαίους ἀντισχεῖν, ἀλλὰ τραπέντας ἀτάκτως εἰς Ῥωσόκαστρον ἐλθεῖν. περὶ δὲ μεσημβρίαν τῆς αὐτῆς ἡμέρας Ἀλέξανδρος ὁ τῶν Μυσῶν βασιλεὺς τῶν παρ' αὐτῷ ἐπιφανῶν τὸν Ἰβάνην πέμψας πρὸς βασιλέα πρεσβευτὴν, ἠξίου τὰς γεγενημένας τῇ προτεραίᾳ συνθήκας ἀλύτους μένειν, καὶ πλείονος ἕνεκα φιλίας καὶ ἀσφαλείας τῆς πρὸς τὰς σπονδὰς τὴν θυγατέρα τὴν αὐτοῦ τῷ υἱῷ ἐκείνου κατεγγυῆσαι. βασιλεὺς δὲ τὸ μὲν τελεσθῆναι τὰς γεγενημένας σπονδὰς, καὶ αὐτῷ εἶναι ἀπεκρίνατο κατὰ γνώμην, ἐπεὶ καὶ πρότερον οὐ πρὸς ἀνάγκην, ἀλλὰ διὰ τὸ λυσιτελεῖν νομίζειν τὴν εἰρήνην γεγενῆσθαι· τὴν δὲ συγγένειαν μὴ βούλεσθαι· δόξαι γὰρ ἂν πᾶσι δι' ἀνάγκην ἢ φόβον τοιαῦτα πράττειν οἷα δὴ νενικημένον ὑπὸ σοῦ· καίτοι τὸ μὲν τραπῆναι συμβέβηκεν ἡμῖν μόνοις ὑπὸ πλειόνων βιασθεῖσιν. ἀποστερήσει δὲ τῶν οἰκείων οὐδὲν διενηνόχαμεν ἀλλήλων. πλείους γὰρ ἀπεβάλετε ὑμεῖς· ὅμως αὐτοῦ γε ἕνεκα τοῦ ἡσσῆσθαι δοκεῖν ἡμᾶς οὐ βούλομαι τὴν συγγένειαν ποιήσασθαι νυνὶ, ἀλλ' εἰρήνην μόνον καὶ σπονδάς· ἀναστρέψαντι δὲ εἰς τὴν οἰκείαν, πρεσβείαν περὶ τῆς ἐπιγαμίας ποιεῖσθαι καὶ σκεψαμένῳ ὅ,τι ἂν λυσιτελεῖν δοκοίη καθ' ἡσυχίαν πράττειν. Ἰβάνης μὲν οὖν ἐπανῆλθεν ὡς βασιλέα τὸν οἰκεῖον, τὰς ἀποκρίσεις τοῦ Ῥωμαίων βασιλέως ἄγων· καὶ μετὰ μικρὸν ἐπανῆλθε πάλιν ἄγων καὶ συμπρεσβευτὴν τὸν Ἀλεξάνδρου τοῦ βασιλέως θεῖον Συναδηνὸν, τὰ ἴσα πρεσβεύοντα καὶ αὖθις. περί τε τοῦ κήδους πολλὰ διαλεγόμενοι ἐπαγωγὰ, ἐξ ὧν ᾤοντο τὸν βασιλέα πεῖσαι· ὁ βασιλεὺς δὲ τοῖς προτέροις καὶ αὖθις ἐχρῆτο λόγοις· καὶ τὴν μὲν εἰρήνην ἔφασκεν αἱρεῖσθαι, καὶ θέσθαι βούλεσθαι περὶ αὐτῆς σπονδάς· τὴν συγγένειαν δὲ οὐ νυνὶ ποιήσειν, ἀλλ' ἐς ὕστερον ἢν αὐτῷ δοκῇ. ἂν μὲν οὖν καὶ αὐτοῖς τὰ τοιαῦτα κατὰ γνώμην ᾖ, διαλέγεσθαι περὶ τῶν συνθηκῶν· ἂν δ' ἕτερά τινα διανοῶνται, ἀπελθόντας παρασκευάζεσθαι καθ' ὅ,τι ἂν δοκῇ. οἱ δ' ἐπεὶ ἑώρων βασιλέα ἀμεταστρεπτὶ τῶν ἐξ ἀρχῆς ἐχόμενον λογισμῶν, τὴν μὲν συγγένειαν τὸν αὐτῶν ἔφασαν βασιλέα περὶ πλείστου ποιεῖσθαι· καὶ αὐτοῖς προστεταχέναι περὶ ἐκείνης πᾶσαν ἐπιδείξασθαι σπουδήν· ἂν δὲ μὴ προσχωροίη μηδὲ πείθοιτο ὁ βασιλεὺς, τότ' ἤδη τοὺς μὲν περὶ ἐκείνης λόγους εἰς τὸ μέλλον ὑπερθέσθαι ὡς καιρῷ τῷ προσήκοντι γενησομένους· αὐτοὺς δὲ περὶ τῆς εἰρήνης

които шест бяха от императорския отред, а пехотинци 65. Повечето или почти всички бяха пленени от скитите или погинаха. От мизите загинаха малко повече от ромеите. При това победата бе явно на страната на мизите, понеже ромеите не се противопоставиха, но като побягнаха безредно, дойдоха в Рософкастро[160]. А около обяд на същия ден Александър, царят на мизите, изпрати Иван, един от своите знатни, като пратеник при императора и помоли сключените предния ден договори да останат нерушими и за по-голямо приятелство и сигурност на договорите да сгоди дъщеря си за неговия син[161]. Императорът отговори, че сключените договори харесвали и нему, тъй като той и по-рано смятал, че мирът е бил сключен не по принуда, а заради изгода. Но да не иска сродяването, защото всички биха сметнали, че върши това поради принуда или страх, понеже бил победен от него. Макар че ние избягахме, понеже бихме малцина и бяхме победени от мнозина. А по загуба на близки ние не се различаваме помежду си. Защото вие загубихте повече. Все пак аз не желая да изглежда, че ние сега приемаме сродяването поради поражението, но приемаме само мир и договор. А като се върне у дома си, нека му прати пратеничество за сключване на брака и като обмисли какво би било полезно, да го направи на спокойствие. Иван се върна при своя цар с отговорите на ромейския император. И след малко се върна пак заедно с другия съпратеник, Синадин, чичо на цар Александър, за да преговаря отново по същия въпрос. Те изтъкнаха много привлекателни неща за брака, с които сметнаха, че ще убедят императора. А императорът отново си послужи с предишните доводи и казваше, че предпочита мира и че желае да се сключи мирен договор. А сега не щял да направи сродяването, но по-късно, ако реши. И ако и те мислят така, да разговарят за договора. А ако замислят нещо друго, като си отидат, да се подготвят за това, което считат за добре. Те, като видяха, че императорът не отстъпва от първоначалните си намерения, казаха, че техният цар държи най-много на сродяването и им е наредил да положат всички усилия за него. А ако императорът не отстъпи, нито пък се убеди, тогава да отложат разговорите за него в бъдеще в подходящ момент, а сега те да сключат мирния договор. И след като размениха

---

[160] Става дума за битката при Рософкастро, станала на 18 юли 1332 г., в която българите нанесли съкрушително поражение на византийците. [161] Става дума за Михаил Асен, син на Иван Александър.

ποιεῖσθαι τὰς συνθήκας. καὶ γενομένων παρ' ἀμφοτέρων λόγων οὐ πολλῶν, συνέβησάν τε καὶ τὰς σπονδὰς ἐποιήσαντο αὐθήμερον· καὶ ὅρκους ἐποιήσαντο ἐπ' αὐταῖς οἱ βασιλεῖς κατὰ τὸ ἔθος· καὶ τοὺς περιόντας τῶν Ῥωμαίων δοριαλώτους ἔλυσαν ἄνευ λύτρων· οὕτω γὰρ ἦν ἐν ταῖς συνθήκαις εἰρημένον· εἰς τὴν ὑστεραίαν τε γενόμενοι ἐν ταὐτῷ, συνηρίστησάν τε ἀλλήλοις καὶ συνδιέτριψαν διὰ πάσης τῆς ἡμέρας περὶ τῶν γεγενημένων τῇ προτεραίᾳ κατὰ τὴν μάχην ὁμιλοῦντες. ἔκπληξις γὰρ εἶχεν Ἀλέξανδρόν τε καὶ Μυσοὺς τῆς Ῥωμαίων τόλμης καὶ τῆς εὐψυχίας, ὅτι ὀλίγοι πρὸς πολλαπλασίους ἀγωνιζόμενοι, καὶ τῶν μετ' αὐτοὺς τεταγμένων ἡττημένων ἤδη λαμπρῶς, οὐδὲν μᾶλλον ὑφῆκαν τῆς ἀνδρίας καὶ τῆς τόλμης, ἀλλ' ὥσπερ μηδενὸς καινοῦ γεγονότος, ἀτρέπτῳ φρονήματι συνέβαλον τοῖς πολεμίοις· καὶ βιασθέντες ὑπὸ τοῦ πλήθους μετὰ ταῦτα ἐπεὶ ἀνεχώρουν, οὐ πρὸς φυγὴν παντάπασιν ἀπεῖδον, ἀλλ' ἠμύνοντο ἀπιόντες, ὅπερ καὶ μάλιστα διέσωσεν αὐτούς. διεβεβαιοῦτό τε Ἀλέξανδρος καὶ ὅρκους προστιθείς, ὡς εἰ χρόνον τινὰ ἔτι ἐνέμειναν μικρὸν ἐπὶ τοῦ σχήματος, καὶ μὴ ἐγένετο ἡ τροπή, οὐκ ἂν ὑπέμειναν αὐτοί, ἀλλ' ᾤχοντο φεύγοντες, ἐκπεπληγμένοι τὴν τόλμαν αὐτῶν καὶ τὴν καρτερίαν καὶ μάλιστα βασιλέως. τοιαῦτα καὶ ἕτερ' ἄττα διὰ πάσης τῆς ἡμέρας ὁμιλήσαντες, πρὸς ἑσπέραν συνταξάμενοι ἀλλήλοις, Ἀλέξανδρος μὲν ἐπανέζευξεν εἰς τὴν οἰκείαν, βασιλεὺς δὲ Ῥωσοκάστρῳ ἡμέρας ἐνδιατρίψας οὐ πολλάς, ἄρας ἐκεῖθεν ἦλθεν εἰς Διδυμότειχον, καὶ διέλυσε τὴν στρατιάν.

(I,pp.458_{17}—470_{13})

II, 28. *Καὶ μετὰ πεντεκαιδεκάτην ἡμέραν ἠγγέλλετο αὐτῷ ὡς ὁ Σμύρνης καὶ Ἐφέσου καὶ ἄλλων τῶν κατὰ τὴν Ἰωνίαν πόλεων σατράπης Ἀμοὺρ, πέντε ἄγων καὶ ἑβδομήκοντα στόλον νεῶν, τὸν Αἰγαῖον διαβαλὼν Σαμοθρᾴκῃ προσέσχε πρῶτον· κἀκεῖθεν πρὸς τὴν ἀντιπέρας ἤπειρον περαιωθείς, τὰ ἐκεῖ παράλια τῆς Θρᾴκης παραπλεῖ, ἄδηλος ὢν ὅποι ἀποβήσεται. αὐτίκα τε ἐκ τῶν παρόντων ὅσους ἐνῆν συναγαγών, πρὸς τὰ παράλια ἐχώρει τῆς Θρᾴκης ὡς τῷ Περσικῷ στόλῳ κώλυμα ἐσόμενος τοῦ μὴ ἀποβάντας κακοῦν τὴν χώραν. συμβέβηκε δὲ βασιλέα τε κατὰ τὰ Κουμουτζηνὰ πόλισμα τῆς Θρᾴκης οὐ πολὺ ἀπῳκισμένον τῆς θαλάσσης αὐλίσασθαι τὴν νύκτα, καὶ Ἀμοὺρ κατὰ τὴν Ποροῦν παράλιον τῆς Θρᾴκης χώραν καταντικρὺ Κουμουτζηνῶν τὴν ἀπόβασιν ποιήσασθαι· ἐξελθόντα τε αὐτὸν πανστρατιᾷ ὡς ἐπὶ λείαν, καὶ βασιλέα ἐπὶ τὸ κωλῦσαι προελθεῖν, συντυχεῖν ἀλλήλοις κατά τι χωρίον ὠνομασμένον Παναγίαν. ὃ ὕπτιον μὲν ἦν καὶ ὁμαλὸν, καὶ μάλιστα ἐπικαιρότατον ἱππεῦσι πρὸς πεζοὺς διαγωνίζεσθαι, καὶ διὰ τοῦτο βασιλεῖ παρεῖχε προθυμίαν συμπλέκεσθαι τοῖς βαρβάροις. ἀπέτρεπε δὲ αὖθις τὸ πλῆθος τῶν Περσῶν, οὐ τρὶς καὶ τετράκις, οὐδὲ δεκάκις, ἀλλὰ καὶ πλεονάκις τοσούτων ὄντων ἢ*

помежду си малко думи, споразумяха се и същия ден сключиха договора. И царете положиха клетва според обичая. И пуснаха оцелелите ромейски пленници без откуп, защото така бе уговорено в договора. На следния ден, като се събраха на същото място, ядоха заедно и разговаряха през целия ден за случилото се предния ден по време на сражението. Александър и мизите се учудваха на ромейската храброст и мъжество, понеже малцина се сражавали срещу мнозина и въпреки че наредените след тях били вече напълно победени, не загубили храбростта си и мъжеството, като че ли нищо ново не било станало и се сразили без никакво колебание с неприятелите. И когато след това отстъпили, надвити от множеството, изобщо не побягнали, а отстъпвайки, се бранели, което най-вече ги спасило. Александър потвърди с клетва, че ако още малко били запазили строя си и не били избягали, те не биха издържали, а сами биха избягали, поразени от смелостта и храбростта им и най-вече от тази на императора. Те през целия ден говореха такива и подобни неща, а вечерта се разделиха и Александър се върна у дома си, а императорът, като прекара немного дни в Росокастро, вдигна се оттам и като отиде в Димотика, разпусна войската.

II, 28. След петнадесет дни му бе съобщено, че Омур[162], сатрапът на Смирна, Ефес и на другите градове в Йония, с флота от седемдесет и пет кораба преплувал Егея и достигнал най-напред Самотраки. Оттам, като се отправил към срещуположния бряг, плувал покрай тамошното крайбрежие на Тракия, без да знае къде ще отиде. Веднага (императорът) събра колкото можа от наличните войски и се отправи към крайбрежието на Тракия, за да попречи на персийската войска да не слезе на сушата и да опустоши страната. Случи се, че императорът пренощува в тракийското градче Кумуцина[163], заселено недалеч от морето, а Омур слезе при крайбрежното място на Тракия Порун, срещу Кумуцина. Той излезе с цялата си войска за плячка, а императорът отиде да го възспре и те се срещнаха при някакво място, наречено Панагия. То бе гладко и равно и твърде удобно да се сражават с коне срещу пехотинци. И това подтикна императора да се срази с варварите. Но веднага го възпря множеството перси, които не три-четири пъти, но десет пъти бяха повече от тия, които водеше, и ὅσους ἦγεν αὐτός, καὶ διὰ τοῦτο οὔτε ἀφίστασθαι αὐτῶν ἠδύνατο ὁρῶν οὐκ ἀνέλπιστον τὴν ἐπιχείρησιν αὐτῶν· τό, τε συμπλέκεσθαι ἐποιεῖτο ἐν δεινῷ, εἰ ὀλίγους ἄγων πρὸς τοσούτους διακινδυνεύσοι. ἐλπίζων δὲ ἀφίξεσθαι καὶ ἄλλην στρατιάν, ἣ ἦν προστεταγμένη πρὸς αὐτὸν ἐλθεῖν, περιέμενεν ἐκεῖ, ὡς εἰ ἀφίξοιτο τοῖς βαρβάροις συμβαλών. οὕτω γὰρ ὅ,τε μέγας δομέστικος καὶ ὁ τούτου πενθερὸς Ἀσάνης συνεβούλευεν ἐκεῖ παρών. οἵ τε βάρβαροι τῇ φύσει μὲν τοῦ τόπου οὐκ ἐθάῤῥουν διὰ τὸ μηδεμίαν εἶναι ἀναχώρησιν πρός τι καρτερὸν, εἰ βιάζοιντο ὑπὸ τῶν ἱππέων· τῷ πλήθει δὲ ὁρῶντες ἑαυτοὺς ὑπερέχοντας πολὺ τῶν πολεμίων, ἐκαρτέρουν, μήτε ἄρχοντες αὐτοὶ πολέμου, μήτε ἀναχωροῦντες, ἵνα μὴ θάῤῥος παρέχωσι Ῥωμαίοις ἐπιφέρεσθαι αὐτοῖς. οὕτω μὲν οὖν ἀμφότερα τὰ στρατεύματα εἱστήκει ἀλλήλοις ἀντιπαρατεταγμένοι, γνώμην ἔχοντες ἑκάτεροι μὴ προεπιχειρεῖν, ἀλλ' ἀμύνεσθαι τοὺς ἐπιόντας. ἐπεὶ δὲ ἤδη περὶ δείλην ἡ ἡμέρα ἦν, οἱ βάρβαροι πρότερον Ἑλληνιστὶ πρὸς Ῥωμαίους εἶπον, ὡς οὐ δέον ἀργοὺς οὕτω διὰ πάσης ἱστάναι τῆς ἡμέρας· ἀλλ' ἢ μάχην συνάπτειν, ἢ ἀναχωρεῖν σπονδὰς θεμένους. μηδὲν δὲ ἀποκριναμένων τῶν Ῥωμαίων, οἱ βάρβαροι μικρὸν διαλιπόντες, ἐπυνθάνοντο πάλιν, ὅθεν εἴη τε ἡ στρατιὰ καὶ τίς ὁ ἐξηγούμενος αὐτῆς. κελεύσαντος δὲ βασιλέως, ἀπεκρίναντο, τὴν μὲν στρατιὰν ἐκ τῶν παρακειμένων πόλεων ἐγχωρίων εἶναι συνειλεγμένην· στρατηγεῖν δὲ αὐτῆς τὸν ἐκ βασιλέως ἐπιτετραμμένον τὴν τῶν πόλεων ἡγεμονίαν. αὐτοὶ δὲ τὸν μὲν στρατηγὸν ἀπεκρίναντο οὐκ ἀγνοεῖν, ἀλλὰ σαφῶς εἰδέναι ὅστις εἴη· μηνύειν τε αὐτῷ τὸν αὐτῶν σατράπην Ἀμοὺρ, ὡς αὐτοὶ μὲν ἥκοιεν κέρδους ἕνεκα ἐνταῦθα, οἰόμενοι κώλυμα οὐδὲν ἔσεσθαι αὐτοῖς πρὸς τὴν ὁρμήν. ὑμῶν δὲ ἐμποδὼν γεγενημένων, διὰ πάσης μὲν ἡμέρας ἑστάναι ἐνταυθοῖ, ἔργῳ δεικνύντας, ὡς οὐκ ὀῤῥωδοῦμεν τὴν μάχην τὴν πρὸς ὑμᾶς, ἀλλ' οὕτω παρεσκευάσμεθα, ὡς διαγωνιούμενοι ὑμῖν, ἂν πρῶτοι ἄρχητε πολέμου· κλινούσης δὲ ἤδη τῆς ἡμέρας, καιρὸν εἶναι πρὸς τὰς ναῦς καὶ τὸ στρατόπεδον ἀναχωρεῖν· κἂν μὲν καὶ ὑμῖν δοκοίη βέλτιον ἀποσχέσθαι μάχης, ἀγαπήσειν καὶ αὐτούς, ἂν δ' ἐθέλητε συμπλέκεσθαι, ἀμυνεῖσθαι καὶ αὐτοὺς τὰ δυνατά. τοιαῦτα εἰπόντες, ἀναστρέψαντες ᾔεσαν τεταγμένοι πρὸς τὰς ναῦς· βασιλεῖ δὲ καὶ τοῖς συνοῦσιν ἀρκεῖν ἐδόκει τὸ φθορᾶς τοσαύτης τὴν χώραν ἀπαλλάττειν καὶ μὴ διὰ φιλονεικίαν ἑαυτοὺς εἰς κίνδυνον ἐμβάλλειν, ὀλίγους συμπλεκομένους πρὸς πολλούς. ἀλλ' ἐπεὶ κεναῖς χερσὶν οἱ βάρβαροι ἀπήλλαξαν καὶ τῶν ἰδίων τινὰς ἀποβαλόντες, (τινὰς γὰρ αὐτῶν ἀπέκτειναν οἱ Ῥωμαῖοι, περί τι χωρίον ἐσκεδασμένοις ἐντυχόντες,) ἀγαπᾶν καὶ αὐτοὺς ἀναιμωτὶ τὴν νίκην καρπουμένους. διὸ καὶ ὥσπερ ἀπὸ συνθήκης ἀπέσχοντο τῆς

---

[162] Омур, селджукски емир в Мала Азия, съюзник на Йоан Кантакузин. Вж. Острогорски, пос. съч., с. 482—484. [163] Кумуцина, дн. Гюмюрджина.

поради това нито можеше да се откъсне от тях, защото виждаше, че ще го нападнат, а и да се срази бе опасно, ако рискува да поведе малцина срещу толкова много. Но надявайки се, че ще пристигне и друга войска, на която бе наредено да дойде при него, остана там, за да нападне варварите, ако тя пристигне. Защото великият доместик и неговият зет Асен го посъветваха така — да остане там. А и варварите поради природата на мястото не смееха да рискуват, понеже нямаше укрепено място, къдeто да отстъпят, ако бъдат принудени от конницата. Но като виждаха, че по численост превъзхождат много неприятелите, нито сами почваха сражение, нито отстъпваха, за да не насърчат ромеите да ги нападнат. Така и двете войски стояха наредени една срещу друга, като едните и другите бяха решили да не нападат първи, а да се бранят от нападащите. А когато вече денят преваляше, варварите казаха по гръцки на ромеите, че не трябва да стоят така бездейни през целия ден, но или да почнат сражение, или да се върнат, като сключат мир. Но тъй като ромеите не отговориха нищо, варварите почакаха малко и отново запитаха, откъде е войската и кой е нейният началник. По заповед на императора отговориха, че войската е събрана от околните градове. Предводителствувал я натовареният от императора човек да управлява градовете. А онези отговориха, че не само добре са познали стратега, но и добре знаели кой е. Техният сатрап Омур му съобщил, че сами са дошли тук заради плячка, като смятали, че не ще им се попречи при нападението. „А понеже вие се изпречихте, стоим през целия ден тук, показвайки на дело, че не се боим от сражението с вас, но така се приготвихме, че да се сражаваме с вас, ако първи започнете боя. А тъй като денят премина, време е да се върнем при корабите и в лагера. Ако и вие смятате, че е по-добре да се откажете от сражението, ще сме доволни и ние, а ако желаете да се сразите, ще се браним и ние според силите си.“ Като казаха това, върнаха се и отидоха под строй при корабите. А императорът и приближените му решиха, че е достатъчно да отърват страната от такова опустошение и да не се подхвърлят на опасност поради честолюбие, сражавайки се малцина срещу мнозина. И тъй като варварите си отидоха с празни ръце и загубиха някои от своите хора (защото ромеите убиха някои от тях, срещайки ги пръснати около някакво селище), те бяха доволни, че безкръвно спечелиха победата. И поради това като по μάχης. καὶ Ἀμούρπεκις μὲν ταῖς ναυσὶν ἐμβὰς, ἀπέπλει πρὸς Ἀσίαν· βασιλεὺς δὲ εἰς Διδυμότειχον ἐπανῆκε, καὶ διῆγαγεν ἐνιαυτὸν, μήτε ἀπὸ τῶν ἑσπερίων μήτε τῶν ἑῴων βαρβάρων πόλεμον μηδένα ἔχων. μετὰ δὲ τοῦτο μηνὶ Φεβρουαρίῳ ἰνδικτιῶνι πέμπτῃ ἐπὶ δέκα, ἔτει τεσσαρακοστῷ ἐπὶ ὀκτακοσίοις καὶ ἑξακισχιλίοις, Ἀντώνιος ἐτελεύτησεν ὁ βασιλεὺς, δύο καὶ ἑβδομήκοντα ἔτη γεγονώς. καὶ μετὰ ἥμισυν καὶ ἕνα ἐνιαυτὸν ἀπὸ τῆς βασιλέως τελευτῆς ἡ Ἀνδρονίκου τοῦ βασιλέως μήτηρ βασιλὶς ἡ Ξένη ἐτελεύτησεν. ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους μετὰ μικρὸν καὶ ὁ Θετταλίας δεσπόζων τῆς ὁμόρου τῇ Βοτιαίᾳ Γαβριηλόπουλος Στέφανος ὁ σεβαστοκράτωρ ἐτεθνήκει. Θεσσαλονίκης δὲ ἐπιτροπεύων ἐν τῷ τότε ὕπαρχος ὁ Μονομάχος, συνέσει τε ἀγαθὸς καὶ πράγμασιν εἰδὼς χρῆσθαι, τά τε κατὰ τὰς στρατείας ἐξησκημένος καὶ στρατηγεῖν ἱκανὸς, συνιδὼν καιρὸν εἶναι ἐπιθέσθαι Θετταλίᾳ, ὡς ἂν ὑπαγάγοι βασιλεῖ, στρατιὰν ὅσην ἐνῆν ἀθροίσας ἐκ Θεσσαλονίκης, ἐσέβαλεν εἰς αὐτὴν, οὖσαν τεταραγμένην διὰ τὴν τοῦ δεσπόζοντος τελευτήν. καὶ εἷλε τόν τε Γόλον καὶ Καστρὶν καὶ Λυκόστομον πολίσματα αὐτῆς. Σταγοὺς δὲ καὶ Τρίκαλα καὶ Φανάριον καὶ Δαμάσιν καὶ Ἐλασῶνα, ἃ ὑπὸ Γαβριηλόπουλον ἐτέλουν, καὶ ἕτερα φρούριά τινα ὁ τῆς Ἀκαρνανίας ἄρχων ὁ δεσπότης Ἰωάννης ὁ δοὺξ φθάσας παρεστήσατο ὁμολογίᾳ. καὶ κατασχὼν φρουραῖς, ἐπανῆλθεν εἰς Ἀκαρνανίαν. βασιλεὺς δὲ ἐπεὶ ἐπύθετο τὰ κατὰ Θετταλίαν, ἔγνω δεῖν ἐκεῖ παραγενέσθαι. καὶ ὀλίγῳ ὕστερον ἐλθὼν, εἷλε πάντα ὅσα ὑπεποιήσατο ὁ δούξ. καὶ τοὺς φρουροὺς ἐκβαλὼν, ἠδίκησεν οὐδέν· ἀλλ' εὖ ποιήσας, ἀπέπεμψεν εἰς τὴν οἰκείαν. διατρίβοντα δὲ ἐν Θετταλίᾳ βασιλέα οἱ τὰ ὀρεινὰ τῆς Θετταλίας νεμόμενοι Ἀλβανοὶ ἀβασίλευτοι Μαλακάσιοι καὶ Μπουῖοι καὶ Μεσαρῖται ἀπὸ τῶν φυλάρχων προσαγορευόμενοι, περὶ δισχιλίους καὶ μυρίους ὄντες, προσεκύνησαν ἐλθόντες καὶ ὑπέσχοντο δουλεύσειν. ἐδεδοίκεσαν γὰρ μὴ, χειμῶνος ἐπελθόντος, διαφθαρῶσιν ὑπὸ τῶν Ῥωμαίων, ἅτε πόλιν οἰκοῦντες οὐδεμίαν, ἀλλ' ὄρεσιν ἐνδιατρίβοντες καὶ χωρίοις δυσπροσόδοις, ὧν ἀναχωροῦντες τοῦ χειμῶνος διὰ τὸ κρύος καὶ τὴν χιόνα, ἄπιστόν τινα ἐν τοῖς ὄρεσιν ἐκείνοις νιφομένην, εὐεπιχείρητοι ἔσεσθαι ἐδόκουν. βασιλεὺς δὲ ἐκεῖθεν ἀναζεύξας ἦλθεν εἰς Θεσσαλονίκην. καὶ μετ' οὐ πολλὰς ἡμέρας πρεσβείαν πρὸς αὐτὸν ὁ Κράλης πεπομφὼς, ἠξίου καθ' ὃν ἂν δοκοίη τόπον γενομένους ἐν ταὐτῷ φιλίας ἕνεκα, ἀλλήλοις τε συνησθῆναι καὶ ὁμιλίας τῆς ἀλλήλων καὶ συντυχί-

споразумение се отказаха от сражението. И Омурбег се качи на корабите и отплува в Азия. А императорът се върна в Димотика и прекара една година, без да воюва нито със западните, нито с източните варвари. А след това през месец февруари индикт петнадесети, в година шест хиляди осемстотин и четиридесета, умря император Антоний на седемдесет и две години. И година и половина след смъртта на императора умря майката на императора Андроник, императрица Ксения. По същото време наскоро се помина севастократор Стефан Гавриелопул, деспот на Тесалия, съседна на Беотия. А по това време хипархът Мономах, който управляваше Солун, мъдър и вещ в работата си, а също опитен в походите и способен в командуването, като видя, че е удобно да нападне Тесалия, за да я подчини на императора, събра колкото имаше войска от Солун и нахлу в Тесалия, разтърсвана от безредици поради смъртта на управителя. И завладя нейните градчета Голо, Кастрин и Ликостом.[164] А архонтът на Акарнания, дукът деспот Йоан, си бе подчинил доброволно преди това Стаг,[165] Трикала, Фанарий, Дамасис и Еласон,[166] които бяха под властта на Стефан Гавриелопул, и някои други крепости. И като ги задържа с гарнизони, върна се в Акарнания. А когато императорът научи за положението в Тесалия, реши, че трябва да отиде там. Той отиде малко по-късно и завладя всички градове, които си бе подчинил дуксът. И изгони стражите, без да им направи нищо лошо. Но след като се показа благороден, върна се у дома си. Обитаващите без царе планините на Тесалия албанци, малакаси, буи и месарити, наричани така от филарсите, на брой около дванадесет хиляди, дойдоха да поздравят императора, който се намираше в Тесалия, и да обещаят, че ще му се подчиняват. Защото те при настъпването на зимата се страхуваха да не бъдат погубени от ромеите, понеже не живееха в никакъв град, но прекарваха в планини и труднопроходими места и смятаха, че ще бъдат лесно уязвими, когато слизат оттам поради студа и снега, който е невероятно обилен в тия планини. А императорът се върна оттам и пристигна в Солун. И не след много дни кралят проводи при него посолство и поиска да се срещнат в място, което сметне за удобно, да се повеселят заедно в него заради приятелството и да се насладят ας ἀπολαῦσαι. ἐπεὶ δὲ καὶ βασιλεῖ τοῦτο ἐδόκει κατὰ γνώμην καὶ ἐπένευε πρὸς τὴν ἀξίωσιν, συνέθεντο μετὰ τῶν πρέσβεων ἐν Βαϊμὶ τὴν ἔνωσιν γενέσθαι χωρίῳ Μακεδονικῷ. ὁ Κράλης μὲν οὖν, ἐπεὶ ἐπύθετο τὸ σύνθημα, ἐκ τῆς οἰκείας ὁρμηθεὶς πρὸς τὸ συντεθειμένον χωρίον ἧκε· βασιλεὺς δ' ὥσπερ ἔκπληξίν τινα βουληθεὶς τῷ Κράλῃ ἐμποιῆσαι ἢ μᾶλλον ἀδόλου καὶ καθαρᾶς φιλίας πίστεις παρασχεῖν, τὸ μετὰ παρασκευῆς καὶ ἀντιρρόπου στρατιᾶς εἰς τὸν ὡρισμένον τόπον ἐλθεῖν καταλιπών, τριακοσίους τῶν ἰδίων ἀπολεξάμενος, καὶ ἐκ τῶν ἐπιφανῶν τινας ὀλίγους χωρὶς τῶν πρὸς ὑπηρεσίας τεταγμένων, ἔτι περὶ μέσην τὴν οἰκείαν διατρίβοντι τῷ Κράλῃ κατὰ τὸ Ῥαδοβόσδιον προσαγορευόμενον, ἠγγέλλετο ὁ βασιλεὺς ἐξαίφνης προσιών. πρῶτα μὲν οὖν ἐθορυβήθη δείσας τὴν βασιλέως ἔφοδον, μὴ οὐ κατὰ φιλίαν εἴη. ὡς δὲ ἐπύθετο τὸν ἀριθμὸν τῶν ἑπομένων καὶ τὴν γνώμην βασιλέως ἣν ἔχων μετὰ τοσούτων ἥκει, ὑπερηγάσθη τε τὸν βασιλέα τῆς ἀδόλου γνώμης καὶ τῆς πρὸς τοὺς φίλους ἐλευθερίας, καὶ συνήδετο ἑαυτῷ τοιοῦτον κτησαμένῳ φίλον. εἱστίασέ τε αὐτὸν φιλοτίμως μάλα καὶ βασιλικῶς, καὶ παρακατέσχεν ἑαυτῷ ἐφ' ἡμέραις ἑπτά. πολλήν τε ἐπιδειξάμενος φιλοφροσύνην καὶ μετρίως ἐς τὰ μάλιστα καὶ οἷα δεσπότη προσενεχθεὶς τῷ βασιλεῖ, μετὰ τὴν ἑβδόμην αὐτὸς μὲν ὑπελείπετο εἰς τὴν οἰκείαν, βασιλέα δὲ χαίρων χαίροντα οἴκαδε ἀπέπεμπε. κατὰ ταύτην δὲ τὴν συντυχίαν καὶ μεγάλῳ δομεστίκῳ ἐγένετο πρὸς Κράλην φιλία ἰσχυρὰ πεῖραν ἑαυτοῦ παρασχομένῳ.

---

[164] Голо, Кастрин и Ликостом, градове в Тесалия. [165] Стаг, дн. Калабака в Тесалия. [166] Трикала, Фанарий, Дамасис и Еласон, градове в Тесалия.

(I, pp. 470_{14}—475_{25})

взаимно на разговора и срещата. И понеже императорът се съгласи на това и прие молбата, уговори се с пратениците срещата да стане във Ваими, село в Македония. А пък кралят, като научи за уговореното, тръгна от страната си и пристигна на уреченото място. Императорът пък, желаейки да внуши някакъв страх на краля или по-скоро да даде гаранции за истинско и искрено приятелство, пренебрегна да дойде с приготовления и равностойна войска на определеното място, но избра триста от своите хора и малцина от знатните освен определените за прислугата. На краля, който още се намираше в централната част на страната си при така нареченото място Радовощ, бе съобщено, че императорът внезапно пристига. Наистина отначало той бе смутен и се уплаши от идването на императора да не би да не е приятелско. Но когато научи броя на тия, които го следваха, и намерението, което имаше императорът, дошъл с толкова хора, учуди го твърде много искреното намерение на императора и благородството спрямо приятелите, и се зарадва, че си е спечелил такъв приятел. Угости го твърде приятелски и царски и го задържа при себе си седем дни. Като се отнесе с най-голямо смирение към императора, каквото подобава към господар, на седмия ден сам остана у дома си, след като радостно изпрати радостния император. По време на тази среща и великият доместик, който прояви опитността си, завърза с краля голяма дружба.

18. De legatione Bulgarorum ad imperatorem iuniorem missa

II, 33 . . . ἐκεῖθεν δὲ οὐ πολὺ ὕστερον ἧκεν εἰς Ἀδριανούπολιν. διατρίβοντί τε ἐκεῖ ὁ τῶν Μυσῶν βασιλεὺς Ἀλέξανδρος ἔπεμψε πρεσβείαν ὧν πρὸς αὐτὸν ἐν Ῥωσοκάστρῳ περὶ τοῦ κήδους διελέχθη λόγων ἀναμιμνήσκων, νυνί τε εἰ κατὰ γνώμην αὐτῷ εἴη τὴν ἐπιγαμίαν ποιεῖσθαι εἰδέναι ἀξιῶν. βασιλεῖ δὲ τοῦτο μὲν οὐκ ἦν καθ' ἡδονήν. μᾶλλον γὰρ ἐβούλετο τὴν θυγατέρα οἴκοι διατρίβειν, ἢ Ἀλεξάνδρου τῷ υἱεῖ εἰς κοινωνίαν ἐκδιδόναι γάμου, τὴν παρὰ τοῖς βαρβάροις διατριβὴν εἰδὼς οὐκ ἐσομένην πρὸς ἡδονὴν τοῖς ἤθεσι καὶ νόμοις Ἑλληνικοῖς ἐντεθραμμένη καὶ βασιλικοῖς· τῷ κοινῷ δὲ Ῥωμαίων τὸν γάμον οἰόμενος τῆς

18. Българско пратеничество при византийския император

II, 33. . .[167] А немного дни след това дойде оттам в Адрианопол[168]. Когато пребиваваше там, царят на мизите Александър му проводи пратеничество, напомняйки му за разговора в Росокастро относно брака и поиска да узнае дали сега му е приятно да се сключи бракът. Но това не бе приятно на императора. Защото повече желаеше дъщерята да си седи в къщи, отколкото да я омъжи за сина на Александър, тъй като знаеше, че пребиваването сред варварите не ще ѝ бъде приятно, понеже тя е възпитана според елинските царски обичаи и закони. Но обеща, че ще го направи, смятайки, че бракът на дъщерята е полезен за ромей-

---

[167] В пропуснатия пасаж се говори за преговорите, които се водели между Андроник III Палеолог и жителите на Акарнания, за сключване на брак между сина на починалия епирски деспот Никифор и дъщерята на Йоан Кантакузин. [168] Става дума за Андроник III Палеолог, който, след като подчинил Акарнания и Тесалия, заминал за Одрин.

θυγατρὸς λυσιτελεῖν, ὑπέσχετο ποιήσειν. οἱ μὲν οὖν Ἀλεξάνδρου τοῦ βασιλέως πρέσβεις πρὸς τὴν οἰκείαν ἐπανῆκον χαίροντες, ὅτι βασιλέα πεῖσαι ἠδυνήθησαν περὶ τοῦ κήδους. αὐτὸς δὲ βασιλεὺς ἐκ τῆς Ἀδριανοῦ πρὸς τὸ Βυζάντιον ἧκεν, ὡς τῆς θυγατρὸς ἐξαρτυσόμενος τοὺς γάμους.

(I,pp. 504₁₆—505₇)

II 34 . . . *βασιλεὺς δὲ ἐπεὶ τὰ πρὸς τοὺς γάμους τῆς θυγατρὸς πάντα παρεσκευασμένα ἦν, ἄρας ἐκ Βυζαντίου, ἧκεν εἰς Ἀδριανούπολιν, ἐκεῖ τοὺς γάμους ἐκτελέσων. ἧκε δὲ καὶ ὁ τῶν Μυσῶν βασιλεὺς Ἀλέξανδρος ἄγων καὶ τὸν υἱὸν Ἀσάνην Μιχαὴλ, βασιλέα καὶ αὐτὸν κεχειροτονημένον ὑπ' αὐτοῦ. καὶ εὐλογίαι μὲν καὶ ὅσα ἱερῶς νενόμισται ἐπὶ τοῖς γάμοις ἔνδον ἐτελοῦντο τῆς πόλεως Ἀδριανοῦ· εὐωχίαι δὲ καὶ πότοι καὶ ὅσα πρὸς τέρψιν ἐξεύρηντο τῆς ἑορτῆς, παρὰ τοὺς τῆς Κομνηνῆς προσαγορευομένους λειμῶνας οὐ πολὺ τῆς πόλεως διεστηκότας. παρὰ τὴν Τοῦντζαν ὠνομασμένον ποταμόν. ὀκτὼ δὲ ἡμέραις Ῥωμαίων τε καὶ Μυσῶν τοὺς τῶν σφετέρων βασιλέων γάμους συνεορτασάντων, τῇ ἐννάτῃ ἅμα ἕῳ βασιλεὺς Ἀλέξανδρος καὶ Μυσοὶ τὴν βασιλέως θυγατέρα, βασιλίδα δὲ αὐτῶν Μαρίαν τὴν Παλαιολογίναν παραλαβόντες, ἀνεχώρησαν εἰς τὴν Μυσίαν· εἵποντο δὲ αὐτῇ καὶ Ῥωμαίων ἐκ τῶν ἐπιφανῶν πολλοὶ ἄχρι Τρινόβου. ἐκεῖ δὲ ὑπολελειμμένων τῶν παρὰ βασιλέως τεταγμένων ἀεὶ τῇ θυγατρὶ συνεῖναι, οἱ λοιποὶ ἀνεχώρησαν ἐπ' οἴκου.*

(I, pp. 508₁₆—509₁₀)

ската държава. А пратениците на цар Александър се върнаха радостна у дома си, понеже можаха да убедят императора за брака. А императорът от Адрианопол отиде във Византион, за да приготви брака на дъщеря си.

II, 34. . .[169] Понеже всичко около брака на дъщеря му бе готово (императорът се) вдигна от Византион и пристигна в Адрианопол, за да извърши там бракосъчетанието. Пристигна и царят на мизите Александър заедно със сина си Михаил Асен и той провъзгласен от него за цар. И в Адрианопол бяха изпълнени благословии и каквито обреди са определени от църквата при брака. В така наречените Комнинови ливади, отстоящи недалеч от града при така наречената р. Тунджа, бяха приготвени ястия и напитки и всичко, каквото е измислено за приятно прекарване на празненството. След като осем дни ромеи и мизи отпразнуваха заедно брачното тържество на своите царе, на деветия ден на разсъмване цар Александър и мизите с дъщерята на императора, тяхна царица, Мария Палеолог, се върнаха в Мизия. Много знатни ромеи я следваха чак до Търново. А там останаха определените от императора лица, които щели да бъдат винаги с дъщерята, а останалите се върнаха у дома си. . .

19. Imperator iunior oppidula Thraciae reaedificat

19. Младият император възстановява крепости в Тракия

II 38 . . . *ἐνδιατρίψας δὲ καὶ Βυζαντίοις χρόνον τινὰ οὐχὶ συχνὸν, ἔμελλεν αὖθις εἰς Θρᾴκην ἐξελθὼν πόλιν παλαιὰν κατεσκαμμένην, ἧς φασιν Ἀρκάδιον εἶναι οἰκιστὴν τὸν Θεοδοσίου τοῦ μεγάλου, ἐξ οὗ καὶ τὴν προσηγορίαν ἔλαχεν, Ἀρκαδίου προσαγορευομένη πόλις, αὖθις ἀνοικοδομεῖν, ἔστιν οὗ καὶ ἄχρι νῦν περισωζομένων τῶν τειχῶν, ἀγασθεὶς τοῦ τόπου τὴν εὐφυΐαν. ἦν γὰρ καὶ περὶ τὰς οἰκοδομὰς φιλότιμος ὁ βασιλεὺς, οὐ μόνον χρείας ἕνεκα, ἀλλὰ καὶ ψυχαγωγίας ὢν ἕτοιμος ἀναλοῦν. περὶ μὲν γὰρ Θεσσαλονίκην οὔπω πρότερον ὂν τὸ Γυναικόκαστρον προσαγορευόμενον ἐτείχισε, καὶ πύργον ἐπιστήσας μεγέθει τε μέγιστον καὶ καρτερώτατον ἀντισχεῖν πρὸς πολεμίων μηχανάς· ὅθεν ἔλαχε καὶ τὴν προσηγορίαν, ὡς καὶ γυναικείας οὔσης φρουρᾶς, κρείττων ἐσόμενος παντοίας πολεμίων προσ-*

II, 38. . .[170] И като остана малко време във Византион, възнамеряваше пак да отиде в Тракия и отново да възстанови един стар разрушен град, за който казват, че бил заселен от Аркадий[171], син на Теодосий Велики[172], от когото и получил наименованието Аркадиопол. И досега неговите стени са запазени. Той бе чудесен по разположението си и защото императорът бе твърде щедър в строежите не само поради необходимост, но и бе готов да изразходва средства за душевно удовлетворение. И наистина до Солун построи несъществуващо по-рано укрепление, наречено Гинекокастрон, и прибави твърде висока и здрава кула, която да устои на неприятелските обсадни машини. Поради това получи и наименованието си, тъй като щеше да бъде твърде силна срещу всяко нападение на βολῆς. καὶ περὶ Φερὰς ἕτερον Σιδηρόκαστρον, καὶ αὐτὸ διὰ τῶν τειχῶν τὸ εὐπαγὲς καὶ λίαν ὀχυρὸν ὠνομασμένον. Ἀμφίπολιν δὲ τὴν ἐν Στρυμόνι πόλιν Ἑλληνίδα παλαιάν, ἐκ πολλῶν ἐτῶν κατεσκαμμένην αὖθις ἐτείχισεν ὁ βασιλεὺς καὶ συνῴκισεν ἐκ τῶν πέριξ πόλεων πέμψας ἀποικίας. οὐ μὴν ἀλλὰ καὶ περὶ Θρᾴκην παράλιον ἑτέραν πόλιν κατεσκαμμένην καὶ αὐτήν, ἧς φασιν Ἀναστάσιον βασιλέα Ῥωμαίων οἰκιστὴν καὶ ἐξ ἐκείνου προσαγορευομένην, ἀνέστησεν αὖθις οὐ πᾶσαν, ἀλλ' ὅσον μάλιστα ἐνῆν ἀπολαβών, καὶ Περιθεώριον προσηγόρευσεν. ἕτερον δὲ φρούριον ἐδείματο, οὐ πολὺ ἀφεστηκὸς θαλάσσης, Διπόταμον προσαγορευθέν. ἃ δὴ πάντα οὐ μᾶλλον φιλοτιμίας ἢ ἀσφαλείας τῶν χωρίων ἕνεκα, ἐν οἷς ἐκτίσθησαν, ἐτείχισεν ὁ βασιλεύς. Ἀρκαδιούπολιν δὲ διὰ τὰς ἐκ τῶν Σκυθῶν ἐφόδους ἀναγκαίαν οὖσαν, ἀνοικοδομῆσαι ἠβουλήθη πολυτελῶς καὶ οἰκήτορας ἐκ τῶν ἐπιφανῶν ἐγκαθιδρύσαι, εὐδαίμονά τε καὶ ὀλβίαν ἀποδεῖξαι καὶ τῶν κατὰ τὴν Θρᾴκην ἄλλων πόλεων ὑπερέχουσαν πολλῷ μετὰ τὴν μεγάλην πόλιν.

---

[169] В пропуснатия пасаж става дума за турска войскова част, която се готвела да премине Хелеспонта около Цариград, и мерките, които Андроник III взел срещу нея. [170] В пропуснатия пасаж се говори за сключването на брак между сина на Йоан Кантакузин, Матей, и дъщерята на солунския деспот Димитър, а също така за назначаването на великия дук Апокавк за началник на флотата. [171] Аркадий, източноримски император (395—408). [172] Теодосий Велики, източноримски император (378—395).

(I, pp. 541_{15}—542_{25})

20. Bulgarorum rex Alexander a Romanis Sismanum exulem Byzantii degentem petit

III, 2 . . . ὁ γὰρ τῶν Μυσῶν βασιλεὺς Ἀλέξανδρος πρεσβείαν πέμψας πρὸς βασιλίδα καὶ Ῥωμαίους, τὸν παρ' αὐτοῖς διατρίβοντα φυγάδα ᾔτει Σίσμανον τὸν τοῦ παρὰ Μυσοῖς προβεβασιλευκότος Μιχαήλ· ὃς δὴ γεγένητο αὐτῷ ἐκ τῆς Στεφάνου τοῦ τῶν Τριβαλῶν ἄρχοντος ἀδελφῆς, ἣ μετὰ τὴν ἐκείνου τελευτὴν ἦρξε Μυσίας. πρότερον γὰρ ἐκβεβλημένη ὑπ' ἐκείνου ἦν ἔτι περιόντος καὶ τῇ βασιλέως Ἀνδρονίκου τοῦ νέου συνοικοῦντος ἀδελφῇ. ἐπεὶ δὲ μετ' ὀλίγον ὑπὸ τῶν δυνατωτάτων ἐπιβουλευθεῖσα, πάλιν ἐξεβλήθη τῆς ἀρχῆς, ἡ μὲν τὸν ἕτερον ἔχουσα τῶν υἱῶν Ἰωάννην, πρὸς Κράλην ἐπανῆκε τὸν ἀδελφὸν, Σίσμανος δὲ ὁ λοιπὸς τῶν παίδων, εἰς Σκύθας ᾤχετο φυγάς. ὃς δὴ παρ' ἐκείνοις διατρίψας οὐκ ὀλίγον, ὕστερον Ῥωμαίοις ἑκοντὶ προσῆλθε μετὰ τὴν βασιλέως τελευτήν. τοῦτον δὴ Ἀλέξανδρος ᾐτεῖτο πέμψας, ὡς πολεμιώτατον αὐτῷ. ἔφασκέ τε δυοῖν θάτερον, ἢ παραδοῦναι Σίσμανον ἐπὶ θανάτῳ ἢ παρασκευά-

неприятелите дори ако гарнизонът бъде женски. И до Фере изгради друго укрепление, Сидерокастрон, наречено така поради якостта и здравината на стените. Императорът отново изгради разрушения преди много години древен елински град Амфипол[173] на Струма и го засели, като изпрати поселения от околните градове. Но тъй също възстанови друг разрушен град на тракийското крайбрежие, който казват, че е заселен от римския император Анастасий[174], чието име носи, но не целия, а колкото можа, и го нарече Перитеор[175]. Построи друга крепост, отстояща недалеч от морето, наречена Дипотамон[176]. Императорът изгради всички тези крепости не толкова за слава, колкото за сигурност на местата, в които се строяха. Пожела да възстанови богато Аркадиопол, нужен поради нападенията от страна на скитите, и да посели заселници от знатните, избра го като честит и богат, превъзхождащ много другите градове на Тракия след великия град[177]. . .

20. Българският цар Иван Александър иска от византийците Шишман, който пребивава в Цариград като беглец

III, 2. . .[178] Царят на мизите Александър проводи пратеничество при императрицата и ромеите и изиска Шишман, който живееше като беглец у ромеите и бе син на царувалия преди това у мизите Михаил[179]. Той му се бе родил от сестрата[180] на архонта на трибалите Стефан[181], която управляваше Мизия след смъртта му. Тя бе изгонена от него по-рано, докато той бе жив, когато се ожени за сестрата на младия император Андроник. След малко време ѝ бе устроен заговор от велемощните боляри и отново бе лишена от властта. Тя заедно с единия от синовете си, Йоан[182], се върна при брата си, краля, а Шишман, другият от синовете ѝ, избяга при скитите[183]. Той именно прекара немалко време при тях и по-късно, след смъртта на императора, доброволно отиде при ромеите. Александър го изискваше чрез пратеничество, понеже му бе най-големият враг. Той каза да изберат едно от двете: или да му предадат Шишман, за да ζεσθαι πρὸς πόλεμον, ὡς οὐκ ἐνὸν αὐτὸν εἶναι φίλον καὶ σύμμαχον Ῥωμαίοις, τοῦ πολεμιωτάτου τρεφομένου παρ' αὐτοῖς. ἔπεμπέ τε καὶ τοὺς ὅρκους, οἳ πρὸς βασιλέως Ἀνδρονίκου πρὸς αὐτὸν ἦσαν ἐπὶ τῇ εἰρήνῃ γεγενημένοι. ἡ μὲν οὖν Ἀλεξάνδρου πρεσβεία τοῦτον εἶχε τὸν τρόπον. ἔδει δὲ τὴν σύγκλητον συνελθοῦσαν βουλεύσασθαι ἅμα βασιλίδι, εἰ δέον ἢ τὸν αὐτόμολον παραδιδόναι ἢ πόλεμον ἄρασθαι πρὸς Μυσοὺς ὑπὲρ αὐτοῦ. οἱ μὲν οὖν συνῆλθον ἐν βασιλείοις. συμπαρῆν δ' αὐτοῖς καὶ δομέστικος ὁ μέγας ἅμα πατριάρχῃ. προτεθείσης δὲ τῆς βουλῆς ἐπ' ἐκκλησίας, οἱ μὲν ἄλλοι πάντες ἡσυχίαν ἦγον πρὸς τὸν μέγαν δομέστικον ἀποβλέποντες, ὅ, τι ἂν βουλεύσαιτο περὶ τῶν προκειμένων· Χοῦμνος δὲ Γεώργιος, ὁ ἐπὶ τῆς τραπέζης, ἀμαθῶς καὶ θρασέως πρίν τι φθέγξασθαί τινα „γέγραπται", εἶπεν „ἐὰν τῷ ἐσχάτῳ ἀποκαλυφθῇ, σιγάτω ὁ πρῶτος. ἂν οὖν καὶ ἡμῶν τινι τῶν δοκούντων ἐσχάτων εἶναι βέλτιόν τι περὶ ὧν νυνὶ βουλευόμεθα εἰπεῖν ἐξῇ, ἀνάγκη τὸν πρῶτον στέργειν." ἐταράχθη μὲν οὖν εὐθὺς ὁ μέγας δομέστικος ἐπὶ τῷ λόγῳ πρὸς τὴν θρασύτητα καὶ ἀναίδειαν τοῦ ἀνδρὸς ἀγανακτῶν. οἰόμενος δὲ τὴν βασιλίδα ἢ τὸν πατριάρχην (οὗτος γὰρ ἤδη προΐστατο τῆς βουλῆς,) πρὸς ὀργὴν τὸν Χοῦμνον ἀπελάσειν τοῦ βουλευτηρίου ἢ λόγοις ἐπιπλήξειν τῆς ἀκαίρου γλωσσαλγίας, ἤνεγκε σιγῇ. ὡς δὲ μήτε παρ' ἐκείνων ἐλέγετο τῶν δεόντων τι, ἔτι μᾶλλον ἐταράττετο, τεκμήριον ἐναργὲς ἀταξίας καὶ ἀναρχίας τιθέμενος τὸν λόγον, εἰ πᾶσιν ἐξέσται τοῖς μείζοσι προσκρούειν ἀδεῶς. Τορνίκης δὲ Δημήτριος οὐκ ἐνεγκὼν τὴν ἀτοπίαν, „τί οὖν;" εἶπε „δημοκρατίαν χρὴ ποιεῖν τὴν Ῥωμαίων βασιλείαν, ἵν' ἐξῇ παντί τῳ βουλεύεσθαι καὶ λέγειν, ἅττα ἂν δοκῇ, καὶ περὶ μειζόνων καὶ ἐλαττόνων πραγμάτων, καὶ ἀνάγκην προστιθέναι τοῖς βελτίοσι στέργειν τὰ ἐψηφισμένα. καὶ ποίαν ἀτοπίας ἂν ὑπερβολὴν ἐλλίποι τὸ τοιοῦτον;" ὡρμημένων τε ἤδη περὶ τῶν τοιούτων ἀλλήλοις ἀντιλέγειν, ἐπέσχεν ἡ βασιλίς, τῶν ἀκαίρων ἀποσχέσθαι κελεύουσα λόγων τουτωνὶ καὶ ἀναγκαίων πέρι διαλέγεσθαι. ὁ μέγας δὲ δομέστικος ὑποκρινάμενος τὸν στόμαχον ἀλγεῖν, ἐπλάττετό τε στρέφεσθαι τὰ ἔνδον καὶ ἐσιώπα, ὡς μηδὲ φθέγγεσθαι δυνάμενος ὑπὸ τῆς ἀλγηδόνος. οἱ δὲ ἀτάκτως ἐθορύβουν, ἕκαστος τὸ προσιστάμενον βουλόμενος κυροῦν. οἱ μὲν γὰρ ἔλεγον δεῖν Σίσμανον διασώζειν, ἱκέτην τῆς Ῥωμαίων βασιλείας γεγενημένον, καὶ μὴ καταπροδι-

---

[173] Амфипол, днес развалини до Еникьой на Орфанския залив, Вж. В. Златарски, История на българската държава през средните векове, т. III, София, 1972, с. 88. [174] Византийският император Анастасий I (491—518). [175] Перитеорион, крепост в Лагоския залив на Мраморно море. [176] Дипотамон, крепост, построена от Андроник III, намираща се в близост до Перитеорион, недалеч от Лагоския залив. [177] Великия град, т.е. Цариград. [178] В пропуснатия пасаж става дума за анатемата, която цариградският патриарх произнесъл срещу тия, които заговорничели срещу наследниците на Андроник III Палеолог. [179] Българският цар Михаил III Шишман имал трима сина: Иван Стефан, Михаил и Шишман. Вж. Бурмов, пос. съч., с. 276. [180] Става дума за първата съпруга на Михаил III Шишман, сръбкинята Ана-Неда. [181] Сръбският крал Стефан Урош III Дечански. [182] Т.е. Иван Стефан, единия от тримата сина на Михаил Шишман. [183] При скитите, т.е. при татарите.

го умъртви, или да се готвят за война. Той не можел да бъде приятел и съюзник на ромеите, докато при тях живеел найголемият му враг. Изпращаше и клетвите, които му бяха дадени за мира от императора Андроник[184]. Пратеничеството на Александър беше такова. Трябваше съветът да се събере и да се посъветва с императрицата дали да предадат беглеца или заради него да почнат война против мизите. И тъй те се събраха в двореца. А сред тях присъствуваше и великият доместик заедно с патриарха. Когато събранието започна разискването, всички други мълчаха, отправяйки поглед към великия доместик в очакване, какво би посъветвал относно предложението. Георги Хумн, столник[185], преди някой да е казал нещо,необмислено и дръзко каза: „Писано е, ако бъде открито на последния, първият да мълчи. Прочее, ако някой от нас, които се смятаме последни, може да каже нещо по-добро за това, за което се съветваме, редно е първият да се съгласи." Великият доместик веднага се възмути от думите и възнегодува срещу дързостта и нахалството на този човек. Като смяташе обаче, че императрицата или патриархът (защото той председателствуваше съвета) с гняв ще изгонят Хумн от съвета или с думи ще порицаят неуместната му бъбривост, той замълча. Понеже те не казаха нищо, което трябваше, той още повече се възмути и сметна, че ако на всеки е позволено необмислено да ругае по-високостоящите, това е явно доказателство за безредието и анархията. Димитър Торник, като не понесе нахалството, каза: „Е, какво? Трябва ли да направим ромейската държава демокрация, за да може всеки да съветва и да говори, както намери за добре и за по-големи и за по-малки неща и да налага на по-благородните да приемат решението. Може ли да има по-голяма глупост от това?" И когато те започнаха вече да спорят за тия неща помежду си, императрицата ги възспря, като нареди да се прекратят тези неуместни разговори и да говорят за необходимите неща. А великият доместик се престори, че го боли стомахът, излъга, че вътрешностите му се обръщат, и замълча, понеже не можел да издаде глас от болка. Те зашумяха безредно, като всеки искаше да наложи предложението си. Едни казваха, че трябва да спасят Шишман, който бил проситeл в ромейската държава, и да не го предават даже δόναι, εἰ δεῖ τι καὶ τῶν δυσχερῶν ὑπομένειν δι' αὐτόν. οἱ δὲ τὴν χώραν μᾶλλον καὶ τὰ οἰκεῖα διασώζειν καὶ μὴ βαρβάρου ἕνεκα φυγάδος εἰς προῦπτον κίνδυνον ἐμβάλλειν σφᾶς αὐτούς. καὶ τοιαῦτα ἕτερα ἀντέλεγον πρὸς ἀλλήλους καὶ βοῆς τὰ βασίλεια ἐπλήρουν, πάντων ἐθελόντων γνώμας καὶ ψηφίσματα προτείνειν ὑπὲρ τῶν κοινῇ λυσιτελούντων. ὡς δὲ ἐπιπλέον ἡ φιλονεικία παρετείνετο καὶ ἀσύμφωνοι ταῖς γνώμαις ἦσαν, ὁ πατριάρχης ὡς δή τι μέγα καὶ θαυμάσιον βεβουλευμένος „ἐμοὶ δοκεῖν" ἔφη „Σίσμανον πρὸς τὸν τῆς τοῦ θεοῦ Σοφίας νεὼν καταφυγεῖν. ἀσυλίᾳ δὲ αὐτοῦ τετιμημένου ὑπὸ πάντων, ὅσοι Ῥωμαίων ἐβασίλευσαν, ἐξεῖναι καὶ ἡμῖν εὐπρόσωπον ἀπολογίαν πρὸς τοὺς Ἀλεξάνδρου θέσθαι πρεσβευτάς, ὡς οὐκ ἐξὸν ἀποσπάσαντας τὸν ἱκέτην τοῦ θεοῦ παραδιδόναι πρὸς σφαγήν, μάλιστα πάντων τοῦτο ἄγος ἐναγέστατον καὶ παρὰ τῶν πάλαι καὶ τῶν νῦν Ῥωμαίων νομιζόμενον." οἱ μὲν οὖν πολλοὶ τῶν παρόντων ἐξεθείασαν τὴν βουλήν, ὡς ἀρίστην καὶ συνετωτάτην καὶ δυναμένην μάλιστα ἀπράκτους ἀποπέμψαι τοὺς Ἀλεξάνδρου πρεσβευτάς, συνορῶντας ἤδη καὶ αὐτοὺς τὴν τοῦ πράγματος ἀνάγκην. τοῦ μεγάλου δὲ δομεστίκου φθεγγομένου μηδέν, ἡ βασιλὶς πρῶτα μὲν κατεμέμφετο τὴν ἀκαιρίαν τῆς νόσου, ἐφ' οὕτως ἀναγκαίου καιροῦ καὶ δεομένου βουλῆς γεγενημένην· ἔπειτα δὲ ἔλεγε πρὸς αὐτόν, ὡς, εἰ μὲν καὶ αὐτῷ εὖ ἔχειν ἡ τοῦ πατριάρχου δοκεῖ βουλή, ὥσπερ δὴ καὶ τοῖς ἄλλοις συνέδοξε καὶ αὐτῇ, ἐπινεῦσαι ὡς καλῶς ἔχουσι τοῖς λεγομένοις, καὶ τοῦτο ἐπιθέσθαι πέρας τῇ βουλῇ. εἰ δέ τι βέλτιον αὐτῷ καὶ λυσιτελέστερον ἕτερον δοκεῖ, τὸ νῦν μὲν εἶναι διὰ τὴν αὐτοῦ νόσον τὸν σύλλογον διαλύειν, αὖθις δὲ ῥαΐσαντος, βουλεύσεσθαι περὶ τῶν αὐτῶν. ὁ δὲ μικρὸν ἐπισχὼν, „δοκεῖτέ μοι" ἔφη „μὴ περὶ ὧν βουλεύεσθε, τὴν ἀπόκρισιν ποιεῖσθαι. οὐ γὰρ νῦν ὑμῖν ἡ σκέψις περὶ λόγων εὐπροσώπων, ἀλλὰ εἴτε χρὴ τὰ κελευόμενα ὑπ' Ἀλεξάνδρου πράττειν, εἴτε πολεμεῖν αὐτῷ. ὑμεῖς δὲ περὶ ὧν προὔθεσθε βουλεύεσθαι ἀφέντες, περὶ νομίμων καὶ δικαίων τῶν παρὰ Ῥωμαίοις διαλέγεσθε, ὥσπερ ἂν εἴ τις καὶ Ἀλέξανδρον ὁ καταναγκάσων ἦν τοῖς Ῥωμαίων νόμοις πείθεσθαι. ὁ δ' ἴσως ἐρεῖ, ὡς οὐκ ἐμοί, ἀλλὰ Ῥωμαίοις οἱ νόμοι οὗτοι κεῖνται· ἐμοὶ δὲ εἷς νόμος ἐκ παντὸς τρόπου τὰ συνοίσοντα ἐμοὶ ζητεῖν. ὑμῖν δὲ εἰ καὶ Σίσμανον ἔξεστι τοῖς ἀσύλοις κατακρύπτειν ἱεροῖς, ἀλλ' οὐ δήπου καὶ πόλεις καὶ κώμας κατακρύψετε ἐν τοῖς τοιούτοις,

---

[184] Става дума за договора, сключен между Иван Александър и Андроник III след битката при Русокастро през 1332 г. [185] Столник, лице, което се грижело за императорската трапеза.

ако трябва заради него да претърпят някои затруднения. Други пък казваха, че трябва да запазят по-скоро страната и имуществата си и да не се излагат на явна опасност заради един варварин-беглец. И други такива неща казваха помежду си и изпълниха двореца с викове, понеже всички желаеха да предложат мнение и решение за обща полза. Тъй като възникна голям спор и не бяха единни в мненията си, патриархът като че ли беше взел някакво голямо и необикновено решение, каза: „Смятам, че Шишман трябва да избяга в храма на божията мъдрост. Понеже всички, които са царували над ромеите, са го били удостоили с право на убежище[186], и ние можем да имаме пред пратениците на Александра благовидно оправдание, че не ни е позволено да измъкнем молителя на бога и да го предадем на смърт, което се смята за най-голям грях от всички — и от някогашните, и от сегашните ромеи." И наистина мнозина от присъствуващите похвалиха съвета като най-добър, най-разумен и най-възможен — да отпратят без резултат пратениците на Александър, които и сами вече виждаха трудното положение. Понеже великият доместик не казваше нищо, отначало императрицата смъмри ненавременното заболяване, станало във важен момент и когато бе необходимо решение. След това му каза, че ако и той одобрява предложението на патриарха, както се хареса на нея и на останалите, да се съгласи с казаните неща като добри и с това да сложи край на съвета. Ако ли пък смята, че има друго по-добро и по-полезно, да прекрати сегашния съвет поради неговото заболяване, а когато отново оздравее, да се посъветват за казаните неща. А той, като изчака малко, каза: „Струва ми се, че вие не давате отговор на въпросите, за които се съвещавате. Защото вие сега не трябва да мислите за красиви приказки, но дали трябва да изпълните заповяданото от Александър или трябва да воювате с него. Вие, като пренебрегвате да се съветвате върху поставените въпроси, разговаряте за закони и права у ромеите, като че ли някой би принудил Александър да се подчинява на ромейските закони. Но той справедливо ще каже: „Тия закони не са за мен, а важат за ромеите. За мен има един закон: на всяка цена да търся това, което ще бъде полезно за мен. Но вие, макар и да можете да скриете Шишман в неприкосновени убежища, по някакъв начин обаче не ще скриете в тях градовете и селата, нито стадата οὐδὲ βοῶν ἀγέλας καὶ ποίμνια προβάτων καὶ τὴν ἄλλην περιουσίαν τὴν ἐν τοῖς ἀγροῖς, ἐξ ὧν ἐμοὶ τῆς ἀδικίας ἐξέσται κομίζεσθαι ποινάς. πρὸς οὖν τὰ τοιαῦτα χρὴ βουλεύεσθαι, οὐ πρὸς ἀπολογίας εὐπροσώπους. ἐγὼ δὲ ὀλίγου δεῖν νυνὶ μέμφομαι καὶ ἐμαυτῷ, ὅτι καὶ ὁπωσοῦν εἰς τοιουτουσὶ προήχθην λόγους. εἴρηται γὰρ ἐξαρχῆς καὶ ἐπεψηφίσθη γε ὑπὸ πάντων, ἐπεὶ μηδεὶς ἀντεῖπε μηδέν· ἐὰν τῷ ἐσχάτῳ τι ἀποκαλυφθῇ, σιγᾷν τὸν πρῶτον. εἰ δὴ μὴ τῷ ἐν ἐσχάτοις τεταγμένῳ, ἀλλὰ καὶ τῷ πρώτῳ καὶ μάλιστα ἐξάρχοντι τοῦ βουλευτηρίου τοιαῦτα ἔδοξε καὶ ὑμῖν ἐπεψηφίσθη γε τοῖς πᾶσιν ὡς λυσιτελῆ, προσῆκε στέργειν καὶ αὐτὸν καὶ περαιτέρω πολυπραγμονεῖν μηδέν." τῆς βασιλίδος δὲ ἐναγούσης μάλιστα καὶ ἐπισπωμένης πρὸς τοὺς λόγους, „οὐδὲ τὰ τοιαῦτα καίτοι γε ὀλίγα ὄντα ἑκὼν εἶναι ἐφθεγξάμην." πρὸς δὴ τὰ τοιαῦτα εὐθὺς ὁ πατριάρχης αἰτίας ἀπολύων ἑαυτὸν, „ἀλλ' ἐγὼ" εἶπε „πρῶτος καὶ αὐτὸς μηδὲν εἶναι πρὸς τὰ ζητούμενα τὴν βουλὴν ὁμολογῶ. οὐ γὰρ Ἀλεξάνδρῳ περὶ εὐλόγων καὶ μὴ τοιούτων ἀποκρίσεων μελήσειν, ἀλλ' ὅπως ὃ προὔθετο ἐξαρχῆς, εἰς πέρας, εἰ δύναιτο, ἀγάγῃ. οὗ δὴ ἕνεκα καὶ αὐτὸς οὐ πρὸς λόγους, ἀλλὰ πρὸς ἐκεῖνο φημὶ βουλευτέον εἶναι." τὰ ἴσα δὲ εὐθὺς καὶ τῶν λοιπῶν ἐπιψηφισαμένων πάντων, ἐπεὶ ὁ μέγας δομέστικος ἀνέστη, καὶ οἱ ἄλλοι συνανέστησαν καὶ ὁ σύλλογος διελύθη. ὁρῶν δὲ καὶ πρότερον ἐφιέμενον ὁ μέγας δομέστικος τὸν πατριάρχην τῆς ἀρχῆς τῶν πραγμάτων, καὶ μήτε βίᾳ βουλόμενος τὴν ἐπιχείρησιν ἐπέχειν, (οὐ γὰρ ἠβούλετο ἀκουσίων ἄρχειν, ἀλλὰ πολὺ μάλιστα βουλομένων καὶ χάριν εἰδότων τῆς ἀρχῆς,) ἄλλως τε καὶ δεδοικὼς, μὴ καὶ πρόφασις ἐκ τούτου στάσεως ἀναφυῇ καὶ πολέμου ἐμφυλίου, ἐξ ὧν ὡς εἰκὸς διαφθαρησομένην συνεώρα τὴν Ῥωμαίων ἡγεμονίαν, καὶ παντὸς οἰόμενος θανάτου ἐπαχθέστερον τὴν αἰτίαν τῶν δεινῶν παρασχεῖν αὐτός· (διὸ οὐδὲ βασιλέως ἔτι περιόντος, καίτοι πολλὰ πολλάκις παρακεκληκότος, ἠθέλησε γενέσθαι βασιλεὺς,) ἐσκέπτετο μὲν καὶ πρότερον τὴν ἡγεμονίαν ἀποθέσθαι καὶ ἀπραγμοσύνῃ τὸν ἐπίλοιπον βίον ζῆν, ὅπερ ἔφην, τοῦ φθορᾶς αὐτὸς αἴτιος Ῥωμαίοις καταστῆναι πᾶν ὁτιοῦν ἀνεκτότερον νομίζων. ὡς δὲ καὶ κατὰ τὸν σύλλογον αὐθαδῶς καὶ θρασέως τοῦ Χούμνου πρὸς αὐτὸν διειλεγμένου, (μάλιστα γὰρ πρὸς αὐτὸν τὸν λόγον ἀποτείνεσθαι ᾠήθη, πάντων τῶν τότε Ῥωμαίων καὶ νομιζόμενον καὶ ὄντα πρῶτον,) οὐδεὶς ἐπετίμησεν, οὐδὲ ἐμέμψατο τῆς ἀκαίρου παῤῥησίας, ὥσπερ ἀρχὴν νομίσας στάσεως ἐμφυλίου τὸ τοιοῦτον, θᾶττον ἢ ἐβούλετο ὥρμητο ἀπαγορεύειν τὴν ἀρχήν.

---

[186] Право на убежище имал всеки политически беглец, потърсил спасение в храма „Св. София" в Цариград.

говеда, овци или друго имущество по полетата, с които неща аз ще платя за вашата неправда." За тия неща трябва да се съветвате, а не да търсите благовидно оправдание. А аз насмалко остава сега да обвиня и себе си, че някак си се впуснах в такива приказки. Защото отначало се каза и бе решено от всички, тъй като никой нищо не възрази: ако на последния бъде открито нещо, първият да мълчи. Ако това се реши не само от последния, но и от първия и особено от председателствуващия съвета и всички вие го решите като нещо полезно, редно е и аз да го приема и да не търся нищо повече." Тъй като императрицата го подтикваше и караше да говори, той каза: „Аз не казах тия думи доброволно, макар да са малко." Патриархът, снемайки от себе си вината, веднага отвърна на тия думи: „Аз пръв също признавам, че съветът не се занимава с поставения въпрос. Защото Александър не се интересува от такива благовидни отговори, но как, ако може, да постигне това, което си е поставил за цел, ако може. Поради това сам мисля, че трябва да се съветвате не за думите, а за това." И когато всички останали веднага се съгласиха със същото, великият доместик стана и другите станаха едновременно и съветът бе разпуснат. А великият доместик виждаше, че патриархът и по-рано се стреми да стане господар на положението и не искаше със сила да възспре желанието му (защото не желаеше да ги управлява против волята им, но само при голямо тяхно желание и заради благото на империята), а, от друга страна и понеже се страхуваше това обстоятелство да не даде повод за въстание и за гражданска война, а той смяташе, че както става обикновено, то ще разруши ромейската власт. И той мислеше, че сам ще бъде причина за беди, по-тежки от всяка смърт. (Затова той не пожела да стане император, докато императорът още бе жив, макар той много често да го беше подканял.) И по-рано смяташе да се откаже от властта и да прекара остатъка от живота си на спокойствие, както казах, понеже считаше, че всяко нещо е поносимо, отколкото да стане причина за гибелта на ромеите. Понеже и на събранието Хумн говори срещу него дръзко и смело (защото мислел, че се отнасяли до него думите на великия доместик, който беше смятан и бе в действителност пръв сред всички тогавашни ромеи) и никой не го укори, нито го порица за неуместната дързост, той сметна това за начало на гражданска война и реши да се откаже от властта по-бързо, отколкото искаше.

III, 7. Εἰς τὴν ὑστεραίαν δὲ ἐκέλευε τοὺς Ἀλεξάνδρου πρεσβευτὰς εἰς τὰ βασίλεια ἐλθόντας, περὶ ὧν ἥκουσιν ἀπαγγέλλειν. οἱ δὲ ἧκον, καὶ τοὺς ὅρκους ἔχοντες, οὓς βασιλεὺς πρὸς Ἀλέξανδρον ἐπὶ τῇ εἰρήνῃ ἐποιεῖτο, ᾐτοῦντό τε αὐτοῖς τὸν Σίσμανον ἐγχειρίζειν πολέμιον ὄντα τῷ σφετέρῳ βασιλεῖ, ἢ τοὺς ὅρκους ἀπολαμβάνειν, ὡς οὐκέτι τῆς εἰρήνης ἐσομένης. μηδὲ γὰρ ἂν εἶναι δίκαιον, μηδὲ ἀνεκτὸν αὐτοῖς, αὐτοὺς μὲν ἀσφαλεῖς εἶναι καὶ βεβαίους φίλους καὶ συμμάχους Ῥωμαίοις, ἐκείνους δὲ παρασπονδεῖν, τοὺς αὐτοῖς πολεμιωτάτους ὑποδεχομένους. οἱ μὲν οὖν πρέσβεις τοιαῦτα εἶπον, ὄγκου καὶ φρονήματος πεπληρωμένοι καὶ οὐδὲ ἀντειπεῖν οἰόμενοι Ῥωμαίους, ἀλλ' αὐτίκα ἐγχειρίσειν Σίσμανον, δείσαντας τὸν πόλεμον τὸν πρὸς αὐτούς. ἡ βασιλὶς δὲ ἐκέλευεν αὐτοῖς τὸν μέγαν δομέστικον χρηματίζειν καὶ περὶ ὧν αἰτοῦσιν ἀποκρίνεσθαι. ὁ δὲ πρῶτα μὲν ἐμέμφετο αὐτοῖς, ὡς οὐκ ἐφ' οἷς προσῆκε τὴν ἄφιξιν πεποιημένοις. ἔδει γὰρ βασιλέα τὸν ὑμῶν, φίλον ὄντα καὶ πατέρα κηδεστοῦ τῷ τετελευτηκότι βασιλεῖ Ῥωμαίων, μὴ τοῖς ἐκείνου παισὶ πόλεμον ἐπάγειν καὶ διαλύειν πειρᾶσθαι τὰς σπονδὰς ἐπ' αἰτίαις οὐ δικαίαις. ἀλλ' εἴ τινα καὶ πρότερον εἶχε πρὸς ἐκεῖνον πρόφασιν διαφορᾶς, ταύτην καταλύειν νῦν καὶ βεβαιότερον ἢ πρότερον φυλάττειν τὰς συνθήκας καὶ βασιλέως τοῖς παισὶ συμμαχεῖν ἐπὶ τοὺς πολεμίους, ἄν τινες ὦσι, νυνὶ μάλιστα τῆς παρὰ τῶν φίλων ἐπικουρίας δεομένοις. ὁ δ' ἔοικε ταὐτὸν τοῖς πολλοῖς παθεῖν, οἳ ζῶντας μὲν θεραπεύουσι τοὺς δυνατούς, οὐ μᾶλλον ἐκείνων, ἢ τοῦ καιροῦ καὶ τῆς ἐκείνων δυνάμεως ὄντες φίλοι· ἐπειδὰν δὲ ἀποίχωνται, τῶν αἰτίων ὡσπερεὶ διαλυθέντων τῆς φιλίας, ῥᾷστα πρὸς ἔχθραν ἐξάγονται τῶν πρότερον δοκούντων εἶναι φίλων, διὰ τὴν ἀδυναμίαν αὐτοὺς περιορῶντες. ἔπειτα δὲ καὶ πρὸς τὴν ἀξίωσιν αὐτῶν οὕτω τὴν ἀπολογίαν ἐποιεῖτο, ὡς οὐ πάτριον τοῖς Ῥωμαίων βασιλεῦσι, τοὺς αὐτοῖς προσφυγόντας τοῖς πολεμίοις προδιδόναι. ἀπὸ γὰρ τῶν Κωνσταντίνου τοῦ μεγάλου χρόνων ἄχρι νῦν τοῖς Ῥωμαίων βασιλεῦσι, μείζοσι καὶ περιφανεστέροις τῶν παρ' ἑκάστοις ἔθνεσι βασιλεῦσιν ἢ δυνάσταις οὖσι, πολλοὶ τῶν παρ' αὐτοῖς ἀρχόντων ἀτυχήσαντες καὶ τῆς ἀρχῆς ἐκβεβλημένοι γεγόνασιν ἱκέται, οἱ μὲν τὴν οἰκείαν αὐτοῖς δεόμενοι ἀρχὴν ἐπανασώζειν, οἱ δὲ καὶ ἄλλως προνοίας καὶ κηδεμονίας τυχεῖν τινος. καὶ πᾶσιν ἤρκεσαν πρὸς τὰς συμφοράς, ὥσπερ κοινοὶ σωτῆρες καὶ προστάται τῶν δυσκόλῳ τύχῃ χρησαμένων ὄντες, καὶ τοῖς μὲν αὐτῶν ἀπέδοσαν τὰς ἀρχάς, χειρὶ πολλῇ καταγαγόντες, ἐνίους δὲ εὐεργετήσαντες μεγάλα καὶ τῆς οἰκείας ποιήσαντες ἐκλαθέσθαι τῇ ὑπερβολῇ τῶν δωρεῶν, ἔπεισαν αὐτοῖς συνεῖναι διὰ βίου, τὴν παρὰ βασιλεῖ δουλείαν

III, 7. На следния ден заповяда пратениците на Александър, които пристигнаха в двореца, да съобщят за какво са дошли. Те бяха дошли и с клетвите в ръка, които императорът бе дал на Александър за мира, и помолиха да им предадат Шишман, който бил враг на техния цар, или пък да си получат обратно клетвите, понеже мирът ще бъде нарушен. Защото не би било справедливо, нито приемливо за тях сами да бъдат сигурни и надеждни приятели и съюзници на ромеите, а те да нарушават договора, като приемат най-големите им неприятели. Това прочее казаха пратениците, изпълнени с надменност и високомерие, като смятаха, че ромеите нищо няма да възразят, но веднага ще предадат Шишман, страхувайки се от войната против тях. А императрицата заповяда великият доместик да се занимае с тях и да отговори на тяхното искане. Той най-напред ги смъмри, че са дошли не за това, което трябва. „Защото вашият цар, който бе приятел и тъст на покойния ромейски император, не трябва да започва война с децата му и да се опитва да разваля договора поради несправедливи причини. Но ако е имал от по-рано някакъв повод за недоразумение с него, да го премахне сега и да спазва договора по-сигурно, отколкото по-рано и да помага на децата на императора срещу неприятелите. Защото той, изглежда, изпитва същото, както и мнозина, които почитат силните приживе, понеже те са приятели не толкова техни, колкото на времето и на тяхната сила. А след като умрат, понеже причините за приятелството някак изчезват, лесно си навличат омразата на предишните си привидни приятели, които ги пренебрегват поради тяхната слабост. А на молбата им той отвърна, че не е присъщо на ромейските императори да предават на неприятелите прибягналите при тях. Защото още от времето на Константин Велики и досега при ромейските императори, които са по-велики и по-знатни от императорите и велможите на който и да е народ, мнозина от управляващите сред тия народи, изпадайки в нещастие и загубвайки властта си, са отивали като молители (при тях) и едни искали да си възвърнат властта, а други получавали по друг начин някакво внимание и покровителство. И те са подпомагали всички в нещастията като общи спасители и закрилници на изпадналите в тежка участ и на едни от тях са връщали властта, като ги подпомагали с голяма войска, а други са облагодетелствували много и са ги карали с премного подаръци да забравят отечеството си завинаги, като πολὺ βελτίω νομίσαντας καὶ θαυμασιωτέραν τῆς ἀρχῆς τῶν ὁμοφύλων. τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν Σίσμανος ἱκέτης γέγονε τῆς Ῥωμαίων βασιλείας, οὐ πρὸς τὴν οἰκείαν δεόμενος καταγαγεῖν, ἀλλὰ προνοίας τινὸς τυχεῖν, κακοπραγῶν καὶ τῆς ἀρχῆς ἐκβεβλημένος. Ἀλέξανδρος δὲ ὁ ὑμέτερος βασιλεὺς, ὡς ἔοικε, διὰ τὴν βασιλέως τελευτὴν τὰ Ῥωμαίων πράγματα παντάπασι νομίζων διεφθάρθαι καὶ μηδένα τὸν προστησόμενον κεκτῆσθαι, ἐκεῖνον ἀπέστειλεν αἰτῶν μετὰ πολλῆς τῆς παῤῥησίας καὶ τὸ κελευόμενον ποιεῖν, μηδὲν πολυπραγμονοῦντας ἀξιῶν. τὸ δ' ἐναντίως ἔχει ἢ ᾠήθητε αὐτοί. βασιλεύς τε γὰρ ἔτι περιὼν, ἡμῖν χρώμενος τοὺς ἀδικεῖν ἐθέλοντας ἐτιμωρεῖτο, καὶ νῦν ἐξ ἀνθρώπων ἐκείνου γεγενημένου, ἡμεῖς ἀμυνούμεθα ὑπὲρ ἡμῶν αὐτῶν, ἄν τις ἐπίῃ, ὑπὸ βασιλέα τὸν ἐκείνου παῖδα τεταγμένοι, καὶ τήν τε χώραν ἡμῶν φυλάξομεν ἀπαθῆ κακῶν, καὶ ὑπὲρ φιλοτιμίας τῆς ἀνέκαθεν Ῥωμαίοις προσηκούσης πολεμήσομεν ὑμῖν προθύμως. οὐ γὰρ μικρὸν τοῦτό γε, οὐδὲ εὐκαταφρόνητον ἡμῖν εἰς ἀδοξίας λόγον, τὸ τὸν φυγάδα παρ' ἡμῖν γεγενημένον, ἢ ὑμῶν ἢ ἑτέρων κελευόντων, ἐπὶ θανάτῳ προδιδόναι. ἂν μὲν οὖν καὶ αὐτοὶ τῆς ἀτοπίας τῶν τοιούτων ζητημάτων ἀποστάντες, εἰρήνην ἄγειν καὶ ταῖς σπονδαῖς ἐμμένειν καὶ τοῖς ὅρκοις, οὓς πρὸς βασιλέα ἔθεσθε, ἐθέλητε, πειρασόμεθα καὶ ἡμεῖς τῶν καθεστώτων μηδὲν κινεῖν. ἂν δ' ἄρχητε αὐτοὶ πρότεροι πολέμου, τὸν θεὸν καὶ ἡμεῖς μάρτυρα τῆς ἀδικίας προστησάμενοι, ὃν αὐτοὶ ἐπιορκεῖτε διαλύοντες τὰς σπονδὰς, διδάξομεν ὑμᾶς μηδὲν πέρα τοῦ προσήκοντος φρονεῖν. καὶ ἢ Σίσμανον τριήρεσι διὰ τοῦ Ἴστρου καταστήσαντες ἐπὶ Βιδήνην καὶ πόλεμον ἐμφύλιον ἀνάψαντες ὑμῖν, (ἴστε γὰρ δήπου καὶ αὐτοὶ, ὡς πολλοὶ Μυσῶν προσχωρήσουσιν ἐκείνῳ διὰ τὴν ἀρχαίαν φιλίαν καὶ τὴν οἰκειότητα τοῦ γένους,) ἢ παντάπασιν Ἀλέξανδρον ἐκβαλοῦμεν τῆς ἀρχῆς, ἢ τά γε δεύτερα, οὐ μέτριά τινα ζημιώσομεν αὐτὸν, ἢ εἰ μὴ τοῦτο δοκοίη, ὡς ἐλάττονος ἢ προσῆκε τῆς ἐπικουρίας γινομένης, ἀλλ' ἔγωγε αὐτὸς ἅμα στρατιᾷ Ῥωμαίων ἔχων καὶ Σίσμανον, ὑμῖν ἐπιστρατεύσω καὶ μαχοῦμαι προθυμότατα ὑμῖν, οὐ μόνον παρασπονδούμενος αὐτὸς, ἀλλὰ καὶ ἀδικουμένῳ βοηθῶν, καὶ προσέτι γε στασιάζουσι πρὸς ἑαυτοὺς καὶ τοῖς μὲν Ἀλεξάνδρῳ προσκειμένοις, τοῖς δὲ ἥδιον ἂν ἀπαλλαξομένοις καὶ πρὸς Σίσμανον ἀποχω-

ги убеждавали да им служат през целия си живот, смятайки, че службата при императора е много по-добра и по-достойна от властта над сънародниците им. По същия начин и Шишман сега е станал молител пред ромейската държава и не иска да се върне в отечеството си, но да получи някаква милост, бидейки нещастен и изгонен от царството. А Александър, вашият цар, както изглежда, поради смъртта на императора, смятайки, че ромейската империя е напълно пропаднала и че не е намерила кой да я управлява, изпраща да го иска с голяма дързост, като извършим заповяданото без никакво възражение. Работите стоят по-иначе, отколкото вие мислите. Защото още императорът, докато бе жив, се държеше добре с нас и наказваше тия, които желаеха да постъпят несправедливо, а сега, когато той е умрял, ние ще се защищаваме сами, ако някой нападне, подчинени на императора, неговия син, и ще опазим нашата страна невредима от злини и ще воюваме смело срещу вас заради честта, която открай време е присъща на ромеите. Защото не е малко нещо, нито пък е малък позор за нас да предадем на смърт този, който е избягал при нас, само защото вие или някои други заповядват. И тъй, ако и сами се откажете от безсмислеността на тези искания и желаете да живеем в мир и да запазим договора и клетвите, които сте сключили с императора, и ние не ще се опитаме да променим нищо от съществуващото положение. Но ако сами първи започнете война, ние ще вземем бога за свидетел на тази несправедливост, в когото се кълнете лъжливо, тъй като нарушавате договора, и ще ви научим да мислите само това, което трябва. Или ние с кораби ще закараме по Дунав Шишман във Видин и като предизвикаме гражданска война сред вас (наистина вие и сами знаете, че мнозина от мизите ще се присъединят към него поради старото приятелство и близостта на рода), напълно ще изгоним Александър от царството или пък ще му причиним немалко неприятности. Или ако това не стане, понеже пратената помощ ще бъде по-малка, отколкото е нужна, то аз сам с ромейска войска и Шишман ще се отправя в поход срещу вас и ще се сражавам с вас най-ожесточено не само защото договорът спрямо мен бе нарушен, но и защото ще помогна на онеправдан човек. И аз ще воювам с хора, които враждуват помежду си, едни са на страната на Александър, а други на драго сърце биха се отделили и минали на страната на Шиш-

ρήσουσιν, ὅπερ οὐκ οἴομαι ὑμῖν λυσιτελήσειν. ἐγὼ δὲ καὶ τρόπον ἕτερον πολέμου, ἐξ οὗ τήν τε ὑμετέραν κακοῦν ἡμῖν καὶ τὴν οἰκείαν ἔξεσται διασώζειν, οὐκ ἀποκρύψω, ἵνα μὴ τινων ἀνηκέστων πρὸς τὸν πόλεμον συμβάντων, οὐχ ἡμᾶς αἰτίους, ἀλλὰ σφᾶς αὐτοὺς εἰδείητε αὐτοῖς. τῶν γὰρ κατὰ τὴν Ἀσίαν Σατραπῶν ὁ δυνατώτατος, ὃν οὐδ' αὐτοὶ ἀγνοεῖτε παρειληφότες ἀκοῇ, Ἀμοὺρ ὁ τοῦ Αἰτίνη, τὴν βασιλέως πεπυσμένος τελευτὴν καὶ νομίσας καὶ αὐτὸς ῥᾷστα ληΐσεσθαι Ῥωμαίους διὰ τὸ μηδένα εἶναι τὸν ἀμυνούμενον ὑπὲρ αὐτῶν, πεντήκοντα καὶ διακοσίας πληρώσας ναῦς, πᾶσαν ἐποιεῖτο σπουδὴν κακοῦν τὴν ἡμετέραν. ἐπεὶ δὲ ἐπυθόμην αὐτὸς τῶν Περσῶν τὴν ἐσομένην εἰσβολὴν, πρεσβείαν πέμψας πρὸς ἐκεῖνον, ἐν τοῖς μάλιστα ἐξητασμένον τῶν φίλων τῶν ἐμῶν, ἐκέλευον ἀναστρέφειν καὶ ἀπέχεσθαι τῆς πείρας, ὡς οὐδέσιν ἄλλοις ἐπιστρατεύσοντα ἢ ἐμοί. ὁ δ' ἅμα τε ἐδέξατο τὴν πρεσβείαν καὶ ἀνέστρεφεν ἐκ μέσης τῆς ὁδοῦ. νυνὶ δὲ ἐνταῦθα πρὸς ἐμὲ πρεσβείαν πεπομφὼς, δεῖται μὴ περιιδεῖν αὐτῷ τὴν στρατιὰν εἰκῇ συνειλεγμένην, ἀλλ' εἴ τις πρός τινα πόλεμος ἡμῖν, χρήσασθαι αὐτῇ, ὡς ἂν ἥ τε στρατιὰ ὠφεληθείη ἀπὸ τῶν πολεμίων τῶν λαφύρων, ἐκεῖνός τε μὴ μάτην εἴη τοσαῦτα χρήματα ἀναλωκὼς, ἀλλ' αὐτὸ τοῦτό γε καρπώσαιτο, τὸ ἀναλωκέναι ὑπὲρ φίλου. οὐ χρὴ δὲ ἀπιστεῖν τοῖς λεγομένοις, κόμπου ἕνεκα καὶ αὐχήματος διακένου πεπλάσθαι οἰομένους. πρὸς γὰρ τῷ μὴ εὐχερεῖς ἡμᾶς πρὸς πλάσματα καὶ ψευδῆ εἶναι, ἔξεστι καὶ αὐτοῖς ἀνερευνῶσιν ἐξευρίσκειν ὡς ἀληθῆ. ἐγὼ μὲν οὖν τὴν εἰρήνην πολλῷ βελτίω καὶ λυσιτελεστέραν ἑκατέροις οἰόμενος ἡμῖν, αὐτός τε ἀσπάζομαι καὶ ὑμῖν ἔχεσθαι ταύτης παραινῶ. διὸ οὐδὲ πρὸς ὑμᾶς ἀπαγορεύω τὸ νῦν ἔχον, ἀλλ' ὡς τάχιστα πρὸς τὸν πέμψαντα ἐπανελθόντες, Σίσμανον μὲν ἀπαγγείλατε μηδέποτε λήψεσθαι προσδοκᾷν· εἰ δ' ἐκείνῳ διὰ ταῦτα πρὸς ἡμᾶς δοκεῖ πολεμητέα εἶναι, ἐν εἴκοσιν ἡμέραις, αἷς δυνήσεσθε ἐπανελθεῖν, τὸν πόλεμον ἀπαγγέλλειν. ἐν τοσαύταις γὰρ καὶ τὸν Ἀμοὺρ πρεσβευτὴν ἐνταυθοῖ παρασκευάσω διατρίβειν, ἵν' εἰ ὁ πόλεμος ἀπαγγέλλοιτο, γράμμασιν ἐκείνῳ τὴν ἐνθάδε ἄφιξιν ἐπιτρέψω. πάντως δὲ ῥᾷον οἴεσθαι αὐτὸν ὑμᾶς καὶ προθυμότερον ἀφικέσθαι χρὴ, ἢ πρότερον ἐκ τῆς στρατείας ἀναστρέφειν, πειθόμενον τοῖς λόγοις τοῖς ἐμοῖς. ἂν δ' ἀμελήσαντες τὴν προθεσμίαν ὑπερβῆτε, ἐμοὶ μὲν ἀσφαλὲς οὐκέτι ἡσυχάζειν, ἀλλ' αὐτός τε οἴκοθεν ἐξαρτύσομαι τὰ πρὸς τὸν πόλεμον καὶ τὴν Περσικὴν συμμαχίαν οὖσαν παρεσκευασμένην

ман, а това не смятам, че ще бъде от полза за вас. И аз не ще скрия друг начин на воюване, с който е възможно да увредим вашата и да запазим собствената си страна, за да видите, че не ние сме виновни, а вие самите, ако се случат непоправими неща по време на войната. Защото най-силният от сатрапите в Азия, когото вие познавате от мълвата, Омур, син на Айдин, когато узна за смъртта на императора и помисли, че лесно ще ограби ромеите, понеже нямало кой да се сражава за тях, натовари с хора двеста и петдесет кораба и се постара да опустоши цялата ни страна. Когато научих за предстоящото нападение на персите, проводих пратеничество при него, който бе смятан за един от най-изтъкнатите ми приятели, и наредих да се върне и да се въздържа от нападение, за да не се отправя на поход не срещу някои други, а срещу мен. А той прие пратеничеството и се върна от средата на пътя. А сега той проводи пратеничество при мен и моли да не пренебрегвам необмислено събраната от него войска, но ако ни се наложи война против някого, да си послужим с нея, понеже войската му ще получи облага от неприятелската плячка, а и сам той не ще изразходва напразно толкова средства, но ще спечели това, което е изразходвал за приятеля си. Трябва да повярвате на казаното и да не смятате, че е измислено поради честолюбие и празна надменност. Освен че ние не сме склонни към лъжа и измама, и вие, ако потърсите, ще намерите, че това е истина. Аз, като смятам, че мирът е много по-добър и по-полезен за двете ни страни, и сам го желая и ви подканям да се придържате към него. Поради това аз и пред вас не се отказвам от настоящото, но като се върнете колкото се може по-бързо при мен, който ви е изпратил, съобщете му да не очаква, че ще получи Шишман. А ако той поради това реши, че трябва да воюва срещу нас, в разстояние на двадесет дни, през време на които вие ще можете да се върнете, да обяви войната. В това време ще наредя и пратеничеството на Омур да остане тук, та ако се обяви войната, с писмо ще му съобщя да дойде тук. Изобщо трябва да се очаква, че той по-лесно и с по-голямо желание ще отиде срещу вас, отколкото по-рано да се върне от похода, убеден от моите думи. Ако вие поради небрежност пропуснете срока, за мен ще бъде рисковано да мирувам, но сам у дома ще приготвя всичко необходимо за война и ще доведа тук персийската войска, която вече е готова. И занапред, ако сами поже-

ἐνθάδε ἄξω· καὶ τοῦ λοιποῦ οὐδ' ἂν αὐτοὶ ἐθέλητε, κατατίθεσθαι ῥᾴδιον ἔσται τὸν πόλεμον ἐμοί, οὐ μόνον διὰ τὰ ἀναλωθέντα χρήματα πρὸς τοῦ πολέμου τὴν παρασκευήν, ἃ κομίζεσθαι ἐκ τῆς ὑμετέρας ἀναγκαῖον, ἀλλ' ὅτι καὶ τοὺς κατὰ συμμαχίαν ἥξοντας βαρβάρους οὐ κεναῖς χερσὶν, ἀλλ' ὠφεληθέντας ἐκ τῆς πολεμίας, πρὸς τὴν οἰκείαν δεῖ ἐπαναστρέφειν. διὰ ταῦτα ὑμᾶς τε σπουδῇ χρήσασθαι πρὸς τὴν ὁδοιπορίαν ἀναγκαῖον, καὶ τὸν ὑμέτερον βασιλέα πυθόμενον τὰ παρ' ἡμῶν, ἃ συνοίσειν οἴεται αὐτῷ, τὴν ταχίστην ἀπαγγέλλειν." ὁ μὲν οὖν τοιαῦτα εἶπεν· οἱ δὲ Ἀλεξάνδρου πρεσβευταὶ ὥσπερ ἐκλαθόμενοι τοῦ προτέρου φυσήματος καὶ τῆς μεγαλοῤῥημοσύνης τῆς πρὸς τὰς δημηγορίας μεταβαλόντες, ἐγίνοντο ἱκέται, πλείω αὐτοῖς παρασχεθῆναι προθεσμίαν. αὐτοὶ μὲν γὰρ ἔφασαν πᾶσαν ἐπιδείξεσθαι σπουδὴν πρὸς τὴν ὁδοιπορίαν· ἂν δ' ὁ βασιλεὺς αὐτῶν ἐν ἐσχατιαῖς διάγῃ τῆς ἀρχῆς, οὐκ ἐξαρκέσειν τὰς ἡμέρας, ἐνδεεστέρας οὔσας, ἢ προσήκει ἀνυσθῆναι τὴν ὁδόν. καὶ ἐπεὶ ἐδόκει ἡ ἀξίωσις αὐτῶν δικαία εἶναι, τριάκοντα παρείχοντο αὐτοῖς ἡμέραι, ἐν αἷς ἔδει ἐπαναστρέψαντας ἢ τὴν οὖσαν εἰρήνην ἐπιβεβαιοῦν καὶ τὰς σπονδὰς, ἢ πόλεμον καταγγέλλειν. οἱ μὲν οὖν Ἀλεξάνδρου πρέσβεις τοιαύτας ἀποκρίσεις παρὰ τοῦ μεγάλου δεξάμενοι δομεστίκου, πρὸς τὴν οἰκείαν ἐπανῆκον. βασιλὶς δὲ καὶ ἡ σύγκλητος πᾶσα, ἐθαύμαζόν τε τῆς συνέσεως αὐτὸν καὶ χάριτας ᾔδεσαν πολλὰς, ὅτι οὓς αὐτοὶ ὠῤῥώδουν ἐν τῇ προτεραίᾳ καὶ πρὸς οὓς οὐδὲ ἀπολογίας εὐπόρουν εὐπροσώπου, ἀλλ' ἀπορίᾳ πάντοθεν συνείχοντο, τούτους οὕτω κατέστησεν αὐτὸς περιδεεῖς, ὥστε ἀμελήσαντας τῶν ἄλλων δεῖσθαι περὶ τῆς προθεσμίας, ὡς περί τινος ἀναγκαίου. ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον.

II, 8. Ὁ μέγας δὲ δομέστικος τοῖς μὲν στρατιώταις κατὰ πόλεις ἐκέλευε διὰ γραμμάτων παρασκευάζεσθαι, ὡς, ἢν δέῃ, πολεμήσων τοῖς Μυσοῖς. ὁρῶν δὲ οὐ τοῦ καταλόγου μόνου τοῦ στρατιωτικοῦ πολλοὺς, ἀλλὰ καὶ τῶν ἄλλων οὐκ ὀλίγους προφάσει τοῦ μὴ τὰς παρὰ βασιλέως ἑκάστῳ τεταγμένας χορηγίας ἀκεραίους εἶναι, παντάπασιν ἀμελοῦντας πρὸς τὰς στρατείας καὶ τῆς ἐξ αὐτῶν ὠφελείας ἀποστεροῦντας τὸ κοινὸν, ἐσκέπτετο, ὅθεν ἂν ἐκείνους τε τῆς πιεζούσης ἀπορίας ἀπαλλάξαι, τὸ ἐλλεῖπον ἑκάστῳ πρὸς τὴν ἐκ βασιλέως πρόνοιαν ἀναπληρώσας, καὶ αὐτὸς αὐτοῖς πρὸς δέον χρήσαιτο ἑκάστῳ, πάντας πρὸς τὸ κοινῇ λυσιτελοῦν ἀποδείξας συνεισφέροντάς τι.

(II, pp.52_4—58_{23}).

лаете, за мен не ще бъде лесно да избягна войната не само поради изхарчените средства за подготовката на войната, които трябва да се съберат от вашата страна, но защото аз не трябва да върна в отечеството им и варварите с празни ръце, които ще дойдат като съюзници, но обогатени от неприятелската земя. Поради това вие трябва бързо да се отправите на път, а вашият цар, като научи нашето решение, да ни извести по най-бърз начин за онова, което той смята, че е изгодно за него." Това каза той[187]. А пратениците на Александър като че ли забравиха предишната надменност и високомерие и ги замениха с красноречие. Те помолиха да им бъде даден по-голям срок. Те казаха, че ще се отправят с голяма бързина на път. Но ако техният цар пребивавал в най-отдалечените части на царството, дните не щели да стигнат, тъй като щели да бъдат по-малко, отколкото трябвало за изминаването на пътя. И понеже молбата им бе справедлива, бяха им дадени тридесет дни, през време на които трябваше да се върнат и или да потвърдят сегашния мир и договора, или да обявят война. Пратениците на Александър, като получиха такъв отговор от великия доместик, върнаха се у дома си. Императрицата и целият синклит се учудиха на разума му и му благодариха много, понеже тези, от които те предния ден се страхуваха и на които не можеха да дадат прилично обяснение и бяха в пълна безизходица, сега същите той така ги наплаши, че те, пренебрегвайки всичко друго, се молеха за продължение на срока като за нещо необходимо. Но толкова за това.

II, 8. А великият доместик с писма нареди на войниците по градовете да се приготвят, за да воюват срещу мизите, ако се наложи. Но той виждаше, че не само мнозина от военния списък, но немалко и други под предлог, че определената за всеки от императора издръжка не е напълно изплатена, изобщо не се грижеха за военни походи и лишаваха държавата от своята подкрепа. Затова мислеше как да ги освободи от потискащата ги бедност, като даде на всеки липсващото според императорската наредба, и как сам да си послужи с тях при нужда, като направи така, че всички да допринасят нещо за общото благо. . .

---

[187] Това каза той, т.е. Йоан Кантакузин.

21. *Alexander, Bulgarorum rex, apud Stilbnum castra ponit*

III, 10. Ἐπεὶ δὲ γένοιτο πρὸς Διδυμοτείχῳ, προὔργου μὲν ἐποιεῖτο παντὸς, τοὺς κατὰ τὰς τῆς Θρᾴκης πόλεις κατοικοῦντας συγκλητικοὺς καὶ τὴν στρατιὰν ἀπροφασίστους ποιεῖν περὶ τὰς στρατείας, ὥσπερ δὴ καὶ Βυζαντίους· καὶ ἐποίησεν ὀλίγων εἴσω ἡμερῶν. ἔπειτα πυθόμενος, ὡς ὁ τῶν Μυσῶν βασιλεὺς Ἀλέξανδρος στρατιὰν ἔχων, ἐστρατοπέδευσεν ἐν Στίλβνῳ Μυσοῖς ὑπηκόῳ πόλει ἐν μεθορίοις τῆς αὐτοῦ τε καὶ Ῥωμαίων ἡγεμονίας ᾠκισμένῃ, ἔγνω δεῖν πρεσβείαν πέμπειν πρὸς αὐτόν. καὶ πέμψας, ἐν Ἀδριανουπόλει τε ἐδήλου διατρίβειν καὶ μαθεῖν ἐθέλειν, εἰ ὁ πόλεμος αὐτῷ μᾶλλον αἱρετέος, ἢ εἰρήνη. τὴν γὰρ προθεσμίαν, ἣν τοῖς ἐκείνου πρέσβεσι παρέσχετο αὐτὸς ἐν Βυζαντίῳ γενομένοις, περὶ ἔξοδον ἤδη εἶναι. Ἀλέξανδρος δὲ ὁρῶν οὐ κατεπτηχότας, ὥσπερ ᾤετο, Ῥωμαίους, ἀλλ' ἑτοίμους ὄντας ἀμύνεσθαι τοὺς αἱρουμένους ἀδικεῖν, καὶ μήτε ταῖς διὰ τῶν πρέσβεων ἀπειλαῖς, μήτ' αὐτοῦ τῇ πρὸς τὸν πόλεμον παρασκευῇ δυνάμενος πείθειν, τὰ κατὰ γνώμην αὐτῷ ποιεῖν, πρὸς πόλεμον χωρεῖν ἀλυσιτελὲς οἰόμενος αὐτῷ, ἐχώρει πρὸς συμβάσεις. καὶ τῶν προτέρων αὖθις σπονδῶν καὶ ὅρκων ἀνανεωθέντων, Ἀλέξανδρος μὲν εἰς Τρίνοβον τὰ οἰκεῖα βασίλεια ἐπανεζεύγνυε·

(II, p. 69_{3}—$_{22}$)

21. *Александър, царят на българите, се разполага на лагер при Стилбно*

III, 10. А когато бе в Димотика, всякак се стараеше да направи напълно готови за военни походи сенаторите, обитаващи тракийските градове, и войската, а също така и ромеите. И той направи това в разстояние на няколко дни. После, като узна, че царят на мизите Александър се е разположил на лагер с войската си в Стилбно, градче, подчинено на мизите и намиращо се в пограничните области на неговата и на ромейската държава, реши, че трябва да проводи пратеничество при него. И като проводи пратеници, съобщи, че се намира в Адрианопол и желае да разбере дали той предпочита повече войната, отколкото мира. Защото отсрочката, която бе дал на неговите пратеници, когато бяха във Византион, вече изтичаше. А Александър, виждайки, че ромеите не са се изплашили, както мислеше, но са готови да се защищават срещу тия, които искат да ги обидят, и не можейки да ги убеди нито със заплахите по пратениците, нито с подготовката си за война да постъпят според желанието му, считайки, че за него е безполезно да почне война, съгласи се на споразумение с него. И веднага, като бяха подновени предишните договори и клетви, Александър се върна в Търново в двореца си. . .

22. *Stephanus, crales Serborum Macedoniam invadit*

III, 12. Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον καὶ ὁ τῶν Τριβαλῶν ἄρχων Στέφανος ὁ Κράλης τὰς πρὸς βασιλέα λύσας σπονδὰς, ἐπεὶ ἐπύθετο ἀποθανόντα, τήν τε ἄλλην πᾶσαν κατέδραμε Μακεδονίαν ληϊζόμενος, καὶ Θεσσαλονίκην παρελθὼν, ἄχρι χωρίου ἦλθε τοῦ προσαγορευομένου τῶν Κρητῶν. ἔπειτα ἀνέστρεφεν, οὐ πολλὴν λείαν ἐπαγόμενος διὰ τὸ, μηνυθείσης τῆς ἐφόδου, πρότερον ταῖς πόλεσι καὶ τοῖς φρουρίοις τά τε βοσκήματα καὶ τοὺς ἀνθρώπους ἐγκατακλεισθῆναι. ἐπεὶ δὲ ἠγγέλλετο περὶ τούτων τῷ μεγάλῳ δομεστίκῳ, ἐκκλησίαν συναθροίσας, ἐβουλεύετο μετὰ τῶν ἐν τέλει καὶ τῶν ἡγεμόνων τῆς στρατιᾶς, ὅ, τι δέοι ποιεῖν πρὸς τὴν ἔφοδον τῶν Τριβαλῶν. οἱ μὲν οὖν ὅ,τι ἕκαστος ἐδόκει λυσιτελεῖν ἐβουλεύετο πρὸς τὰ παρόντα. τῷ μεγάλῳ δὲ δομεστίκῳ τὸ πρὸς Κρά-

22. *Сръбският крал Стефан напада Македония*

III, 12. А по същото време и владетелят на трибалите крал Стефан наруши договора с императора, когато научи, че той е умрял, и нападна и опустоши цялата останала Македония и като мина край Солун[188], дойде до село, наречено Критон. После той се върна с неголяма плячка, защото преди това хората заедно с добитъка се бяха заключили в градовете и крепостите, понеже бе съобщено за нападението му. А когато бе съобщено за тия неща на великия доместик, той свика съвета и се съветваше със знатните и началниците на войската какво трябва да предприеме срещу нападението на трибалите. Всеки даде такъв съвет, какъвто му се струваше, че е полезен, за момента. Макар великият доместик и да смяташе, че е необходимо бързо да се противопостави на краля, за да го

---

[188] Става дума за похода на Стефан Душан през 1341 г., когато достигнал до Солун. Вж. Острогорски, пос. съч., с. 475.

λην ἀντικαθίστασθαι ταχέως, ἵν' ἢ πείθοιεν αἱρεῖσθαι τὴν εἰρήνην ἢ θρασυνομένῳ πολεμοῖεν, δοκοῦν τῶν ἀναγκαίων, ἔτι πολλῷ μᾶλλον ἀναγκαιότερον καὶ λυσιτελέστερον πρὸς τὴν εἰς Πελοπόννησον στρατείαν ἅμα ἦρι παρεσκευασμένους ἐδόκει εἶναι καὶ μὴ προΐεσθαι τὸν καιρόν, πράξεων παρεχόμενον μεγάλων ἀφορμάς.

(II, pp. 79_9—80_4)

принуди или да предпочете мира или да се сражава смело, той реши, че е много по-необходимо и по-полезно да бъде готов за похода в Пелопонес в началото на пролетта и да не изпусне случая, даващ възможност за велики дела. . .

23. Magnus domesticus cum Alexandro Bulgarorum rege foedus facit

23. Великият доместик сключва договор с царя на българите Александър

III, 14. *Λόγου δὲ καὶ περὶ Ἀποκαύκου τοῦ παρακοιμωμένου ἐμπεσόντος καὶ σκεπτομένων καθότι δέοι χρήσασθαι αὐτῷ, μηδεμίαν ἄλλην, ἔφασκεν ἡ βασιλίς, τῶν τετολμημένων παρ' ἐκείνου δίκην ἀπαιτεῖν, ἢ ἣν αὐτὸς ἐτιμήσατο αὐτῷ, ὥστε οἴκοι καθῆσθαι, μὴ ἐξιόντα, μήτε τῶν κοινῶν τι διοικοῦντα. ὁ δ' ἔφασκε καὶ αὐτὸς τὴν δίκην πρέπουσαν ἡγεῖσθαι τῷ τολμήματι. μὴ μέντοι γε αὐτῷ κατὰ γνώμην εἶναι πρὸς ὑπερόριον ἀπιόντι στρατείαν τὴν πρὸς τὴν ἑσπέραν, τῶν δεομένων διορθώσεως ὀπίσω τι καταλιπεῖν. οὗ δὴ ἕνεκα πρός τε τοὺς περιοίκους Πέρσας θέσθαι σπονδὰς καὶ πρὸς Ἀλέξανδρον τὸν Μυσῶν βασιλέα, ἵνα μὴ ἀπόντος ταράττοιτο αὐτὴ ὑπὸ πολέμων ὀχλουμένη.*

(II, p. 87_{22}—88_9)

III, 14. Когато стана дума за паракимомена Апокавк[189] и помислиха как да постъпят с него, императрицата каза да не искат никакво друго наказание за извършените от него престъпления, освен което сам бе определил за себе си: да стои в къщи, да не излиза, нито да се занимава с обществени работи. А той, доместикът, казваше, че и сам намира наказанието подходящо за вината. Наистина нему не му било приятно, когато отивал извън граница, западната войска да оставя нещо след себе си, което се нуждае от оправяне. Поради това той сключил договор със съседните перси и с царя на мизите Александър, за да не би в негово отсъствие тя (императрицата) да бъде обезпокоявана от войни. . .

III, 19. . . *ἐπεὶ δὲ κἀκεῖνον ἦν προσειληφώς, Χούμνῳ πρόσεισι τῷ μεγάλῳ στρατοπεδάρχῃ, ἄλλως τε ὄντι τῶν ἐκείνῳ φίλων καὶ προσήκοντι κατὰ γένος διὰ τὴν γυναῖκα. τῆς γὰρ συναφθείσης ἐκείνῳ πρώτως τετελευτηκυίας, ἣ Δισυπάτου θυγάτηρ ἦν, ἑνὸς τῶν τῷ κλήρῳ τῆς τοῦ θεοῦ Σοφίας κατειλεγμένων, ἀνεψιᾷ συνῴκησε τῇ Χούμνου, ἤδη λαμπρὸς ὢν καὶ μὴ ἀπαξιούμενος πρὸς τῶν εὐγενεστέρων. διὰ ταῦτα οὖν ἐκείνῳ τῶν ἐπιτηδείων ὤν, ἀνεμίμνησκέ τε προσελθὼν τῶν πρὸς μέγαν δομέστικον εἰρημένων, ὅτε περὶ Μιχαὴλ τοῦ Μυσῶν βασιλέως ἐβουλεύοντο υἱοῦ, εἰ δέοι ἐκδιδόναι Ἀλεξάνδρῳ ἀπαιτοῦντι, τὸ ἐὰν ἀποκαλυφθῇ τῷ ἐσχάτῳ, σιγάτω ὁ πρῶτος.*

(II, p. 120_{10}—$_{21}$)

III, 19. . .[190] А когато привлече и онзи на своя страна[191], отиде при великия стратопедарх Хумн[192], който иначе бе негов приятел и роднина по женска линия. Защото, когато умря първата му жена, която бе дъщеря на Дисипат, един от знатните в клира на „Света София", той се ожени за братовчедката на Хумн и стана вече известен и не за пренебрегване сред по-знатните. Поради това, идвайки при него като роднина, той му припомни казаните думи срещу великия доместик, когато се съвещаваха за сина на царя на мизите Михаил, дали трябва да го предадат на изискващия го Александър, а именно, „ако бъде открито на последния, първият да мълчи". . .[193]

---

[189] Великият дук Апокавк бил политически противник на Йоан Кантакузин. През 1341 г., след смъртта на Андроник III Палеолог, Апокавк играл важна роля в политическия живот на Византия: той бил един от тримата регенти, които управлявали империята вместо малолетния Йоан V Палеолог. Освен това заемал важни държавни длъжности. Вж. Острогорски, пос. съч., с. 466, 475, 476, 480.

[190] В непреведения пасаж става дума за опитите на великия дук Апокавк да привлече на своя страна зетя на Йоан Кантакузин, Асен, и началника на флотата Йоан Гавала.

[191] Онзи, т.е. Йоан Гавала.

[192] Великият стратопедарх Хумн, книжовник и държавник по времето на Андроник II. Негова племенница била омъжена за Апокавк. Вж. Острогорски, пос. съч., с. 441.

[193] За да спечели Хумн на своя страна, Апокавк го шантажира, като му напомня казаното от него относно предаването на Шишман, сина на Михаил Шишман и политически беглец във Византия. А в разискванията в Държавния съвет Хумн не бил съгласен Шишман да бъде предаден на Иван Александър. Вж. у Cantacuzenus, op. cit., II, p. 19, 14—25, 11.

24. Quidam principes Romanorum ad partem Alexandri Bulgarorum regis transire minantur

III, 25. Ὁ μέγας μὲν οὖν δομέστικος τοιαῦτα εἶπεν. ὅσοι δὲ παρῆσαν τῶν συγκλητικῶν καὶ τῆς στρατιᾶς οἱ μάλιστα προέχοντες, ὥσπερ μιᾷ καὶ γλώττῃ χρώμενοι καὶ γνώμῃ, „καὶ πρότερον μὲν" ἔφασαν „ἐξ ὅτου τὰ καινὰ ταῦτα ἐτολμήθη καὶ ὁ συγγενικὸς πόλεμος ἔσχε τὴν ἀρχήν, οὐκ ἰδίᾳ μόνον ἕκαστος ἐφ' ἑαυτόν, ἀλλὰ καὶ κοινῇ πάντες πολλὰ πολλάκις περὶ τῶν αὐτῶν ἐβουλευσάμεθα, ὡς περὶ πραγμάτων ἀναγκαίων καὶ σχεδὸν περὶ ψυχῆς αὐτῆς ἕκαστος πολλὴν ποιούμενοι φροντίδα. ὅθεν οὐδὲ νυνὶ δεήσει τὰ δέοντα ἐξερευνᾷν, ὑπὸ τῆς πολλῆς περὶ αὐτὰ διατριβῆς ἐξευρηκέναι πάλαι οἰομένους. οὐχ ἥκιστα δὲ καὶ ὑφ' ὧν αὐτὸς πρὸς ἡμᾶς διεξῆλθες νῦν, τά,τε δέοντα καὶ πᾶσιν ὁμοίως χρήσιμα ἐσόμενα καὶ συνιέναι παρεσκεύακας καὶ τοῖς ἄλλοις συμβουλεύειν. καὶ γὰρ τὰ ἐκ τοῦ πολέμου κακὰ τοῦ ἐμφυλίου, ἃ πεφρικέναι καὶ αὐτὸς ὡς δεινότατα εἰρήκεις, καὶ αὐτοὶ πεφρίκαμεν ὁμοίως καὶ πάσῃ χρηστέον εἶναι οἰόμεθα καὶ σπουδῇ καὶ προθυμίᾳ, ὥστε μὴ τοῖς τοιούτοις κακοῖς περιπεσεῖν. καὶ ὁμοίως τόν τε τὸν πόλεμον τοῦτον τὸν δεινότατον ἀνάπτοντα ἡγούμεθα πολέμιον κοινὸν καὶ πᾶσιν ἐπιβουλεύοντα, καὶ τὸν δυνάμενον καταλύειν, εἰ μεθίησιν ἑκών, προδότην τῶν κοινῶν καὶ βάσκανον καὶ φθονερὸν καὶ τῇ κοινῇ σωτηρίᾳ τῶν πραγμάτων λυμαινόμενον. σκεψώμεθα τοιγαροῦν, εἰ ταῦτα πράττοντος, ἅπερ εἴρηκας, καταλύεται ὁ πόλεμος καὶ μὴ μᾶλλον ἐκ τούτων λήψεται ἀρχήν. εἰ γὰρ αὐτός, ὥσπερ ἰσχυρίζῃ, πρὸς τὴν δίκην ἀπελθών, ἢ τῶν συκοφαντῶν περιγενόμενος ἀπόσχῃ τῶν πραγμάτων, τὴν πολλὴν ἀγνωμοσύνην καὶ τὴν περὶ τὰ καλὰ ἀχαριστίαν βδελυξάμενος, ἢ κατακριθεὶς ἐρήμην, τῶν ἀνηκέστων πάθῃς τι, ἆρ' εἰς τοσοῦτον οἴει παρανοίας ἡμᾶς ἥκειν ἢ οὕτω ταπεινὰ καὶ ἀνελεύθερα φρονήσειν καὶ τῆς εὐκλείας ἀνάξια τοῦ προτέρου βίου, ὥστ' ἐν ἀνδραπόδων μοίρᾳ δουλεύειν Ἀποκαύκῳ, πᾶν τὸ προσταττόμενον ποιοῦντας ἀνθρώπῳ μηδὲν ἄμεινον διακειμένῳ τῶν πολλῶν; θᾶττον μεντἂν ἡμῶν ἕκαστος οἰήσεται προσήκειν ζόφον μᾶλλον ὑποδῦναι καὶ συνεῖναι τοῖς ἐν ᾅδου, ἢ τοιαῦτα ἀνασχέσθαι. ἀλλ' οἱ μὲν αὐτίκα, ὅση δύναμις παρείη, πολεμήσομεν ἀναφανδόν, ὧν ἄρχομεν πόλεων καὶ στρατιᾶς ἕκαστος ἰδίᾳ ποιούμενος· οἱ δὲ φέροντες ἑαυτοὺς ἅμα

24. Някои ромейски първенци замислят да минат на страната на царя на българите Александър

III, 25. И тъй великият доместик каза това[194]. А всички от синклита, които присъстваха, и най-големите началници на войската, единомислено и единогласно казаха: „И по-рано, откакто избухна този бунт и гражданската война започна, не само всеки за себе си, но всички общо се съветвахме за тях и проявихме големи грижи като за важни неща и почти като за собствения си живот. Поради това сега не ще трябва да издирваме това, което трябва да направим, понеже смятаме, че преди това сме го открили след голямо обмисляне. И сам ти сега най-много ни приказва за това и ни даде възможност и да се споразумеем и другите да съветваме за това, което ще трябва и което ще бъде еднакво полезно за всички. И от злините на гражданските война, от които и сам каза, че се ужасяваш като най-страшни, и сами ние също се ужасяваме и смятаме, че е полезно всяко старание и желание, за да не изпаднем в такива бедствия. И също така смятаме, че който запалва тази най-страшна война, е общ враг и заговорник против всички и този, който може да я прекрати, а съзнателно не иска, е предател на общото благо, клеветник, завистник и разрушител на общото спасение на държавата. Затова да обмислим дали, като направиш това, което каза, войната ще спре или, обратно, ще започне благодарение на това. Защото ако сам, както твърдиш, обръщайки се към съда или превъзмогвайки клеветниците, се откажеш от управлението, огорчен от голямата несправедливост и неблагодарност за хубавите дела (извършени от теб) или несправедливо осъден, претърпиш нещо ужасно, нима мислиш, че ние ще изпаднем до такова безумие или че ще мислим така долно, низко и недостойно за предишния ни славен живот, че да робуваме като роби на Апокавк и да изпълняваме всичко, заповядано от човек, който никак не се различава от тълпата? Разбира се, всеки от нас ще помисли, че е по-добре да потъне в преизподнята и да бъде заедно с тези в ада, отколкото да понесе това. Но веднага едни, с наличната войска, ще воюваме открито, като всеки лично се разпорежда с градовете и войската, на които стои начело. Други, заедно с πόλεσιν, οἱ μὲν Ἀλεξάνδρῳ τῷ Μυσῶν βασιλεῖ, ἄλλοι δὲ Στεφάνῳ ἐγχειρίσομεν τῷ δυναστεύοντι Τριβαλῶν, βέλτιον ἡγούμενοι βαρβάροις ἀνθρώποις μᾶλλον, δυνάσταις δὲ ὅμως, ἢ τοῖς χθὲς καὶ πρώην καταφρονουμένοις ὑφ' ἡμῶν δουλεύειν· ὥστε συμβήσεται ἐκ τούτων οὐ πόλεμος μόνον πρὸς ἀλλήλους ἡμῶν, πάντων ἀγόντων καὶ φερόντων τὰ ἀλλήλων καὶ τῶν ἔξωθεν πολεμίων οὐδὲν ἧττον, εἰ μὴ καὶ μᾶλλον, τὰ Ῥωμαίων πράγματα διαφθειρόντων, ὅσῳ καὶ τὰ ἀλλήλων ἀκριβέστερον ἴσμεν αὐτοί, ἀλλὰ καὶ συμπάσης τῆς Ῥωμαίων κατάλυσις ἡγεμονίας, οὐ πόλεων μόνον πολλῶν καὶ στρατιᾶς, ἀλλὰ καὶ προσόδων μεγάλων ἀποτετμημένων, ἐξ ὧν τὰ πολεμίων μὲν αὔξειν, καίτοι καὶ πρότερον ἀντίῤῥοπα τοῖς ἡμετέροις ὄντα, τὰ Ῥωμαίων δὲ ἐλασσοῦσθαι περιέσται, δέος δὲ, μὴ καὶ παντάπασι διαφθαρῇ καὶ ἡ Ῥωμαίων περιμάχητος καὶ διαβόητος βασιλεία Μυσοῖς ἢ ἄλλοις δή τισι χείροσι βαρβάροις δουλεύσει, τῶν ἔνδον μὲν στασιαζόντων καὶ διαφθειρόντων ἀλλήλους, ὡς ἐνόν, τῶν ἔξωθεν δὲ ἐπικειμένων πολεμίων καὶ τῷ καιρῷ συμμάχῳ χρωμένων δυνατωτάτῳ.

---

[194] Става дума за една дълга реч на Йоан Кантакузин, в която той отхвърля всички обвинения на императрица Ана и великия дук Апокавк, че вършел заговор против империята.

(II, pp. 152_{13}—154_{21})

градовете, ще минем на страната на Александър, царя на мизите, а трети ще се предадем на Стефан, владетеля на трибалите, като смятаме, че е по-добре да служим на варвари, но все пак владетели, отколкото да робуваме на днешни и доскорошни, презирани от нас хора. Така че от това ще избухне война не само между нас, като се ограбваме и оплячкосваме взаимно, не по-малко, отколкото от външните неприятели, ако не и повече, и като бъде опустошавана ромейската държава, тъй като ние сами знаем по-добре собствените си работи. Ще последва унищожение на цялата ромейска власт, тъй като ще се лишим не само от много градове и войска, но и от големи доходи, с което ще се увеличи силата на неприятелите, макар по-рано тя да бе равна на нашата, и ще се отслаби силата на ромеите. А има опасност да не изчезне напълно и скъпата и прочута ромейска империя да робува на мизите или на някои други по-лоши варвари. А ние вътре се бунтуваме и се погубваме и помежду си, колкото можем, докато външните неприятели, които се намират наблизо, използуват в най-висша степен момента. . ."

25. *Cantacuzenus imperator ad omnes Macedoniae Thraciaeque oppida litteras mittit*

III, 26. Τοιαῦτα τοῦ μεγάλου δομεστίκου εἰρηκότος, οἱ μὲν παρόντες πάντες ἐπῄνουν τε τοὺς λόγους καὶ θεῷ χάριτας ὡμολόγουν, ὅτι πεπεισμένον εἶχον ἐκεῖνον βασιλέα εἶναι. ᾤοντο γὰρ αὐτοῖς πάντα λύσειν τὰ δυσχερῆ γεγενημένον. ἐξιόντες τε ἐκεῖθεν, καὶ τοῖς ἄλλοις ἀπήγγελλον τὰ ἐψηφισμένα καὶ κοινὴν ἦγον ἑορτὴν καὶ συνήδοντο ἀλλήλοις. ὁ μέγας δὲ δομέστικος ἐκέλευε σκευὴν παρασκευάζεσθαι βασιλικὴν τοῖς ἐπὶ ταῦτα τεταγμένοις. καὶ ἐς τὴν ὑστεραίαν ὅρκων προτεθέντων, πάντες ὤμνυον μεγάλῳ δομεστίκῳ εὖνοι εἶναι μόνῳ καὶ τὴν πίστιν ἄδολον αὐτῷ καὶ καθαρὰν τηρήσειν. πρὶν δὲ τὸν πόλεμον κινηθῆναι τουτονὶ, ἐπεὶ παρεσκευάζετο ὡς εἰς τὴν ἑσπέραν ἐκστρατεύσων, τὸ μισθοφορικὸν τῆς στρατιᾶς προέπεμπεν αὐτοῦ, καὶ προῆλθεν ἄχρι Μακεδονίας. οὐ μὴν ἀλλὰ καὶ ὅσοι Μόῤῥαν κατῴκουν καὶ τῆς Ῥοδόπης ὅσαι πόλεις ἦσαν ὑπήκοοι Ῥωμαίοις, στρατιῶται πολλοὶ καὶ ἀγαθοί, ὑπὸ στρατηγῷ Ματθαίῳ τῷ Καντακουζηνῷ τεταγμένοι, τῷ τοῦ μεγά-

25. *Император Кантакузин праща писма до градовете в Македония и Тракия*

III, 26. Когато великият доместик каза това, всички присъствуващи одобриха думите и въздадоха благодарности на бога, понеже смятаха, че са го убедили да стане император. Защото вярваха, че когато стане, ще им премахне всички затруднения. А когато излязоха оттам и съобщиха на останалите решението, празнуваха и се веселиха общо. А великият доместик заповяда да се приготви царска премяна на определените за такава цел хора. И на следния ден, като бяха положени клетвите, всички се заклеха, че са верни само на великия доместик и ще пазят верността към него неопетнена и чиста. А преди да избухне сегашната война, когато се готвеше, за да потегли на поход на Запад, изпрати напред наемната част от войската си и достигна до Македония. И освен това, колкото хора живееха в Мора и колкото градове в Родопите бяха подчинени на ромеите — (това бяха) много и добри войници, намиращи се под командата на стратега Матей Кантакузин, по-стария син на великия доместик, се разположиха на лагер заедно със страλου Δομεστίκου πρεσβυτέρῳ υἱῷ, κατὰ τὴν Χαλκιδικὴν τῆς Θρᾴκης ἐστρατοπεδευμένοι ἅμα τῷ στρατηγῷ, οὕτω τοῦ πατρὸς κελεύσαντος, περιέμενον τὴν ἄφιξιν ἐκείνου. οὓς εὐθὺς ἐκάλει διὰ γραμμάτων εἰς Διδυμότειχον, ὡς εἰς τὴν ἀνάῤῥησιν αὐτοῦ παρεσομένους· καὶ παρῆσαν μελλήσαντες οὐδέν. ἔτι δὲ καὶ τῶν τῆς γυναικὸς ἀδελφῶν Ἰωάννου καὶ Μανουὴλ τῶν Ἀνδρονίκου τοῦ Ἀσάνη παίδων ὑπὸ κλοιοῖς, ὥσπερ εἴρημεν, κατὰ τὴν Βήραν, φρούριόν τι τῆς Θρᾴκης, εἰργομένων, πέμψας τὴν ἀδελφὴν ἅμα στρατιᾷ, ἐξῆγέ τε τοῦ δεσμωτηρίου καὶ ἄγειν ἐκέλευεν εἰς Διδυμότειχον πρὸς αὐτὸν, φρουρᾷ τὸν πύργον κατασχοῦσαν καὶ ἄρχοντα τῶν εὔνων αὐτοῖς ἐπιστήσασάν τινα. τριβομένου δὲ τοῦ χρόνου πρὸς τὴν τῶν βασιλικῶν παρασήμων παρασκευὴν, ἐπεὶ ἐδόκει μὴ μέλλειν, μηδὲ προΐεσθαι τὸν καιρὸν, τῶν κατὰ τὸ Βυζάντιον συντόνως πολεμούντων καὶ μηδεμιᾶς ἀπεχομένων πείρας, ἔγραφε καὶ αὐτὸς ταῖς κατὰ τὴν Θρᾴκην καὶ Μακεδονίαν ἁπάσαις πόλεσιν αὐτῷ προσέχειν, ὡς ἤδη Ῥωμαίων βασιλεῖ γεγενημένῳ καὶ δυναμένῳ ὑπείκουσί τε εὖ ποιεῖν καὶ τοὐναντίον, ἂν ἀνταίρωσιν ὅπλα, βλάπτειν.

(II, pp. 160_{21}—162_8)

26. *De seditione Mugduphi et Phrangopuli, qui auxilium Bulgarorum petunt*

III, 28. . . ἐπεὶ δὲ ἐπεγένετο ἡ νὺξ, Βράνος τις τοὔνομα τοῦ δήμου εἷς, σκαπάνῃ προσέχων καὶ χερσὶ καὶ γλίσχρως ἐκ τούτων πορίζόμενος τὸν βίον, καὶ δύο προσεταιρισάμενός τινας ἑτέρους, οἳ Μουγδουφὴς καὶ Φραγγόπουλος προσηγορεύοντο, νυκτός τε τῶν δημοτῶν τὰς οἰκίας περιιόντες καὶ πείσαντες μὴ ῥᾳθυμεῖν, ἀλλ' ἐπανίστασθαι τοῖς δυνατοῖς, ὡς οὐκ ἀπαλλαξόμενοι μόνον τῆς ὕβρεως ἐκείνων, ἀλλὰ καὶ τὰς οὐσίας διαρπάσοντες, καὶ χεῖρα οὐκ ὀλίγην συστησάμενοι δημώδη, ἐπιτίθενται τοῖς δυνατοῖς καὶ πάντων κρατοῦσι, πλὴν ὀλίγων, οἳ τὴν ἐπιβουλὴν αἰσθόμενοι, τὸν κίνδυνον διέφυγον, κατακρύψαντες ἑαυτούς. κατακλείσαντες δὲ ἐν τοῖς πύργοις τῆς πόλεως καὶ ἐπιστήσαντες φρουρὰς, ἐπεὶ καὶ ἡμέρα ἤδη ἦν, πανδημεὶ ταῖς οἰκίαις τῶν ἑαλωκότων ἐπελθόντες, τάς τε οὐσίας διήρπαζον, ἔπειτα καὶ τὰς οἰκίας καθῄρουν, οὐ μόνον τὰς ξυλώσεις περιαιροῦντες, ἀλλ' ὑπὸ μανίας καὶ τοίχους ἄχρι

тега в тракийския Халкидик[195] и така по заповед на бащата очакваха пристигането му. Той веднага с писмо ги повика в Димотика, за да присъствуват на коронацията му.[196] И те дойдоха, без да се бавят. И освен това, понеже братята на жена му Йоан и Мануил, синове на Андроник Асен[197], бяха хвърлени в затвора във вериги, както казахме, във Вира, крепост в Тракия, той изпрати сестра им с войска, освободи ги от затвора и заповяда да ги доведат в Димотика при него, след като задържи крепостта с гарнизон и постави за началник някой от привържениците им. А понеже много време се употребяваше за приготовлянето на царските знаци, като реши да не се бави и да не изпуска случая, понеже във Византион непрекъснато воюваха и не се спираха пред нищо, самият той писа до всички градове в Тракия и Македония да минат на негова страна, понеже е станал вече действителен ромейски император и щял да ги облагодетелствува, ако се подчиняват и, обратно, ако вдигнат оръжие, щял да ги накаже. . .

26. *За въстанието на Мугдуф и Франгопул, които искат помощ от българите*

III, 28. . .[198] А когато настъпи нощта, някой си по име Врана, човек от народа, който с мъка изкарвал прехраната си, взел за другари други двама, по име Мугдуф и Франгопул[199], и обикаляли през нощта домовете на гражданите и ги убеждавали да не бездействуват, но да въстанат срещу динатите. Така те щели да се освободят не само от тяхната надменност, но и щели да им разграбят богатствата. И след като събраха немалко множество от народа, нападнаха динатите и надвиха всички освен малцина, които, узнали за заговора, избягнаха опасността и се скриха. Те ги затвориха в кулите на града и поставиха стражи. А когато денят вече бе настъпил, масово нападнаха домовете на пленените, разграбиха богатствата им, а след θεμελίων διαλύοντες. καὶ οὐδὲν ἦν ὅ, τι δεινὸν μὴ ἐτολμᾶτο κατὰ τῶν τὰ Καντακουζηνοῦ τοῦ βασιλέως ᾑρημένων. πολλοὶ δὲ καὶ ἰδίων ἕνεκα διαφορῶν παραπήλαυσαν τῆς τοῦ δήμου φορᾶς· ἄλλοι δὲ καὶ χρημάτων σφίσιν ὀφειλομένων, ὑπὸ τῶν λαβόντων ᾐτιάθησαν Καντακουζηνισμόν. οὕτω χαλεπὴ στάσις ἐξ ἀρχῆς εὐθὺς ἀνήφθη. ἔδοξε δὴ καὶ μᾶλλον χαλεπωτέρα ἐκ τοῦ πρώτη παρ᾽ αὐτοῖς γενέσθαι, ἐπεὶ ὕστερόν γε καὶ πᾶν τὸ Ῥωμαϊκὸν εἰς ὠμότερα πολλῷ καὶ χαλεπώτερα ἐξετράπη, τῶν μὲν ἑκασταχοῦ δήμων τὸν βασιλέα Παλαιολόγον δεῖν οἰομένων ἑαυτοῖς δεσπότην ἐπιφημίζειν, τῶν ἀρίστων δὲ ἢ τῇ ἀληθείᾳ τῷ Καντακουζηνῷ προσκειμένων βασιλεῖ, ἢ τῶν ἀπόρων καὶ νεωτερίζειν βουλομένων τὴν ἴσην αἰτίαν ἐπαγόντων οὐκ ἔκ τινος ἐλέγχου. ῥᾶσται δὲ αὐτοῖς ἐγίνοντο αἱ ἐπαγωγαὶ χρήματά τε ἔχουσιν, ἃ ἔδει τοὺς ἀπόρους διαρπάζειν, καὶ μὴ βουλομένοις τοῖς ἄλλοις ὁμοίως συνασχημονεῖν. καὶ οἵ τε δῆμοι καὶ πρότερον πρὸς τοὺς ἀρίστους ἐκ τοῦ παρ᾽ αὐτῶν ἄγεσθαι καὶ φέρεσθαι ἐν τῆς εἰρήνης τοῖς καιροῖς πολλὴν ἔχοντες ἀπέχθειαν, ἄλλως τε καὶ διαρπάζειν τὰς οὐσίας αὐτῶν ἐλπίζοντες πολλὰς οὔσας, ἕτοιμοι ἦσαν πρὸς τὰς στάσεις καὶ ἐξ ἐλαχίστης προφάσεως καὶ τὰ δεινότατα ἐτόλμων. οἵ τε στασιασταὶ ὡς ἐπιπολὺ τῶν ἀπορωτάτων καὶ λωποδυτῶν καὶ τοιχωρύχων ὄντες, αὐτοί τε ὑπὸ τῆς πενίας ἀναγκαζόμενοι οὐδὲν εἴασαν ἀτόλμητον, καὶ τοὺς δήμους ἐνῆγον πρὸς τὰ ἴσα, τὴν πρὸς βασιλέα τὸν Παλαιολόγον εὔνοιαν ὑποκρινόμενοι. διὸ καὶ πιστοτάτους ἑαυτοὺς προσηγορεύκασιν. ὕστερον δὲ ὥσπερ τι νόσημα κακόηθες καὶ δεινὸν τὴν πᾶσαν ἀρχὴν ἐπινεμόμενον Ῥωμαίων, καὶ τῶν πρότερον δοκούντων μετρίων καὶ ἐπιεικῶν πρὸς τὴν ὁμοίαν ὕβριν ἐξεκαλέσατο πολλούς. ἐν μὲν γὰρ εἰρήνῃ καὶ πολέμων ἀπουσίᾳ αἵ τε πόλεις καὶ οἱ ἰδιῶται ἀμείνους ἔχουσι τὰς γνώμας καὶ πρὸς αἰσχρὰς καὶ φαύλας πράξεις ἥκιστα ἂν ἐξάγοιντο διὰ τὸ μὴ ἐς ἀκουσίους ἀνάγκας περιπίπτειν. ὁ δὲ πόλεμος τὴν καθημέραν ἀπορίαν ὑφαιρούμενος, βίαιος διδάσκαλος καὶ τῶν πρότερον δοκούντων ἀτολμήτων γίνεται. ἐστασίαζον οὖν αἱ πόλεις πᾶσαι κοινῇ πρὸς τοὺς ἀρίστους, καὶ οἱ ὑστερίζοντές που πύστει τῶν προγεγενημένων πολλὴν ἐπεδείκνυντο ὑπερβολὴν καὶ μέχρι φόνων ἐχώρησαν, καὶ τούτων ἀπανθρώπων, καὶ ἥ, τε ἀλόγιστος

---

[195] Тракийски Халкидик, т.е. Източна Тракия. Като се има пред вид, че събитията са станали по долното течение на р. Арда, вероятно става дума за провинция Родопа, която включвала в пределите си и областта Мора.

[196] Става дума за коронацията на Йоан Кантакузин, станала на 26. X. 1341 г. в Димотика, когато той се самопровъзгласил за византийски император, но официално не бил признат за такъв от неговите противници, начело с императрица Ана. До 3. II. 1347 г. той бил узурпатор на престола в Цариград, а след тази дата официално бил коронясан за византийски император.

[197] Андроник Асен бил тъст на Йоан Кантакузин.

[198] В пропуснатия пасаж става дума за реч на Кантакузин, произнесена след самопровъзгласяването си за император, в която подчертава доброто си отношение към императрица Ана и нейния син. Същевременно той заявява, че винаги е работел за могъществото на ромейската империя.

[199] Става дума за въстанието на градската беднота в Одрин, начело с Врана, Мугдуф и Франгопул, насочено срещу едрите земевладелци, които държели страната на император Кантакузин. Подробно за това вж. у Д. Ангелов, Антифеодални движения в Тракия и Македония през средата на XIV в., Исторически преглед, кн. 4—5, с. 443—445. — Същият, История на Византия, т. III, София, 1967, с. 83—84.

това разрушиха и къщите, унищожавайки не само дървените части, но от ярост разрушаваха и стените до основи. И нямаше нищо ужасно, което те да не се одързостиха да извършат срещу привържениците на партията на Кантакузин. А и мнозина поради лични дрязги използуваха народния гняв. А други се обвиняваха в кантакузинизъм от длъжниците, които бяха заели пари от тях. Така изведнъж още в началото избухна силно въстание. И изглеждаше, че то бе много по-тежко, понеже бе първото въстание, избухнало сред тях. По-късно целият ромейски народ се изложи на много по-свирепи и по-тежки събития, защото навсякъде народните маси смятаха, че император Палеолог[200] трябва да бъде провъзгласен за техен господар, а знатните или наистина бяха на страната на императора Кантакузин, или бедните, желаещи и революция, ги обвиняваха в същото без всякакво доказателство. А нападенията бяха лесни срещу тях, тъй като имаха пари, които бедните трябваше да разграбят, и не искаха да постъпват по същия начин към другите. И народните маси и по-рано изпитваха голяма омраза към знатните, които ги плячкосваха и обираха в мирно време, а, от друга страна, те се надяваха да разграбят богатствата им, които бяха големи, бяха готови на въстания и при най-дребния повод и извършваха най-ужасни неща. Въстаниците повечето бяха от най-бедните, крадци и джебчии. Сами, подтикнати от бедността, те си позволяваха всичко и подтикваха народа към същото, показвайки лицемерно благоразположение към император Палеолог. И поради това се обявяваха за най-верните му хора. А по-късно това като някаква злокачествена и страшна болест обхвана цялата ромейска империя и то подбуди към подобно безумие мнозина, макар преди това да изглеждаха умерени и благонадеждни. Защото в мирно време, при липса на войни, градовете и гражданите са по-благонамерени и най-малко биха се решили на позорни и лоши деяния, за да не изпаднат в нежелателни затруднения. А войната, като премахва всекидневното опасение, става учител на насилието и на тия, които по-рано са изглеждали страхливи. Всички градове заедно въстанаха срещу знатните. И тези, които по-късно въставаха, мълвата за станалото по-рано ги караше да прекрачват всяка граница и достигнаха до убийства и до споменатите безчовечни постъпки. И без-

---

[200] Става дума за византийския император Йоан V Палеолог.

ὁρμὴ ἀνδρία ἐνομίσθη καὶ ἡ ἀναλγησία πρὸς τὸ συγγενὲς καὶ ἀσυμπάθεια βεβαία πρὸς τὸν βασιλέα πίστις· καὶ ὁ μὲν πρὸς βασιλέα τὸν Καντακουζηνὸν χαλεπαίνων καὶ πρὸς ὕβρεις ἐξαγόμενος αἰσχρὰς καὶ χαλεπάς, πιστὸς ἐδόκει, ὁ σωφρονῶν δὲ καὶ γλώσσης κρατῶν καὶ τὸ προσῆκον ἦθος διασώζων ὕποπτος ἦν εὐθύς. ὁμοίως δὲ καὶ τὸ ἐπιβουλεῦσαι καὶ ψευδῆ καὶ συκοφαντίας πλάσασθαι δόκησιν συνέσεως παρεῖχε. καὶ ἡ προδοσία τῶν οἰκειοτάτων ὥσπερ τι τῶν ἀγαθῶν ἐπετηδεύετο μετὰ ὀνόματος εὐπρεποῦς. οὕτω πᾶσα ἰδέα κακοτροπίας διὰ τὰς στάσεις ταῖς πόλεσι τότε ἐπεδείχθη καὶ οὐδὲν ἦν, ὅ, τι μὴ οἱ ἐπιεικέστεροι ὑπέμενον. οἱ μὲν γὰρ ἄριστοι αὐτίκα διεφθείροντο, ἢ τὴν προτέραν πρὸς βασιλέα τὸν Καντακουζηνὸν εὔνοιαν ἐπικαλούμενοι, ἢ τὸ μὴ ἐν τῷ αὐτίκα ἐκείνῳ πολεμεῖν· οἱ μέσοι δὲ τῶν πολιτῶν, ἢ ὅτι οὐ συνηγωνίζοντο τοῖς στασιάζουσιν, ἢ φθόνῳ τοῦ περιεῖναι. καὶ ἡ ἀνθρωπεία φύσις εἰωθυῖα καὶ παρὰ τοὺς νόμους ἀδικεῖν ἀεί, τότε μᾶλλον ἔδοξεν ἀκρατὴς μὲν οὖσα πρὸς ὀργήν, ἣν μὴ ὑπὸ τῶν ἀρχόντων σωφρονίζηται, κρείσσων δὲ τοῦ δικαίου, τῶν περὶ τούτου νομίμων ἀνῃρημένων, πολεμία δὲ τοῦ κρείττονος, ἂν περιγίνεσθαι ἔξῃ.

(II, pp. 176_{10}—179_{11})

разсъдната постъпка се смяташе за храброст, а безчувствеността към близките и голямата ненавист се считаше за вярност към императора. И този, който ненавиждаше император Кантакузин и го осмиваше срамно и безмилостно, се смяташе за верен, а умният и въздържаният в езика си и този, който спазваше благоприличието, веднага ставаше подозрителен. И същевременно заговорничеството и съчиняването на лъжи и доноси бе признак на мъдрост. И предателството спрямо най-близките се смяташе като добро качество заедно с добро име. Така тогава благодарение на бунтовете в градовете се проявиха всякакъв вид пороци и нямаше нищо (лошо), на което по-знатните да не се изложиха. Защото благородните веднага биваха унищожавани било защото проявяваха предишната благосклонност към императора Кантакузин, било защото не започваха веднага война против него. А средните граждани биваха унищожавани било защото не се сражаваха на страната на въстаниците, било от завист, че остават невредими. И човешката природа, която има навик винаги да постъпва несправедливо и противозаконно, тогава особено изглеждаше необуздана в своя гняв, който се възпираше от управниците, а бе по-силен от правото, тъй като правните норми за него бяха унищожени. Той би се насочил и срещу всемогъщия, ако можеше да бъде победен.

III, 29. *Ὁ μέντοι ἐν Ἀδριανουπόλει δῆμος ἐπεὶ τοὺς δυνατοὺς αὐτῶν δεσμώτας εἰς Βυζάντιον παρέπεμψαν, δείσαντες, μὴ ἐγγὺς βασιλεὺς διατρίβων ὁ Καντακουζηνὸς ἀθρόον αὐτοῖς ἐπιστρατεύσῃ καὶ οὐχ οἷοί τε ἀμύνεσθαι ὦσι διὰ τὸ τοὺς στρατευομένους μικροῦ δεῖν ἅπαντας τοὺς μὲν ἑαλωκέναι, τοὺς δὲ μηδὲ τῶν οἰκιῶν προκύπτειν, ἐν αἷς κατεκρύπτοντο, τολμᾶν, ἄλλως τε μηδ' ἐκ Βυζαντίου βοήθειάν τινα σφίσι προσδοκῶντες ἥξειν· (ᾔδεσαν γὰρ ἐκεῖ τὴν Καντακουζηνοῦ τοῦ βασιλέως στρατιὰν ἐστρατοπεδευμένην·) πρὸς βασιλέα τῶν Μυσῶν πέμπουσι πρεσβείαν, δεόμενοι σφίσι κατὰ τάχος βοηθεῖν. Ἀλέξανδρος δέ, ὥσπερ ἦν εἰκός, οὐ διὰ τὴν στάσιν μόνον, ἀλλὰ καὶ χρήμασι νομίσας, εἰ διαφθείρειε τοὺς ἄρχοντας τῆς πόλεως, πείσειν αὐτῷ ῥαδίως προσχωρήσειν, ἧκεν εἰς Ἀδριανούπολιν οὐδὲν μελλήσας. τῶν μὲν οὖν μελετωμένων ἤνυσεν οὐδέν. οἱ γὰρ τὴν πόλιν ἄγοντες σύμμαχον ἔφασαν, οὐ δεσπότην κεκληκέναι. βασιλέα δὲ τὸν Καν-*

III, 29. А народът в Адрианопол, след като изпрати във вериги във Византион своите динати, уплаши се, да не би императорът Кантакузин, който се намираше наблизо, да го нападне с цялата си войска[201]. А те не биха могли да се бранят, тъй като от почти всички войници едни бяха взети в плен, а други не се осмеляваха да се покажат от къщите, в които се бяха скрили. Освен това не очакваха, че ще им дойде някаква помощ от Византион. Те знаеха, че войската на император Кантакузин е на лагер там. Те проводиха пратеничество при царя на мизите, като го помолиха да им помогне колкото може побързо. Александър дойде незабавно при Адрианопол, както беше естествено, не само поради въстанието, но понеже считаше, че ако подкупи с пари началниците на града, лесно ще ги убеди да минат на негова страна. Но не постигна нищо от замисленото. Защото управителите на града казаха, че са го повикали като съюзник, а не за (техен)

---

[201] Войските на император Кантакузин се намирали западно от Цариград, до р. Черна, като една част била разположена около Одрин, готова да го завземе, ако жителите му не се предадат доброволно. За това вж. у Cantacuzenus, op. cit., II, cap. 28.

ταχουζηνὸν οὐ τὰ τυχόντα ἔβλαψεν ἡ ἐκείνου ἄφιξις, νομισθεῖσα παρὰ πᾶσιν ὡς ὑπὲρ βασιλίδος ἐγεγόνει. ἥτε γὰρ πρὸς τὸν Μέλανα ποταμὸν ἀπεσταλμένη παρ' ἐκείνου στρατιὰ καὶ οἱ στρατηγοὶ, μὴ νομίσαντες λυσιτελεῖν ἐνταῦθα διακινδυνεύειν, τοῦ βασιλέως σφίσι πολιορκουμένου παρὰ τῶν Μυσῶν, ἐπανεζεύγνυον. ἐν δὲ τῇ ἀναχωρήσει τῶν τε συγκλητικῶν τινες καὶ οὐκ ὀλίγοι στρατιῶται τοὺς στρατηγοὺς καταλιπόντες, διεδίδρασκον εἰς Βυζάντιον. ὧν ἦν καὶ ὁ Βατάτζης Ἰωάννης, τάξιν ἄγων τὴν Ἀχυραΐτῶν προσαγορευομένην. καὶ αἱ τῆς Θρᾴκης καὶ Μακεδονίας πόλεις, ὅσαι βασιλεῖ τῷ Καντακουζηνῷ ὑπήκοοι ἦσαν, τὴν ἐσβολὴν τῶν Μυσῶν πυθόμεναι ὡς κατὰ βασιλέως γένοιτο, πλὴν ὀλίγων λίαν πρὸς βασιλίδα συναπέστησαν καὶ τούς τε ἄρχοντας αὐτῶν καὶ τῶν πολιτῶν συλλαμβάνοντες τοὺς δυνατοὺς, ὑπὸ δεσμοῖς εἰς Βυζάντιον ἀπεκόμιζον. τὰ ἴσα δὲ καὶ αἱ κατὰ τὴν Ῥοδόπην πόλεις ἔδρων· καὶ κοινὸς ἦν ὁ πόλεμος πρός τε Καντακουζηνὸν τὸν βασιλέα καὶ τοὺς παρ' ἑκάστοις δυνατούς. σχεδὸν γάρ τοι εἰς δύο διῄρητο τὰ τῶν πολιτειῶν, καὶ οἱ μὲν ὀλίγοι τὰ Καντακουζηνοῦ τοῦ βασιλέως ἔδρων, οἱ δῆμοι δὲ ὑπὸ τῶν στασιαστῶν ἀγόμενοι καὶ τῶν ἀπόρων, τὰ βασιλίδος ᾑροῦντο μᾶλλον. κρείττους δὲ οἱ πολλοὶ πανταχοῦ γινόμενοι, διέφθειρον τοὺς δυνατοὺς, καὶ σύγχυσις δεινὴ καὶ ἀταξία τὰς πόλεις κατεῖχεν. Ἀλέξανδρος δὲ ὁ Μυσῶν βασιλεὺς ἐπεὶ τὴν Ἀδριανοῦ κατασχεῖν οὐκ ἠδυνήθη, πρὸς Διδυμοτείχῳ ἐστρατοπέδευσεν ἐλθὼν, μήπω διαβὰς τὸν Ἕβρον. στρατιὰν δὲ ἀπολεξάμενος ἐκ τῆς ἰδίας οὐκ ὀλίγην, πρὸς τὰς κατὰ Θρᾴκην ἐξαπέστειλε πόλεις λῃϊσομένους. οὕτω δὲ συμβὰν, ἡ ἐκ Βυζαντίου μετὰ Ἀγγέλου τοῦ πιγκέρνη ἀναστρέφουσα στρατιὰ, οὐκ ὀλίγοις αὐτῶν περιτυχοῦσα καὶ κρείττων γενομένη, ἀπέκτεινε κατὰ τὴν μάχην. ὁμοίως δὲ καὶ περὶ τὰ παράλια τῆς Θρᾴκης χωρία στρατιὰ Περσικὴ ἐπὶ λείαν καὶ αὐτὴ περαιωθεῖσα, τοῖς ὑπολοίποις τῶν Μυσῶν κατὰ τύχην συντυχοῦσα, ἀπέκτεινέ τε καὶ εἷλε ζῶντας ἐξ αὐτῶν πολλούς. οἱ δὲ λοιποὶ πρὸς τὸ στρατόπεδον τὸ οἰκεῖον ἐπανῆλθον, οὐ μόνον ἔχοντες μηδὲν, ἀλλὰ καὶ τῶν ἰδίων πολλοὺς ἀποβαλόντες. Ἀλέξανδρος δὲ καίτοι πρότερον καταφρονητικῶς πρὸς Καντακουζηνὸν τὸν βασιλέα διακείμενος, οἷα δὴ οἰόμενος μηδὲ ὀλίγα δυνάμενον ἀντιτάττεσθαι πρὸς αὐτὸν, πρὸς τῷ πληγῆναι ἀμφοτέρωθεν ὑπό τε Ῥωμαίων καὶ Περσῶν, ἔτι καὶ τὸν βασιλέα πυθόμενος ἐν Διδυμοτείχῳ στρατιᾶς πολλῆς καὶ ἀγαθῆς εὐπορεῖν, ἔδεισε καὶ περὶ τῶν ὑπολοίπων, μὴ οὐκ εἰς ἀγαθὸν αὐτῷ ἡ τόλμα ἀποβῇ, καὶ πέμψας πρεσβείαν, διελέγετο περὶ εἰρήνης. τῶν δὲ βασιλεῖ συνόντων οἱ ἐν ἡλικίᾳ καὶ θρασύτεροι τὰς ὁρμὰς, μὴ

господар. Неслучайно неговото пристигане пречеше на император Кантакузин, понеже всички сметнаха, че то е станало заради императрицата. Изпратените от него войска и началници при река Черна сметнаха, че не е полезно да се излагат там на опасност, понеже техният император бил обсаден от мизите, и се върнаха обратно. При връщането някои от членовете на синклита и немалко войници изоставиха началниците си и избягаха във Византион. Измежду тях бе и Йоан Ватаци, който предвождаше така наречената войска от ахираити. И градовете на Тракия и Македония, колкото бяха подвластни на императора Кантакузин, като узнаха, че нападението на мизите е станало като че ли срещу императора, присъединиха се към императрицата с изключение на малцина. Те изловиха началниците си и знатните граждани и оковани ги изпратиха във Византион. Същото направиха и градовете в Родопите. Имаше гражданска война срещу император Кантакузин и срещу динатите във всеки град. Защото гражданите бяха разделени почти на две партии и малцина поддържаха партията на император Кантакузин, а народните маси, подтиквани от въстаниците и от неимотните, предпочитаха партията на императрицата. А мнозинството, като взе връх навсякъде, избиваше динатите и страшно смущение и безредие обхвана градовете. А Александър, царят на мизите, като не можа да завземе Адрианопол, дойде до Димотика и се разположи на лагер, без да преминава Хеброс. Като отдели немалка част от войската си, изпрати я да опустошава градовете в Тракия. Случи се така, че войската, която се връщаше от Византион с пинкерна Ангел, срещна немалък брой от тях и ги изби в сражението, понеже бе по-силна. А същевременно и персийска войска, която дойде по крайбрежието на Тракия за плячка, като срещна случайно останалите мизи, изби и плени някои от тях. Останалите се върнаха в собствения си лагер не само без нищо, но след като бяха загубили мнозина от своите. Александър, въпреки че преди това се отнасяше презрително към императора Кантакузин, сметна, че не може да му се противопостави ни най-малко, понеже бе притиснат от две страни — от ромеи и от перси, освен това, като узна, че императорът има достатъчно голяма и храбра войска в Димотика, уплаши се и за останалите, да не би храбростта му да му навреди. Затова той проводи пратеничество и поведе разговор за мир. От близките на императора тези, които бяха млади

δέχεσθαι παρῄνουν τὴν εἰρήνην, ἀλλ' ἐξώρμων βασιλέα μᾶλλον πρὸς τὴν μάχην. ὁ δὲ οὐκ ἐπείθετο, πρὸς οὐδὲν οἰόμενος τὸν πόλεμον αὐτοῖς λυσιτελήσειν. „εἰ μὲν γὰρ πρὸς μόνους" ἔφασκε „Μυσοὺς ἦν ὁ ἀγὼν ἡμῖν, εἶχεν ἄν τινα ἡ τόλμα λόγον· νυνὶ δὲ οὐ μᾶλλον τούτους ἡμᾶς, ἢ ὅπως Βυζαντίους ἀμυνούμεθα χρὴ σκοπεῖν. ἄν τε γὰρ νικήσωμεν Μυσούς, οὐδὲν ἔσται πλέον, ἢ ὅπως ἐνθένδε ἀπελάσωμεν· ὅπερ αὐτοῖς ἀνάγκη πράττειν, ἄν τε ἡττηθῶσιν, ἄν τε μή. ἐὰν δὲ ἡττώμεθα αὐτοί, ὥσπερ καθ' ἡμῶν αὐτῶν ἐξεπίτηδες στρατηγήσομεν τοῖς πολεμίοις. ὥστε τί ἂν εἴη μᾶλλον ἐκείνοις ἥδιον καὶ λυσιτελέστερον, ἢ ἡμᾶς αὐτοὺς ὑπ' ἀβουλίας ἃ ἐκείνοις εὐχῆς ἄξια νομίζεται, ποιεῖν; ἄλλως τε οὐδὲ Ἀλεξάνδρου πρόφασιν ἡμῖν δικαίαν πρὸς τὸν πόλεμον παρεσχημένου, ἀδικοίημεν ἄν, εἰ μὴ διαλύεσθαι ἐθέλοιμεν. οὐ γὰρ ἡμῖν γε ἐπεστράτευσεν, ἀλλ' ἐφ' ἑτέραν πρόφασιν ἐλθὼν, ἄκων ἔβλαψεν ἡμᾶς· ὥστε καὶ ἐκ τοῦ μὴ λυσιτελεῖν ἡμῖν τὸν πόλεμον καὶ ἐκ τοῦ μὴ πρόφασιν δικαίαν εἰληφέναι τὴν εἰρήνην μᾶλλον αἱρετέον." τοιαῦτα εἰπὼν, τοὺς πρέσβεις προσεκαλεῖτο καὶ ἐχρημάτιζε περὶ σπονδῶν. καὶ ἐπεὶ κἀκεῖνοι διαλύεσθαι ἦσαν ἕτοιμοι, αὐτοῖς μὲν δῶρα παρασχὼν, ἀπέπεμπεν εἰς τὸ στρατόπεδον. πρεσβείαν δὲ πέμψας πρὸς Ἀλέξανδρον, καὶ αὐτὸς ἐβεβαίου τὰς σπονδάς. βουλομένων δὲ τῶν βασιλέων καὶ ἀλλήλοις συνελθεῖν ἐπὶ φιλίας μᾶλλον βεβαιώσει, διεκώλυσεν ὁ χειμὼν ἐπιγενόμενος σφοδρός· ὑφ' οὗ μὴ δυνάμενον τὸ στράτευμα Μυσῶν διακαρτερεῖν ἐπὶ σκηναῖς ἀνεζεύγνυον εἰς τὴν οἰκείαν, στρατιωτῶν τε καὶ ἵππων αὐτοῖς ὑπὸ κρύους τινῶν ἀπολομένων.

(II, pp.179_{12}—183_3)

27. *Cantacuzenus imperator in occidentem se convertit*

III, 31 . . . ἐν τούτῳ δὲ καὶ ὁ πρωτοστράτωρ ἐκ Θεσσαλονίκης, ὅτι τὴν βασιλέως ἀπείπατο πρεσβείαν, μεταμεληθεὶς, τῶν οἰκειοτάτων πέμψας τινὰ, κρύφα διελέγετο ὡς Θεσσαλονίκην παραδώσων. εἶναι γὰρ αὐτῷ τοὺς συμπράττοντας ἐκεῖ πολλούς. συνεβούλευέ τε μὴ μέλλειν, ἀλλ' ἅμα ἦρι ἥκειν πρὸς αὐτὸν, ὡς πολλῆς αὐτῷ ὠφελείας ἐσομένης ἐξ ἐκείνου. ὁμοίως δὲ καὶ Χρέλης, ὃς ἦν πρότερον πρὸς Ἀνδρόνικον τὸν βασιλέα ηὐτομοληκὼς ἐκ Τριβαλῶν, στρατιώτας τε ἔχων χιλίους καὶ πόλεις τρεῖς παραδεδωκὼς,

и по-дръзки, го съветваха да не приема мира и го поощряваха повече към сражение. Той обаче не скланяше, като смяташе, че войната не ще им донесе никаква изгода. „Защото — казваше той, — ако бяхме водили борба само с мизите, смелостта ни би имала някакъв смисъл, а сега ние трябва да обмислим как да се браним не толкова от тях, а по-скоро от тези във Византион. Защото ако победим мизите, ние само ще ги прогоним оттук, което те трябва да направят, било че бъдат победени или не. А ако ние сами бъдем победени, ще доведем неприятелите като че ли нарочно срещу нас. Така че какво по-изгодно и по-полезно би било за тях, отколкото ние самите да извършим поради безумие това, за което те се молят? А освен това, понеже и Александър не ни е дал сериозен повод за война, бихме постъпили несправедливо, ако не пожелаем да сключим мир. Защото той не бе потеглил на поход срещу нас, но като пристигна по друг повод, навреди ни, без да иска. И така, понеже войната не е от полза за нас и понеже нямахме справедлив повод (за нея), трябва да предпочетем мира." Това каза той и като повика пратениците, преговаряше за договора. И тъй като и те бяха готови да се споразумеят, той им даде дарове и ги отпрати в техния лагер. Той проводи пратеничество при Александър и сам потвърди договора. Макар царете да желаеха и лично да се срещнат, за да заздравят повече приятелството, настъпилата тежка зима им попречи. Поради това войската на мизите се върна в страната си, понеже не можеше да издържи на палатки, като им измряха от студ известно число войници и коне. . .

27. *Император Кантакузин се отправя на поход на запад*

III, 31. . .[202] Междувременно и протостраторът от Солун съжаляваше, че е отхвърлил пратеничеството на императора, и като прати един от най-близките си хора, тайно преговаряше, за да предаде Солун. Защото там имал мнозина свои съмишленици. Съветваше го да не бърза, но с настъпването на пролетта да дойде при него, защото щял да има голяма полза от него. Също така и Хрельо, който по рано от трибалите бе минал на страната на император Андроник, се предаде заедно с хиляда войници и три града, които бяха подвластни ἃς Ῥωμαίων οὔσας ὑπηκόους κατὰ τὸν πρὸς ἀλλήλους τῶν Ἀνδρονίκων βασιλέων πόλεμον κατέσχον οἱ Τριβαλοὶ, τῶν κατεχόντων Ῥωμαίων παραδόντων· οὗτος δὴ οὖν ὁ Χρέλης χρήμασί τε ἐῤῥωμένος καὶ στρατιὰν ἔχων ἀξιόλογον ὑφ' ἑαυτῷ καὶ πρότερον βασιλεῖ τῷ Καντακουζηνῷ ἐς τὰ μάλιστα φίλος ὢν, (δι' αὐτοῦ γὰρ καὶ Ἀνδρονίκῳ προσῆλθε τῷ βασιλεῖ,) πέμψας καὶ αὐτὸς, ὅτι τε αἱροῖτο ἐδήλου τὰ ἐκείνου, καὶ παρῄνει καὶ αὐτὸς πρὸς τὴν ἑσπέραν μᾶλλον τρέπεσθαι, ὡς οὐ φαύλης τινὸς αὐτόθεν ἐσομένης ὠφελείας.

---

[202] В непреведения пасаж се говори за трима висши византийски сановници: Мономах, управител на Тесалия, протостратора Синадин, управител на Солун, и Сирги, управител на гр. Фере.

(II, p. 193_{6}—$_{23}$)

28. *Cantacuzenus imperator castellum Beram oppugnat*

III, 32. **Πρὸς μὲν οὖν Διδυμοτείχῳ βασιλίδα τὴν γυναῖκα κατέλιπεν** ὁ βασιλεὺς ἅμα θυγατράσι τρισὶ καὶ δουκὶ Νικηφόρῳ τῷ δεσπότου παιδὶ, ᾧ Μαρίαν συνῴκησε τὴν θυγατέρα, ἀδυνάτως ἔχοντι στρατεύεσθαι διὰ τὴν ἡλικίαν, (ἔτι γὰρ παρήμειβε τὴν παιδικὴν,) στρατιάν τε ἱππικὴν, ὅσην ᾤετο ἀρκέσειν πρὸς τὰς ἐκ τῶν ἄλλων πόλεων καὶ Βυζαντίου ἐφόδους ἐσομένας. πρὸς γὰρ τοῖς ὕστερον ὀλίγῳ ἐπιγενομένοις χίλιοι ἦσαν. ὧν ἦρχον Μανουὴλ ὁ Ταρχανειώτης καὶ ὁ Φακρασὴς Γεώργιος καὶ τρίτος ὁ τῆς αὐλῆς πριμμικήριος Παλαιολόγος ὁ Ἰωάννης, καὶ ὁ Γλαβᾶς Γεώργιος σὺν τούτοις. ἐπὶ δὲ τῆς ἔξω Διδυμοτείχου συνοικίας οὔσης πολλῆς, ἑτέρους ἐπέστησεν ἄρχοντας ὀκτὼ, ὧν ἦρχεν ἕκαστος χιλίων τοξοτῶν. στρατηγὸν δὲ ἐπὶ πᾶσι τὸν γυναικὸς ἀδελφὸν Ἀσάνην κατέλιπε τὸν Μανουήλ. πόλεων δὲ τῶν κατὰ τὴν Θρᾴκην ἁπασῶν οὐδεμία αὐτῷ προσεῖχεν, ἀλλὰ πᾶσαι πρὸς βασιλίδα συναπέστησαν, πλὴν τοῦ Ἐμπυθίου φρουρίου, ὃ αὐτῷ, περιόντος ἔτι βασιλέως, ᾠκοδόμητο αὐταῖς κρηπῖσιν. αὐτὸς δὲ τούς τε υἱοὺς ἔχων Ματθαῖον καὶ Μανουὴλ καὶ τὸν γυναικὸς ἀδελφὸν Ἀσάνην τὸν Ἰωάννην, ἔτι τε Ἄγγελον Πιγκέρνην τὸν ἀνεψιὸν, καὶ τῶν εὐγενῶν καὶ καθ' αἷμα προσηκόντων οὐκ ὀλίγους, τὴν στρατιὰν πολλὴν καὶ ἀγαθὴν οὖσαν παραλαβὼν, ἐξῆλθε Διδυμοτείχου πέμπτῃ Μαρτίου ἱσταμένου τῆς δεκάτης ἰνδικτιῶνος. προὔπεμπέ τε ἑαυτοῦ Κωνσταντῖνον τὸν Παλαιολόγον, τὸν δεσπότου Μιχαὴλ τοῦ δουκὸς υἱὸν, ὡς δι' αὐτοῦ τῶν δοκούντων λυσιτελεῖν τινα προπαρασκευασόμενος. ὁ δ' αὐτίκα πρὸς Συργὴν ἀφίστατο ἐν Φεραῖς, εἴτε περὶ τῆς οἰκίας δείσας, (Φεραίοις γὰρ συνῴκει,) εἴτε καὶ οἰωνι-

на ромеите и които трибалите завзеха по време на войната между императорите Андрониковци, понеже владеещите ги ромеи ги предадоха. А този Хрельо прочее бе много богат и имаше под своя команда достатъчно войска и беше и по-рано голям приятел на император Кантакузин (благодарение на когото се беше присъединил към император Андроник). Той проводи пратеници при него и съобщи, че взима неговата страна, и сам го посъветва да се отправи по-скоро на Запад, тъй като там щял да има голяма изгода. . .

28. *Император Кантакузин обсажда крепостта Вира*

III, 32. И така прочее императорът остави в Димотика съпругата си императрица заедно с трите ѝ дъщери и дука Никифор, сина на деспота[203], когото ожени за дъщеря си Мария. Той не можеше да отиде на война поради възрастта си (защото бе още в началото на юношеската си възраст). Той остави конница, колкото мислеше, че ще бъде достатъчна срещу предстоящите нападения от страна на другите градове и от Византион. Защото освен дошлите малко по-късно имаше хиляда (конници). Предводителствуваха ги Михаил Тарханиот и Георги Факрас и третият бе Йоан Палеолог, примикир[204] на двореца, и заедно с тях бе и Георги Глава. А понеже поселенията извън Димотика бяха големи, постави други осем началници, всеки от които командуваше хиляда стрелци. За началник на всички остави брата на жена си Мануил Асен. Нито един от всички градове в Тракия не мина на негова страна, но всички се присъединиха към императрицата освен крепостта Емпитий[205], която си бе изградил от самите основи още докато бе жив императорът. Сам заедно със синовете си Матей и Мануил и брата на жена си Йоан Асен, а освен тях и братовчеда си Ангел Пинкерн и немалко от благородните и от роднините си, като взе голяма и силна войска, напусна Димотика на пети март, десети индикт.[206] Той прати напред Константин Палеолог, син на деспота дук Михаил, за да си приготви чрез него някои неща, които смяташе, че ще му бъдат от полза. А онзи веднага мина на страната на Сирги във Фере било че се страхуваше заради дома си (защото живееше във Фере), било че поради въстанието на градовете σάμενος ἐκ τῆς τῶν πόλεων ἀποστασίας, ὡς οὐ κατὰ ῥοῦν βασιλέως Καντακουζηνοῦ τὰ πράγματα χωρήσει. βασιλεὺς δὲ, καίτοι τῶν πραττομένων οὐ πάνυ χρηστὰς ἐλπίδας παρεχόντων, τὴν στρατιὰν ἔχων ἐστρατοπέδευσεν ἐν Βήρᾳ. ἀφθονίαν δὲ ἐκεῖ τοῖς ἵπποις τοῦ τόπου παρέχοντος τροφῆς, (οὔπω γὰρ ἦν ἀπολαύειν ἀφθόνου πανταχοῦ διὰ τὴν ὥραν, ἄρτι ἀρχομένου ἦρος,) παρέμεινεν ἡμέρας οὐ πολλάς. ἐν ταύταις δὲ τοῦ φρουρίου ἀπεπείρα, εἰ δύναιτο κατασχεῖν ὁμολογίᾳ. βίᾳ γὰρ παραστήσασθαι οὐκ ἤθελε διὰ τὸ μοναχοὺς τὸ φρούριον κατοικεῖν, συνορῶν ὡς, εἰ βίᾳ κρατηθείη, οὐδὲν ἔσται λοιπὸν, ἢ ἀνάστατον γίνεσθαι τὴν μονὴν πολέμου νόμῳ πορθουμένην. οὗ δὴ ἕνεκα οὐδὲ συντόνως ἐπολιόρκει, ἀλλὰ δόκησιν παρεῖχε μόνον, ὡς πρὸς τειχομαχίαν παρασκευαζόμενος. μοναχοὶ δὲ οἱ ἔνδον ὄντες καὶ ὁ ἄλλος ὅμιλος ἐξ ἀγροτῶν συνειλεγμένοι, εἴτε διὰ τὴν ἀποστασίαν δεδοικότες, (τὴν γὰρ βασιλέως πρότερον φρουρὰν καὶ τὸν ἄρχοντα, ὃν ἐπέστησεν αὐτοῖς, ἀπάτῃ κατασχόντες δεσμώτας ἔπεμψαν εἰς βασιλίδα,) εἴτε καὶ τρόπῳ δή τινι ἑτέρῳ, ἠμύνοντό τε καρτερώτατα ἀπὸ τῶν τειχῶν ὀχυρωτάτων ὄντων ἐκ κατασκευῆς, καὶ οὐδ᾽ ἄκροις ὠσὶ προσίεντο τοὺς περὶ συμβάσεως λόγους. ἐν τούτῳ δὲ καὶ ὁ Βατάτζης Ἰωάννης ἐκ Βυζαντίου νυκτὸς διαλαθὼν, (οὐ γὰρ ἀσφαλῶς τὸ φρούριον ἐπολιορκεῖτο διὰ τὴν εἰρημένην αἰτίαν,) ἅμα ὀλίγοις στρατιώταις εἰσελθὼν, περιεποίησέ τε τὸ φρούριον βασιλίδι καὶ βασιλεῖ τῷ Καντακουζηνῷ τὴν ἐπιχείρησιν ἀνέλπιστον ἐποίει. ἀναστήσας τοίνυν ἐκεῖθεν τὴν στρατιὰν, εἰς τὴν Ἀναστασίου πόλιν, ἣ Περιθεώριον ὑπὸ βασιλέως Ἀνδρονίκου προσηγόρευτο, ἐγένετο. καὶ περιεκάθητο πολιορκῶν ἐν τέσσαρσι καὶ εἴκοσιν ἡμέραις. ἦν γὰρ δὴ καὶ πρὸς Χρέλην καὶ πρωτοστράτορα τὸν Συναδηνὸν ἐν Θεσσαλονίκῃ τοὺς μηνύσοντας τὴν ἐκείνου ἄφιξιν πεπομφὼς, καὶ περιέμενε μαθεῖν, εἰ τὰ ἴσα ὥσπερ καὶ πρότερον περὶ αὐτοῦ διανοοῦνται. Βατάτζης δὲ τούς τε στρατιώτας, οὓς ἐκ Βυζαντίου ἧκεν ἔχων ἐπαγόμενος, καὶ ἐκ τῶν κατὰ τὴν Θρᾴκην καὶ Ῥοδόπην πόλεων οὐκ ὀλίγην στρατιὰν συνειλοχὼς, οὐκ ἀξιόμαχον δὲ ὅμως πρὸς τὴν βασιλέως, (ἦν γὰρ δὴ ἐκ βασιλίδος καὶ τῶν ἄλλων τῶν τὰ πράγματα ἀγόντων τὸν πρὸς ἐκεῖνον ἐπιτετραμμένος πόλεμον,) ἐφείπετο οὐκ ἐγγύθεν, ἀλλὰ μιᾶς ἡμέρας ὁδὸν διέχων, διὰ πολλῆς ποιούμενος σπουδῆς τὸ μὴ τῇ βασιλέως στρατιᾷ περιτυχεῖν·

---

[203] Касае се за Никифор II, епирски деспот. [204] Примикир, т.е. дворцов маршал. [205] Крепостта Емпитий се намирала в Източна Тракия. [206] Пети март, десети индикт през 1342 г.

(II, pp. 195_4—197_{22})

смяташе, че работите на император Кантакузин не ще тръгнат добре. А императорът, макар извършеното да не даваше добри надежди, се разположи с войската си във Вира. Понеже мястото там не предоставяше в изобилие храна за конете (защото не можеше да пасат изобилно навсякъде поради сезона, тъй като пролетта едва започваше), той остана немного дни. А в тия дни се опита, ако може, да завладее крепостта чрез капитулация. Защото не желаеше да си я подчини със сила поради живеещите там монаси, тъй като виждаше, че ако я завземе със сила, не ще има друг изход освен манастирът да бъде разрушен по законите на войната. Поради това не я обсади сериозно, но само даваше вид като че се готви за обсада. А монасите, които бяха вътре, и другият народ, събран от полята, било че се страхуваха поради въстанието (защото те преди това бяха хванали с измама стражата на императора и архонта, когото им бе поставил, и вързани ги бяха пратили на императрицата)[207], било и поради някаква друга причина, се защищаваха най-упорито от стените, които бяха твърде здрави поради съоръженията си и не искаха да дадат ухо на предложенията за споразумение. А също и Йоан Ватаци (като тръгна) тайно от Византион през нощта с малко войници (тъй като обсаждането на крепостта по споменатата причина не бе сигурно) подчини крепостта на императрицата и направи безнадеждно завземането ѝ от император Кантакузин. Като се вдигна прочие с войската оттам, той отиде в Анастасиопол[208], който от император Андроник бе наречен Перитеорион. И го обсаждаше в продължение на двадесет и четири дни. Защото бе изпратил да съобщят и на Хрельо, и на протостратора Синадин за своето пристигане в Солун и очакваше да разбере дали мислят за него същото, както и преди. А Ватаци заедно с войниците, с които дойде от Византион, и с немалка войска от градовете в Тракия и Родопите, която все пак не бе равностойна на войската на императора (защото бе натоварен с войната против него от императрицата и от другите държавници), вървеше не близо, но бе на разстояние един ден път, като внимаваше много да не срещне войската на императора. . .

---

[207] Императрица Ана, съпруга на Андроник III Палеолог. [208] Анастасиопол, крепост до Перитеорион.

29. Imperatricis Annae amici Alexandro, Bulgarorum regi, servire malunt

III, 34. Οὕτω δὲ συνθέμενοι πρὸς βασιλίδα ἧκον. προσαγορεύσαντες δὲ, „ἡμεῖς" εἶπον „πάντες, καὶ μάλιστα πατριάρχης, ἐν τοῖς πρώτοις ἦμεν τῶν Καντακουζηνοῦ τεταγμένοι φίλων, καὶ πολλῶν ἐκείνου καὶ μεγάλων ἀπηλαύσαμεν τῶν εὐεργεσιῶν. μέχρι μὲν οὖν κἀκεῖνος εὔνους τε ὑμῖν τοῖς βασιλεῦσιν ἦν καὶ τὰ δίκαια διενοεῖτο πράττειν, οὐδ' ἡμῶν οὐδεὶς οὐχ ὅτι πολεμεῖν, ἀλλ' οὐδ' ἀντιφθέγγεσθαι ἐτόλμα. ἐξ ὅτου δὲ ἄδικα καὶ παράνομα διενοήθη καὶ τοῦ πολλὰ πεφιληκότος βασιλέως κτείνειν ὥρμητο τοὺς παῖδας καὶ τὴν Ῥωμαίων βασιλείαν ἑαυτῷ περιποιεῖν, μισήσαντες τὴν γνώμην ὡς ἀπάνθρωπον καὶ πονηρὰν, πόλεμόν τε πρὸς ἐκεῖνον ἠράμεθα φανερῶς ὑπὲρ ὑμῶν καὶ τὰ μέγιστα αὐτὸν καὶ γένος καὶ οἰκείους ἐκακώσαμεν. καὶ νῦν εἰς τοσοῦτον ὁμονοίας ἥκομεν, ὡς οὐ χρήματα μόνον, ἀλλὰ καὶ ψυχὰς αὐτὰς ἡδέως προησόμενοι πολεμοῦντες αὐτῷ ὑπὲρ ὑμῶν. ὅτε οὖν ἡμεῖς τοσαύτην εὔνοιαν καὶ προθυμίαν πρὸς ὑμᾶς ἐνεδειξάμεθα τοὺς βασιλέας, τῶν ἀδικωτάτων ἂν εἴη, καταλιποῦσαν αὐτὴν ἡμᾶς καὶ παρ' οὐδὲν τὴν ἡμετέραν λογισαμένην σωτηρίαν, σπένδεσθαι τῷ πολεμιωτάτῳ τῆς ἰδίας ὠφελείας ἕνεκα, εἴγε καὶ ὠφέλειά τις ἕψεται ἐκ τῆς εἰρήνης, ἀλλὰ μὴ βλάβη δεινοτέρα ἐκ τῶν τοῦ πολέμου γενησομένων ἁπασῶν. ἃ γὰρ αὐτὴ περὶ τῆς πρὸς ἐκεῖνον εἰρήνης τῆς παρελθούσης διειλέχθης νυκτὸς, οὐδ' ἡμᾶς διέλαθεν ἐπὶ πολλῶν εἰρημένα ἀκοαῖς. ἐκεῖνον μὲν οὖν ἡμεῖς, ὡς κατὰ σοῦ καὶ τῶν παίδων τὰ δεινότατα καὶ διανοούμενον καὶ ἤδη πράττοντα, ὥσπερ ἀπὸ μιᾶς γνώμης πολέμιόν τε ἡγησάμεθα καὶ οὐδενὸς, τόγε εἰς ἡμᾶς ἧκον, ἠμελήσαμεν τῶν βλάπτειν δυναμένων. εἰ δ' ἔκ τινων αἰτιῶν ἡ εἰρήνη μᾶλλον συμφέρουσα νομίζεται νυνὶ, οὐδ' ἡμεῖς ἐναντιωσόμεθα πρὸς τὰ φαινόμενα λυσιτελεῖν, μόνον εἰ γνώμῃ κοινῇ πάντων ἡμῶν ἡ εἰρήνη ἐπιψηφισθείη. τὰ γὰρ ὑπὸ πολλῶν δοκιμαζόμενα ἥκιστα ἂν ἁμαρτηθείη. εἰ μὲν οὖν ὥσπερ ἐγνώκαμεν, αὐτή τε πείθῃ καὶ τὴν ἀξίωσιν ἡμῶν ὡς δικαίαν παραδέχῃ, πάντ' ἂν ἔχοι ἄριστα. εἰ δ' ἄρα ἑτέρως ἔγνωκας αὐτὴ, ἀλλ' ἡμῖν γε φράσον φανερῶς, ἵν' ἕκαστος, ὡς ἂν μάλιστα οἷόστε ᾖ, τὴν σωτηρίαν ἐκπο-

29. *Приближените на императрица Ана замислят да минат на страната на царя на мизите Александър*

III, 40. А в същия ден и великият дук Апокавк пристигна в Солун от Евбея[222] със седемдесет кораба. Мислеше, че той не ще допринесе нищо във войната срещу императора, понеже неговата сила бе във флотата, а император Кантакузин воюваше по суша. Затова той обикаляше островите и като показваше силата си, дойде до Евбея. После, когато дойде време да се върне, реши, че трябва да отиде и към Солун, за да покаже и там силата си. А когато пристигна, веднага научи за разногласието във войската на императора. Той веднага съобщи на протостратора и на останалите за пристигането си и обещаваше много неща, ако се отцепят от императора и минат на негова страна, или в противен случай той ги заплашваше, че ще постъпи много зле и ще прояви голяма суровост спрямо близките им. А протостраторът и по-рано заради близките си се страхуваше да участвува в похода заедно с императора, както казахме, и не желаеше да участвува заради него в далечни и тежки походи, и затова веднага радостен прие условието и поиска гаранция от великия дук за предишните си деяния. И тогава този ги даде радостно и обещаваше всичко на драго сърце. А след като за станалото веднага научиха и другите, които мислеха същото като протостратора, изведнъж немалък смут, страшно объркване и безредие обхвана войската, понеже едни вече решиха да се отцепят, а други, както бе естествено, поради тяхното отцепване се уплашиха и бяха обхванати от лоши предчувствия за бъдещето. И императорът видя, че войската е смутена, и като повика най-виновните за отцепването, каза: „Приятели, нищо не води така към липса на смелост и малодушие, както желанието да живееш охолно и страхът от загубата на имота. А нашите предци римляните, които не бяха с такива разбирания и за малко не бяха завладели целия свят, се излагаха на всякакво напрежение за слава и да не изглежда, че са по-слаби от неприятелите. Затова не само не избягваха случайните затруднения, но и в големи нещастия, когато загубваха началниците си и цялата войска във войните, никак не загубваха храбростта си, нито падаха духом, но смятаха, че изобщо по-скоро трябва да изтърпят всичко, отколкото да робуват на неприятелите. А не зная защо вие, като ви сполети нещо или изпаднете в някакво нещастие, макар да сте страшни за неприятелите и те да са ви нарекли ἐκείνων κεκλημένοι σιδηρᾶ, δειλοὶ καὶ ἀγεννεῖς καὶ ἀνελεύθεροι ἀντὶ τῶν προτέρων ὤφθητε ἀθρόον, καὶ τοῖς πολεμίοις ἑκόντες ὄντες ἐγχειρίζετε σφᾶς αὐτούς, μηδένα πόνον περὶ τὸ χειρώσασθαι ὑμᾶς εἰσενεγκοῦσιν. οὔτε γὰρ ἐν μάχῃ ἡττήμεθα οὐδεμιᾷ αὐτῶν, οὔτ' εἰς τοσοῦτον ἡμῖν ἧκε τὰ πράγματα ἀνελπιστίας, ὥστε ἀπορεῖν ὅπῃ σωθησόμεθα, εἰ μὴ σφᾶς αὐτοὺς ἐγχειρίσομεν τοῖς πολεμίοις. ἐγὼ δὲ οὕτως ἐξαρχῆς καὶ νῦν οὐδὲν ἧττον πέπεικα ἐμαυτόν, ὡς οὐδέποτε προησόμενος ὑμᾶς, ἀλλ' ἢ σὺν ὑμῖν παραστησάμενος τοὺς πολεμίους συμμερίσασθαι καὶ τὴν δόξαν καὶ τὴν ὠφέλειαν τὴν ἐκ τῆς νίκης, ἢ μαχόμενος πεσεῖσθαι, ἂν ἡττᾶσθαι συμβαίνῃ, ἐλευθέροις καὶ γενναίοις ἀνδράσι προσηκόντως. εἰ μὲν οὖν τὴν προτέραν εὔκλειαν ἐνθυμηθέντες ἀντιστῆναι ἐθελήσετε πρὸς τὰ δεινά, καὶ μὴ ἐν ἀνδραπόδων μοίρᾳ καταπλαγέντες τὴν νίκην παρέχειν ἀναιμωτὶ τοῖς πολεμίοις, ἄριστα βουλεύσεσθε καὶ προσήκοντα ὑμῖν αὐτοῖς. εἰ δ' ἄρα τοσοῦτον ἥττησθε πρὸς τῶν οἰκείων τὴν συμπάθειαν, ὥσθ' ὑπὲρ ἐκείνων καὶ τὰ αἰσχρότατα καὶ ἀγεννέστατα ὑφίστασθαι, οὐ δέον οὕτως ἀμφιβόλους φέρεσθαι καὶ δεινὰ πάσχειν κλονουμένους, ἀλλὰ συνταξαμένους φανερῶς, ἐφ' ἃ προείλεσθε χωρεῖν. οὔτε γὰρ ἄκοντας εἱλκύσαμεν ἡμῖν δουλεύειν, οὔτε νῦν κωλύσομεν, εἰ μὴ ἑκόντες ὄντες αἱρεῖσθε τὴν μεθ' ἡμῶν διατριβήν, ἀλλὰ καὶ πρὸς ἀπιόντας τὴν ἴσην καὶ ὁμοίαν ὑμᾶς διατηρήσομεν φιλίαν. ὁρῶ γάρ, ὡς οὐ διὰ κακίαν, ἀλλ' ὑπὸ τῆς τῶν οἰκείων μαλακισθέντες μνήμης, καὶ ἃ μὴ οἴεσθε λυσιτελεῖν, πράττειν ἀναγκάζεσθε." τοιαῦτα εἰπόντος βασιλέως, καὶ αὐτοὶ πολλὰ ἑαυτοῖς καταμεμψάμενοι φανερῶς, ὡς διὰ τῶν οἰκείων τὴν συμπάθειαν δειλοῖς καὶ ἀγεννέσι παρ' ἀξίαν φαινομένοις, ἔπειτα καὶ σωτηρίαν ἐπευξάμενοι καὶ δεηθέντες μηκέτι μέλλειν, ἀλλὰ πρόνοιάν τινα ποιεῖσθαι ἑαυτοῦ, ὅποι ὁ θεὸς ἡγοῖτο, ἀνεχώρουν, προσαγορεύοντες καὶ ἀσπαζόμενοι τὸν βασιλέως πόδα. ἐκεῖνος δὲ μηκέτι ἀναμίγνυσθαι ἐκέλευε τοὺς ἀπιόντας τοῖς ὑπολειπομένοις, ἵνα μὴ ταραχὴ καὶ σύγχυσις ᾖ, ἀγνοουμένων τῶν μενόντων· ἀλλὰ τὸ ὑπ' αὐτὸν τάγμα ἀκέραιον διαμεῖναν, (οὐδεὶς γὰρ αὐτῶν ἐλειποτάκτησεν,) ἄπωθεν στὰν πρὸς ἐκεῖνο τοὺς μενοῦντας χωρεῖν. αὐτίκα τε οἱ μὲν ἐχώρουν πρὸς τὸ τάγμα· οἱ λοιποὶ δὲ παριόντες ἕκαστος καὶ προσαγορεύοντες βασιλέα, ἀπηλλάττοντο. ὁ δ' ὥσπερ οὐδενός τινος γινομένου καινοῦ, ἵστατο ἀντασπαζόμενος τοὺς παριόντας, οὐδὲ ἴχνος γοῦν τι λύπης ἢ ταρα-

---

[222] Евбея, остров в Егейско море.

желязна тояга, вие вместо такива веднага ставате плашливи, страхливи и несвободолюбиви и сте готови сами да се предадете доброволно на неприятелите, без те да са положили някакъв труд, за да ви победят. Защото не сме побеждавани в нито едно сражение с тях, нито работите ни са толкова безнадеждни, че да не знаем как да се спасим, освен ако сами се предадем на неприятелите. А аз както отначало, така и сега съм убеден напълно, че никога не ще ви изоставя, но или заедно с вас ще надвия неприятелите и ще споделя и славата, и изгодата от победата, или ако се случи да бъдем победени, ще падна в сражението, както подобава на свободни и храбри мъже. А ако вие, като си спомните предишната слава, пожелаете да се противопоставите на опасността, и не ще искате уплашени като роби да дадете безкръвна победа на неприятелите, то ще решите най-хубавото и най-подходящото за вас. А ако наистина толкова много ви е завладяла любовта към близките, че заради тях да се излагате на най-срамни и долни неща, не трябва да сте така нерешителни да страдате непоносимо, но като се наредите открито в боен ред, да потеглите, накъдето сте решили. Защото не ви докарахме насила да ни служите, нито сега ще ви попречим, ако не желаете доброволно да бъдете с нас, но ще запазим и към вас, които си отивате, една и съща обич. Аз наистина виждам, че не поради слабост, но наплашени от спомена за близките си се принуждавате да правите това, което вие не смятате, че е полезно." Императорът каза това и сами те открито се порицаха силно, понеже от слабост към близките си се показаха незаслужено страхливи и подли. После измолиха прошка и поискаха да не се бавят повече, но да се погрижат някак си, накъдето и бог да ги поведе. И те потеглиха, като се сбогуваха и целуваха крака на императора. А той заповяда отиващите си вече да не се смесват с оставащите, за да не настане смут и объркване, понеже не се знаеше кои остават. Той заповяда оставащите да отидат при неговия отряд, който беше непокътнат (защото никой от тях не беше дезертирал) и който се намираше недалеч. Веднага едните се отправиха към отряда, а останалите си отиваха, като минаваха край императора и се сбогуваха. А той стоеше и отвръщаше с поздрав на минаващите покрай него, като че ли нищо особено не се бе случило, без да се появи по лицето му никакъв признак на скръб или смущение. Отидоха си не само тия от χῆς φαίνων ἐν τῷ προσώπῳ. ἀπέστησαν δὲ οὐχ οἱ ἐκ Θεσσαλονίκης μόνον καὶ Βυζάντιοι καὶ ἄλλοι ὅσοι πόλεων ἑτέρων ἦσαν πολῖται, οἷς πρόφασις εὐπρεπὴς οἱ οἰκεῖοι ἦσαν, ἀλλὰ καὶ τῶν Διδυμότειχον οἰκούντων οὐ στρατιῶται μόνον, ἀλλὰ καὶ τῶν εὐγενῶν καὶ μάλιστα εὔνων δοκούντων βασιλεῖ πολλοί, οἷς καὶ Ἀπελμενὲ συνεξητάζετο πολλὰ τῆς βασιλέως εὐμενείας ἀπολελαυκὼς καὶ ἐκ μικροῦ καὶ τοῦ τυχόντος λαμπρὸς ἐς τὰ μάλιστα γεγενημένος καὶ περιφανής. ἔτι γὰρ μειράκιον ἐκεῖνον ὄντα ὁρῶν ὁ βασιλεὺς φύσεως πρὸς τὰ καλὰ ἐπιτηδείου τετυχηκότα καὶ δυνάμενον, εἰ ἄσκησιν προσλάβοι, ἄριστον παρέχειν πρὸς τὰ ἐπιτηδευόμενα ἑαυτὸν, ἐφιλονείκησε πρὸς πᾶσαν ἄριστον παιδείαν ἀποφαίνειν, καὶ πρός τε λόγους καὶ πρὸς τὰς στρατείας μάλιστα ἐξήσκησε. παρεχόμενος δὲ καὶ τὴν παρ' αὐτοῦ ῥοπὴν, οὐ πλούσιον μόνον, ἀλλὰ καὶ τῶν ἄλλων οἰκετῶν ὑπερέχοντα ἀπέφαινεν. ὁ δ' ἐν τοῖς ἄλλοις μὲν ἅπασιν ἄριστον παρεῖχεν ἑαυτὸν καὶ τῆς βασιλέως ἄξιον φιλοτιμίας· κόμπῳ δὲ φρονήματος οὐδέποτε τῆς ἀξίας ἀπολαύειν ᾤετο, ἀλλ' ὅσων ἂν τύχοι, τῶν προσηκόντων ἐνόμιζεν ἐλάσσω· ὅθεν καὶ ἀχάριστος ἐδείκνυτο πρὸς τὸν δεσπότην μεγάλων ἀξιοῦντα. ἐπεὶ δὲ καὶ ἐξ ἰδιώτου πρὸς βασιλέα μεταβάλλοι, πάντα εἶναι παρ' αὐτῷ ἠξίου, καὶ ἄρχειν τῆς στρατιᾶς καὶ πᾶσιν ἐπιτάττειν καὶ μείζοσι καὶ ἐλάττοσιν. ὧν μὴ τυγχάνων, ἐδυσχέραινεν οὐκ ἀνεκτῶς. βασιλεὺς γὰρ τοῖς μάλιστα προσήκουσι καθ' αἷμα καὶ τῶν ἄλλων τοῖς εὐγενεστέροις τὰς τοιαύτας ᾤετο ἀρχὰς προσήκειν. τότε δὲ ἐν Γυναικοκάστρῳ τῆς ἀποστασίας τῶν ἄλλων γινομένης, καὶ αὐτὸς μὲν ἐσκέψατο ἐκείνοις εἰς Βυζάντιον συναπελθεῖν, ὡς ἐκεῖθεν ὧν ἦν ἄξιος τευξόμενος. αἰσχυνόμενος δὲ ἐπὶ τοσούτοις ἀγαθοῖς ἀγνώμων φαίνεσθαι, κλέπτειν τὴν ἀποστασίαν ἐπεχείρει. εἰσελθὼν γὰρ εἰς Γυναικόκαστρον, τὴν ἐκεῖθεν ἀναχώρησιν βασιλέως περιέμενεν, ἵν' εὐπρόσωπος εἴη πρὸς τοὺς κατηγοροῦντας ὕστερον ἀπολογία, ὡς χρείας τινὸς ἕνεκα ὑπολειφθεὶς, ἀνάγκῃ τοῖς ἄλλοις συναπέλθοι, βασιλέως ἀναχωρήσαντος. οὗ τῆς διανοίας στοχασάμενος ὁ βασιλεὺς, οὐκ ἀνεχώρησεν ἐκεῖθεν, ἀλλὰ μετεκαλεῖτο πέμπων, ἄχρις οὗ φανερῶς ἀπείπατο.

(II, pp. 243_{12}—248_{8})

III, 41. Ἐπεὶ δὲ καὶ πρωτοστράτωρ ἧκε συνταξόμενος, πρῶτα μὲν ὠνείδιζε τῆς ἀνανδρίας καὶ τῆς εἰς αὐτὸν ἀγνωμοσύνης, ὅτι πρῶτος αὐτὸς πρὸς τὴν ἀποστασίαν χωρήσας, καὶ τοὺς ἄλλους ἐπεσπάσατο, μάλιστα δι' αὐτὸν θορυβηθέντας καὶ σφᾶς τε αὐτοὺς οὐδὲν ἄμεινον ἀνδραπόδων παρέδο-

Солун и от Византион и колкото имаше граждани от други градове, за които благовиден предлог бяха близките им, и не само войници от населението в Димотика, а и мнозина от благородните и най-вече тия, които изглеждаха, че са благоразположени към императора. Между тях се числеше и Апелмене, който бе използувал много императорското благоволение, който произхождаше от низините и от тълпата и бе станал много известен и прочут. Наистина императорът, виждайки го, че още докато беше момче, по природа е способен към хубави неща, че може, ако бъде обучен, да се прояви като най-добър в специалността си, постара се да го направи най-добър във всяка наука и най-много го обучи в красноречие и във военното изкуство. А той получи благоразположението на императора и стана не само богат, но и се издигна над другите служители. Той се показа във всяко отношение най-добър и достоен за милостта на императора. Наистина поради гордост смяташе, че никога не получава заслуженото, смяташе го за по-малко от това, което му се полага. И поради това се показа неблагодарен към господаря, който го облагодетелствува много. И когато премина от частния живот при императора, пожела всичко да бъде в негови ръце и да командува войската и да заповядва на всички, по-големи и по-малки. Понеже не постигаше това, негодуваше невъздържано. Защото императорът смяташе, че такива постове подхождат най-вече на близките по кръв и на по-знатните от останалите. А тогава, като стана отцепването на останалите в Гинекокастрон, и сам той намисли да отиде с другите във Византион, за да получи оттам това, за което бе достоен. Срамувайки се да се покаже неблагодарен за толкова добрини, той се опитваше да скрие отцепването си. Защото като влезе в Гинекокастрон, изчакваше оттеглянето на императора оттам, за да има по-късно благовидно оправдание срещу обвинителите си, че като бил останал поради някаква работа, отишъл по неволя с другите, понеже императорът се бил оттеглил. Императорът, понеже отгатна намеренията му, не се оттегли оттам, но изпращаше да го викат, докато той не се отказа открито.

III, 41. А когато и протостраторът пристигна, за да се сбогува, най-напред той го укори за нерешителността и вероломството спрямо него, понеже пръв се насочи към отцепване, и склони останалите, които се объркаха най-много заради него и се σαν τοῖς πολεμίοις, καὶ αὐτῷ, τότε εἰς αὐτοὺς ἧκον, μεγάλων αἴτιοι κατέστησαν δεινῶν. ἔπειτα δὲ παρείχετο συγγνώμην, ὅτι μὴ πρὸς τὴν φύσιν ἀντιστῆναι δυνηθείη. οὐ γὰρ τῶν πολλῶν καὶ εὐκαταφρονήτων εἶναι τὰ τοιαῦτα, ἀλλὰ τῶν ὀλίγων καὶ μεγάλα δυναμένων, οἳ καὶ διὰ ταῦτα μάλιστα θαυμάζονται, ὡς οὐ μόνον πρὸς πραγμάτων μεταβολὰς καὶ καιροῦ δυσκολίας ἀνθιστάμενοι γενναίως, ἀλλὰ καὶ φύσεως αὐτῆς φαίνεσθαι κρείττους ἀξιοῦντες. παραστησάμενος δὲ καὶ Ἀνδρόνικον Ἀσάνην τὸν γυναικὸς ἀδελφιδοῦν, ἔτι παιδίον ὄντα, ὃν ἔτι τοῦ πατρὸς Ἀσάνη Μανουὴλ ἐν Βήρᾳ φρουρουμένου ὑπὸ κλοιοῖς, παραλαβὼν αὐτὸς ἔτρεφέ τε καὶ παιδείας προσηκούσης ἠξίου τοῖς παισὶν ὁμοίως, „τοῦτον” ἔφη πρωτοστράτορι „τὸν νεανίσκον παραλαβών, τῆς σῆς ὄντα παῖδα θυγατρὸς, (οὐ γὰρ ἂν δύναιτο διὰ τὴν ἡλικίαν πρὸς πόνους ἀντέχειν καὶ ταλαιπωρίαν τῆς ἐκ τῆς στρατείας,) πάσης ἀξίου καὶ παιδείας καὶ προνοίας τῆς προσηκούσης. κἂν μὲν αὐτὸς ταχέως ἐπανέλθω πρὸς ὑμᾶς, (οἴομαι δὲ τῇ τε πανάγνῳ τοῦ θεοῦ μητρὶ πεποιθὼς καὶ τῷ μηδὲν ἐμαυτῷ συνειδέναι τῶν ἀτόπων εἰργασμένῳ, δι' ὃ δικαίως ἀπολοίμην ἄν, τάχιστά τε ἐπανήξειν καὶ δύναμιν μεγάλην περιβεβλημένος,) πάλιν ἀπολήψομαι τὸ μειράκιον. εἰ δ' ἕτερόν τι δέδοκται θεῷ περὶ ἡμῶν, ἀπόδος τῷ πατρὶ, ἐπεὶ μὴ ἡμῖν γε θεὸς τὰ περὶ αὐτοῦ ἐγνωσμένα ἄγειν ἐπέτρεψεν εἰς τέλος.” ἔπειτα καὶ πρωτοστράτορα προσαγορεύσας, ἀπέπεμπε μετὰ τῶν ἄλλων. αὐτὸς δὲ ὥσπερ ἐνδεικνύμενος τὴν μεγαλοψυχίαν καὶ τὸ μὴ δεῖν καταπίπτειν ἐν ταῖς δυσπραγίαις, ἄριστον ᾑρεῖτο ἐπ' αὐτοῦ τοῦ τόπου καὶ τοὺς ἄλλους τὰ ἴσα ἐκέλευε ποιεῖν. μετὰ δὲ τοῦτο τοὺς ἐν τέλει καὶ τὴν στρατιὰν περιστησάμενος, παρεκελεύετο τοιάδε. „ἄνδρες συστρατιῶται, τὰ μὲν παρόντα πράγματα ὡς πολλῆς δυσκολίας ἐμπέπλησται καὶ ταραχῆς, πᾶσιν ὑμῖν καθέστηκε καταφανές. αἵ τε γὰρ ἐλπίδες, ἃς οἴκοθεν ἔχοντες κεκινήμεθα, ἐξεῤῥυήκεσαν καὶ τῶν συστρατευομένων ἀπεβάλομεν πολλοὺς, οὐ μάχῃ κρατηθέντες, ἀλλ' ὑπ' αὐτῶν ἐκείνων προδοθέντες, οὓς ἠλπίζομεν ἄχρι παντὸς ἡμῖν συναγωνιεῖσθαι. ἐγὼ δὲ καὶ πρότερον μὲν οὐδέποτε δίκαιον εἶναι ἡγησάμην ὅπλοις καὶ ἵπποις καὶ πλήθει στρατιᾶς θαῤῥεῖν, ἀλλὰ τῇ πάντα συνεχούσῃ τοῦ θεοῦ ἀμάχῳ δεξιᾷ, ᾗ ῥᾴδιον καὶ τοὺς ὀλίγα δυναμένους τῶν πολεμίων κρείττους ἀποφαίνειν, καὶ τοὺς μέγα φρονοῦντας καταστέλλειν, ἂν τῷ περιόντι τῆς δυνάμεως ἐξάγωνται τοῦ μέτρου· μάλιστα δὲ νυνὶ, ἡνίκα πάσης ἄλλης ἐπινοίας περιαιρεθείσης, μό-

предадоха на неприятелите като същи роби, и станаха причина за големи беди спрямо него, а също и за себе си. А след това му прости, понеже не би могъл да отиде против природата си. Защото това качество било присъщо не на мнозина и на незначителни хора, но на малцина и на много силните, които и предизвикват учудване най-много поради това, че не само се противопоставят храбро на превратностите и на затрудненията, но и считат, че са по-силни от самата природа. А той взе при себе си и Андроник Асен[223], племенник на жена му, който беше още дете. Той го взе при себе си, издържаше го, понеже баща му Мануил Асен[224] още бе в затвора във Вира, и му даде подходящо възпитание, както на децата си. Той каза на протостратора: „Като вземеш този младеж, син на твоята дъщеря, дай му пълно възпитание и съответно образование (защото той не би могъл поради възрастта си да устои на трудностите и страданията от похода). А ако скоро се върна при вас (защото мисля, че бързо ще се върна, и то с голяма войска), тъй като се уповавам на пресветата божия майка и съм уверен в себе си, че не съм извършил нищо нередно, та заслужено да загина, пак ще взема момчето. А ако бог е отредил нещо друго за нас, върни го на баща му, понеже бог не ни е позволил да доведем докрай това, което възнамерявахме за него.“ След това той се сбогува с протостратора и го отпрати заедно с другите. А сам, за да покаже великодушието си и че не трябва да падат духом в трудни моменти, поиска да обядва на това място и заповяда останалите да направят същото. След това, заобиколен от знатните и войската, така ги ободряваше: „Другари по оръжие, на всички ви стана ясно, че сегашното положение е изпълнено с големи трудности и смут. Защото надеждите, с които тръгнахме от дома, изчезнаха и загубихме мнозина от тия, които воюват заедно с нас, надвити не в сражение, но предадени от тези, на които разчитахме, че ще воюват непрекъснато на наша страна. А аз и по-рано мислех, че никак не е редно да се доверяваме на оръжия, коне и на голяма войска, но на непобедимата, запазваща всичко, десница на бога, който полесно прави слабите по-силни от неприятелите и обуздава горделивите, ако излязат от кръга на възможностите си. А найνη καταλέλειπται ἡμῖν ἡ περὶ τὸν θεὸν ἐλπίς. καίτοι γε φαίη τις ἄν, ὡς οὐδὲ τῶν ἀνθρωπίνων οὐδενὸς ἠμελήσαμεν αὐτοί, ἀλλὰ πλήθει τε τῶν πολεμίων ὑπερέχουσαν οἴκοθεν ἔχοντες κεκινήμεθα στρατιὰν καὶ τοῖς ἄλλοις ἅπασι βελτίω, καὶ φοβεροί τινες ἄχρι νῦν καὶ ἄμαχοι τοῖς πολεμίοις ἐδοκοῦμεν, καὶ οὐδὲν οὐδέπω μέχρι νῦν ἐξ ἀβουλίας ἢ ἀπειρίας ἡμάρτηταί ἡμῖν. εἰ δ᾽ ἡμῶν τὰ δέοντα ποιούντων καὶ ὀρθοῖς χρωμένων λογισμοῖς, οἱ συστρατευόμενοι τῇ περὶ τοὺς οἰκείους συμπαθείᾳ καταμαλακισθέντες, ἀγεννῶς καὶ ἀνελευθέρως προσεχώρησαν τοῖς πολεμίοις, οὐ χρὴ τὴν ἐκείνων κακίαν τῇ ἡμῶν εὐψυχίᾳ καὶ τόλμῃ καὶ καρτερίᾳ περὶ τὰ δεινὰ λυμαίνεσθαι. ἐκεῖνοι μὲν γὰρ πρὸς οἷς ὑποστήσονται κακοῖς περιορώμενοι καὶ προπηλακιζόμενοι καὶ πάντα ὑπομένοντες, ὅσα τοὺς ὅπλα παραδεδωκότας δίκαιον, ἔτι καὶ ἡμῖν ὀλίγῳ ὕστερον οὐ φαύλην δώσουσι τὴν δίκην, αἰσχυνόμενοι τῆς προδοσίας ἕνεκα καὶ τῆς φαυλότητος τῶν τρόπων. ὑμεῖς δὲ νῦν τε ἀνδρείας καὶ καρτερίας δόξαν ἠνέγκασθε καὶ παρ᾽ αὐτοῖς τοῖς πολεμίοις, καὶ ὀλίγῳ ὕστερον οὐκ ἐγὼ μόνον ἀμείψομαι ταῖς προσηκούσαις εὐεργεσίαις, ἀλλὰ καὶ πᾶσιν ἔσεσθε περίβλεπτοι καὶ θαυμαστοί, ὅτι ἐν καιροῖς μάλιστα δυναμένοις βασανίζειν γνώμας ἀνδρῶν, τὴν προσήκουσαν ἐπεδείξασθε καὶ μεγαλοψυχίαν καὶ ἀνδρίαν. οὐ δὴ διὰ τὴν ἐκείνων ἀβουλίαν καταπίπτειν ὑμᾶς δίκαιον, οὐδ᾽ ὅτι δυσπραγίαις κεχρήμεθα σκοπεῖν, ἀλλ᾽ εἰ μηδὲν αὐτοὶ δι᾽ ἀτολμίαν πρὸς τὸ ἥττους φαίνεσθαι συνεισηνέγκαμεν τῶν πολεμίων. εἰ δ᾽ ὅτι κακῶς τινὰ πεπράχαμεν προσίσταται ὑμῖν, ἀλλ᾽ ἐκεῖνο χρὴ σκοπεῖν, ὡς οὐδ᾽ οἱ πάλαι Ῥωμαῖοι, περὶ ὧν μεγάλα ᾄδεται καὶ θαυμαστά, ἀήττητοι παντάπασι διαμεμενήκασιν, ἀλλ᾽ ἐν πολλοῖς πολλάκις σφαλέντες καὶ ὁλόκληρα στρατόπεδα μετὰ τῶν στρατηγῶν ἀποβαλόντες, ἀνδρίᾳ καὶ τλημοσύνῃ τῇ περὶ τὰ ἔργα αὖθις ἀνεμαχέσαντο τὴν ἧτταν, οὐ μᾶλλον καταπτήξαντες, ἢ ὀργῇ τῇ πρὸς τοὺς πολεμίους σφοδρότερον ἁψάμενοι μετὰ ταῦτα τοῦ πολέμου. ὧν ἀπόγονοι καὶ ἡμεῖς ἀξιοῦντες εἶναι, μιμώμεθα τὰς ἀρετὰς καὶ νῦν μὲν ἡγώμεθα τύχαις ἀνθρωπίναις χρησάμενοι δυσπραγεῖν, μικρῷ δὲ ὕστερον πρὸς τὴν προτέραν αὖθις ἀφίξεσθαι εὐδαιμονίαν. καὶ γὰρ καὶ τῶν πρὸ ἡμῶν βασιλέων οὐκ ὀλίγοι, οἱ μὲν βαρβάροις πολεμοῦντες αἰχμάλωτοι γεγόνασι νικηθέντες, οἱ δὲ καὶ ὑπὸ πολέμων ἐμφυλίων ἐπιβουλευθέντες, ἐξεκρούσθησαν τῆς ἀρχῆς. ἀλλ᾽ αὖθις ἑκάτεροι τὴν σωτηρίαν οὐκ ἀπογνόν-

---

[223] Андроник Асен бил племенник на Ирина, съпруга на Йоан Кантакузин. [224] Мануил Асен бил брат на Ирина, съпруга на Йоан Кантакузин. Той бил върховен военачалник на осемхиляден отряд от войници-стрелци, разположени в околностите на Димотика. Този отряд бил разделен на осем отряда, като начело на всеки отряд стоял отделен военачалник. Вж. Cantacuzenus, op. cit., II, p. 195, 13—17.

вече сега, когато ни е останала само надеждата в бога, тъй като всяка друга надежда е загубена. Все пак някой би казал, че ние не сме пренебрегнали нищо човешко, но че сме потеглили от дома с по-голяма войска от неприятелската и по-добра с всичко друго и че досега изглеждахме за неприятелите страшни и непобедими, и че ние не сме сгрешили никога нищо досега поради безразсъдност или неопитност. Нашите сратници, размекнали се от слабост към близките, минаха на страната на неприятелите страхливо и нерешително, въпреки че ние вършехме, което трябва, и мислехме правилно, и все пак тяхната страхливост не трябва да позори нашата решителност, смелост и твърдост в нещастието. Защото те, пренебрегвани, презирани и изтърпяващи всичко, което е справедливо да понесат тия, които са предали оръжието си, освен злините, които ще понесат, малко по-късно ще дадат и на нас справедливо удовлетворение, срамувайки се заради предателството и погрешните си стъпки. А сега вие спечелихте и сред самите неприятели слава на храбри и твърди мъже и аз малко по-късно не само ще се отплатя със съответните благодеяния, но и ще станете знатни и прочути за всички, понеже показахте подобаващо мъжество и храброст във времена, които най-много могат да изпитат духа на мъжете. Не е справедливо да се отчайвате заради тяхната глупост, нито да обръщате внимание на това, че ние претърпяхме несполука, но дали поради малодушие ние не сме допринесли нещо да изглеждаме по-слаби от неприятелите. А ако сега ви е тежко, понеже претърпяхме неуспех, то трябва да се има пред вид това, че и някогашните римляни, за които се говорят много и чудни работи, невинаги са били непобедими, но често в много случаи, като са губели и изоставяли целия лагер с военачалниците, отново с храброст и търпение във военните действия са поправяли поражението не само без да се смутят, но като започвали след това войната по-дръзко срещу неприятелите. И ние, като считаме, че сме техни потомци, нека подражаваме на техните добродетели и сега да смятаме, че сме нещастни поради човешка съдба и че малко по-късно отново ще постигнем предишното щастие. И наистина и не малцина от предишните ни императори, едни като воюваха с варварите, биваха победени и падаха в плен, а други ставаха обект на заговор поради граждански войни и биваха прогонвани от властта. Но и едните, и другите не се отчайваха за τες, τῆς τε ἀρχῆς ἐπέτυχον καὶ τοὺς πολεμίους πλείω, ἢ αὐτοὶ πεπόνθασι, προσειργάσαντο κακά. εἰ δὲ καὶ πρὸς θειότερά τινα παραδείγματα ἀνάγεσθαι δεήσει, τὸν Ἰωσὴφ ἐννοήσωμεν καὶ τὴν πικρὰν ἐκείνην δουλείαν καὶ τὴν χρόνιον κάθειρξιν καὶ τὸν ἄλλον φορυτὸν τῶν ἀλγεινῶν καὶ ὡς μετὰ ταῦτα πάντα ἀντὶ δούλου καὶ δεσμώτου βασιλεὺς ἀνεδείκνυτο Αἰγύπτου. καὶ Δαβὶδ τὸν βασιλέα μετὰ τὴν πλάνην τὴν μακρὰν καὶ τὸ μυρία ὑπὸ τοῦ εὐεργετηθέντος βασιλέως ὑποστῆναι τὰ δεινά, ὕστερον εἰς τὴν οἰκείαν ἀνασωθέντα καὶ βεβαίως βασιλεύσαντα τῶν ὁμοφύλων. ἃ πάντα χρὴ ἐνθυμουμένους μὴ ἀθυμεῖν, ἀλλὰ μᾶλλον τὰ χρηστότερα ἐλπίζειν· βουλεύεσθαι δὲ καὶ ἃ χρὴ πράττοντας νυνὶ, μὴ τοῦ προσήκοντος διαμαρτάνειν. ὁρᾶτε γὰρ, ὡς περὶ γῆν ἀπολελείμμεθα πολεμίαν, ἣ τό,τε προσεδρεύειν οὐκ ἀσφαλὲς, πολεμίων πάντοθεν ἐπικειμένων, καὶ τὸ εἰς τὴν οἰκείαν ἀναστρέψειν καὶ ἐγκλεισαμένους πολιορκεῖσθαι, οὐχ ἀγεννὲς καὶ ἄτιμον μόνον, ἀλλὰ καὶ κινδύνου ὑποψίαν οὐ παρέχεται μικρὰν, εἰ δεήσει τοσούτους ἐνδείᾳ πιεσθέντας ἀνάξια τῆς προτέρας δόξης ἀναγκασθήσεσθαι ποιεῖν. Μελενίκος γὰρ οὐχ ὅτι γε ἡμᾶς, ἀλλ' οὐδὲ τοὺς οἰκοῦντας τρέφειν δύναται ἀνενδεῶς. οὗ δὴ ἕνεκα αὐτός τε πρότερον ἐμαυτὸν πέπεικα καὶ ὑμῖν συμβουλεύω νῦν, πρὸς τὸν Τριβαλῶν ἄρχοντα ἐλθεῖν, πάλαι τε φιλίως διακείμενον ἐμοὶ καὶ νῦν ὀλίγῳ πρότερον σπονδὰς καὶ συμμαχίαν πεποιημένον. οὗ χρησάμενοι τῇ δυνάμει, πρός τε Διδυμότειχον ἐπανήξομεν ταχέως καὶ πρὸς τὰ ἄλλα τοῦ πολέμου οὐ μέτριά τινα ὠφελοῦσαν ἕξομεν τὴν ἐκείνου συμμαχίαν. ἐμοὶ μὲν οὖν τοιαῦτα ἔδοξε λυσιτελεῖν ἐν τῷ παρόντι. εἰ δέ τινα βελτίω γνώμην ἑτέραν ἔχει τις εἰσενεγκεῖν, αὐτός τε πεισθήσομαι ἡδέως καὶ τοῖς ἄλλοις συμβουλεύσω." ὁ μὲν οὖν βασιλεὺς τοιαῦτα εἶπεν. ἡ στρατιὰ δὲ ἅμα τοῖς ἡγεμόσι περὶ δισχιλίους ὄντες, „οὔτε παραινέσεων" εἶπον „χρεία πρὸς ἡμᾶς, ὦ βασιλεῦ, οὔτε βουλευμάτων· ἀλλ' ἃ θεῷ τε καὶ σοὶ δοκεῖ πάντα πράττειν καὶ ὑφίστασθαι παρεσκευάσμεθα. ὡς οὖν οὕτω παρεσκευασμένοις, αὐτὸς ὅποι δοκεῖ βέλτιον ἡγοῦ." πρὸς οὖν τὴν τοιαύτην βραχυλογίαν καὶ ὁ βασιλεὺς ἡσθεὶς, ἐκέλευε τῇ σάλπιγγι τὴν ἀναχώρησιν σημαίνειν καὶ συνταξάμενοι ἐχώρουν. Ἀπόκαυκος δὲ ὁ μέγας δοὺξ ἐν Θεσσαλονίκῃ τὴν ἐσομένην ταραχὴν περὶ τὴν βασιλέως στρατιὰν εἰδὼς, (οἱ γὰρ διαλεγόμενοι κρύφα πρὸς τὸ

спасението си, а отново завземаха властта и причиняваха на неприятелите много повече злини, отколкото сами бяха претърпели. И ако трябва да се насочим към поблагочестив пример, ще посочим Йосиф[225] и онова горчиво робство, и дългия затвор, и цялата съвкупност от страдания и как след всичко това вместо роб и затворник бе провъзгласен за цар на Египет. И че цар Давид[226], след като скитал дълго време и след като изтърпял многобройни страдания от царя, комуто бил направил добрини, най-после се върнал у дома си и здраво царувал над сънародниците си. Като обмислим всичко това, не трябва да се отчайваме, но по-скоро да се надяваме на нещо по-добро. А трябва да обмислим да не се отклоним от правия път, като вършим това, което трябва. Защото виждате, че сме останали като в неприятелска страна, в която не седим сигурно, понеже отвсякъде напират неприятели, обаче да се върнем у дома си и там затворени да бъдем обсаждани, е не само малодушно и безчестно, но и дава основание да се подозира голяма опасност, ако трябва толкова много хора, притиснати от нуждата, да бъдем принудени да извършим дела, недостойни за предишната ни слава. Защото Мелник не може да изхрани спокойно не само нас, но и обитателите си. Поради това сам порано се убедих и сега ви съветвам да отидем при владетеля на трибалите, който отдавна е разположен приятелски към мен и сега неотдавна сключи съюзен договор. Като си послужим с неговата войска, бързо ще се върнем в Димотика и освен това ние ще имаме неговия съюз, който ще ни донесе немалка полза във войната. Мен ми се стори, че това е полезно в настоящия момент. А ако някой може да даде друг някакъв по-добър съвет, аз ще се подчиня на драго сърце и ще посъветвам и другите." Това каза императорът. А войската заедно с военачалниците, които бяха около две хиляди, казаха: „Царю, не са ни нужни нито увещания, нито съвети. Готови сме да се подчиним и да направим всичко, което е угодно богу и на теб. И ти ни води така, както сме се приготвили, където смяташ, че е по-добре." И императорът, радостен от такъв кратък отговор, заповяда да дадат знак с тръбата за отстъпление и отстъпиха в ред. А великият дук Апокавк в Солун, като разбра, че ще настане объркване в императорската войска, защото тия, които разговаряха тайно за помирението διαλύεσθαι ἐμήνυον,) ὥσπερ ἀναθαρσήσας καί τι κατὰ βασιλέως δυνήσεσθαι ἐλπίσας διὰ τὴν προδοσίαν τῶν συνόντων, τοὺς ὁπλίτας ὅσοι ἦσαν καὶ ψιλοὺς τοξότας τῶν τριηρέων ἐξαγαγὼν καὶ ἐκ Θεσσαλονίκης ὅσους μάλιστα ἐνῆν ἱππέας τε καὶ ὁπλίτας καὶ ψιλούς, καὶ Συργήν, ὃς καὶ μετὰ μικρὸν ῥὴξ ἀνεδείκνυτο Ἀρμενίας, καὶ τὸν Μονομάχον ἔπαρχον, ἔχοντας, οὓς αὐτοὶ ἐκ Φερῶν ἧκον ἄγοντες, ἔτι δὲ καὶ τὴν ἐκ Βυζαντίου καὶ Θρᾴκης στρατιὰν ἅμα τοῖς στρατηγοῖς Θωμᾷ καὶ Ἀνδρονίκῳ τοῖς Παλαιολόγοις παραλαβών, εὐθὺ Γυναικοκάστρου κατὰ βασιλέως ἐχώρει. οἱ δὲ ἐπεὶ ἦσαν ἐγγύς, πρωτοστράτορι καὶ τῇ συναποστάσῃ βασιλέως ἄλλῃ στρατιᾷ περιτυχόντες καὶ πολλαπλάσιοι γενόμενοι τῶν συνόντων βασιλεῖ, ἤλαυνον ἐπ' ἐκεῖνον. οὐ μέντοι ἦσαν παρεσκευασμένοι ὡς μαχούμενοι. ᾔδεσαν γὰρ ἐκείνους τόλμῃ καὶ ἀνδρείᾳ καὶ τῇ περὶ τὰ πολέμια ἐμπειρίᾳ μᾶλλον ὑπερέχοντας αὐτῶν, ἢ ὅσον ἐκείνων αὐτοὶ τῷ πλήθει· καὶ διὰ τοῦτο συμπλέκεσθαι μὲν ἐκ παρατάξεως οὐκ ἐδοκίμαζον. πόῤῥωθεν δὲ ἐθορύβουν καὶ βοαῖς ἐχρῶντο καὶ ἀλαλαγμοῖς, οἰόμενοι τὴν τάξιν οὕτω διαλύσειν καὶ τρέψεσθαι πρὸς φυγήν, τεταραγμένους ὑπὸ διχοστασίας. βασιλεὺς δὲ ὁ Καντακουζηνὸς οὐδ' αὐτὸς μὲν ᾤετο δεῖν συμπλέκεσθαι, εἰ μὴ παρ' ἐκείνων ἀναγκάζοιτο. πρὸς ἔθος δὲ τὴν πᾶσαν στρατιὰν συντάξας καὶ ἡγεμόνα τοῦ παντὸς Ἄγγελον τὸν πιγκέρνην ἐπιστήσας, αὐτὸς τὴν οὐραγίαν ἔχων μετὰ τῶν ἀρίστων, ἐκέλευε βαδίζειν τεταγμένους, μήτε θορυβοῦντας, μήτε πρὸς τοὺς κατόπιν ἐπιόντας ἐπιστρεφομένους, ὡς αὐτοῦ ἀμυνουμένου, ἄν τινες ἐπίωσιν. οἱ δὲ ἐπ' ὀλίγον ἀκολουθήσαντες, ἐπεὶ ἑώρων τεταγμένως ἀπιόντας καὶ δήλους ὄντας, ὡς ἀμυνοῦνται, ἂν ἐπίῃ τις αὐτοῖς, ἀπογνόντες τὴν ἐλπίδα τοῦ περιγενήσεσθαι, ἀνέστρεφον εἰς Θεσσαλονίκην, χαίροντες ὁμοῦ καὶ παιανίζοντες, ἀρκοῦσαν ἡγούμενοι τὴν νίκην, ὅτι τῆς Ῥωμαίων γῆς βασιλέα ἐξελάσαι ἠδυνήθησαν. ἐπεὶ δὲ οἱ βασιλέως ἀποστάντες ὤφθησαν Ἀποκαύκῳ τῷ μεγάλῳ δουκί, ὀλίγοις μὲν πολλὴν ἐπεδείκνυτο φιλοφροσύνην καὶ ἐν τοῖς μάλιστα τῶν φίλων ἦγε, τῶν δὲ ἄλλων τοὺς μὲν ἄκροις χείλεσι μόνον προσηγόρευε, τοῖς ἄλλοις δὲ προσεφέρετο εἰρωνικῶς· ἔστι δὲ οἷς καὶ ὠνείδιζε τὴν μετὰ Καντακουζηνοῦ τοῦ βασιλέως ἀποστασίαν. δῆλος δὲ ἦν πᾶσιν ἐμπικραινόμενος καὶ κακῶς ποιήσων, ἂν λάβηταί τινος προφάσεως εὐλόγου.

---

[225] Йосиф, библейско лице. [226] Цар Давид, библейско лице.

(II. pp. 248_9—255_{12})

му, съобщиха това, някак се одързости и като се надяваше, че ще може да постигне нещо срещу императора поради предателството на съмишлениците му, изведе от корабите, колкото имаше тежковъоръжени войници и стрелци, а също така и от Солун, колкото имаше конници и тежко- и лековъоръжени войници. Той взе и Сирги, който малко по-късно бе провъзгласен за цар на Армения, и епарха Мономах[227] с тия, които сами бяха довели от Фере, а освен това още и войската от Византион и Тракия заедно с началниците Тома и Андроник Палеолози, и веднага потегли срещу императора в Гинекокастрон. А когато се приближиха и се натъкнаха на протостратора и на останалата войска, която бе изменила на императора, и станаха много повече от съмишлениците на императора, връхлетяха върху него. Наистина те не бяха готови, за да се сражават. Защото знаеха, че по храброст, мъжество и военен опит онези ги превъзхождат повече, както те тях по брой. И поради това не се осмеляваха да се сразят в редовно сражение. Отдалеч вдигаха шум и си служеха с крясъци и викове, смятайки, че така ще разстроят бойния ред и смутени и колебаещи се, ще ги обърнат в бягство. А император Кантакузин и сам смяташе, че не трябва да влиза в бой, ако не бъде принуден от тях. Той нареди цялата войска по обичая и ѝ постави за началник пинкерна Ангел, а сам с ариергарда от най-добрите заповяда да потеглят в строй, без да шумят и без да се обръщат към настъпващите отзад, понеже сам ще се брани, ако някои го нападнат. А те, като ги следваха отблизо, когато ги видяха да си отиват в боен ред и даваха вид, че ще се бранят, ако някой ги нападне, загубиха надежда, че ще ги надвият, върнаха се в Солун с радост и песни, смятайки победата за задоволителна, понеже можаха да изгонят императора от земята на ромеите. А когато отцепилите се от императора се явиха при великия дук Апокавк, към някои прояви голяма любезност и ги постави в числото на най-близките си приятели, а от останалите едни поздрави с половин уста, а към другите се отнесе иронично. А имаше такива, които порица заради отцепването им заедно с Кантакузин. На всички бе ясно, че е сърдит и ще постъпи зле с тях, ако би се явил някакъв благовиден предлог.

---

[227] Епархът Мономах бил управител на Солун. Вж. Острогорски, пос. съч., с. 472.

33. *Crales Serbiae Edessam obsidet*

III, 42. *Πυθόμενος δὲ καὶ περὶ Ἐδεσσηνῶν, ὅτι ὑπὸ Τριβαλῶν πολιορκοῦνται χρόνον ἤδη συχνὸν, τοὺς ἱππέας ὅσοι ἦσαν ἅμα τοῖς στρατηγοῖς Παλαιολόγοις τοῖς δυσὶν ἐκέλευε συμπλέκεσθαι τοῖς Τριβαλοῖς καὶ τῆς πολιορκίας Ἐδεσσηνοὺς ἐλευθεροῦν. ἡ μὲν οὖν στρατιὰ κατὰ τὸ ἐπίταγμα ἧκον ὡς μαχούμενοι. Τριβαλοὶ δὲ μέχρι μὲν ἀκροβολισμῶν ἐνέμειναν τῷ στρατοπέδῳ, οἰόμενοι Ῥωμαίους οὐ δυνήσεσθαι αὐτοὺς τῆς πολιορκίας ἀναστήσειν. ὡς δὲ ἑώρων πλείους τε ὄντας καὶ προθύμους μάχεσθαι, δείσαντες, μὴ ὑπὸ φιλονεικίας ἀπόλωνται πλείοσιν ὁμοῦ καὶ βελτίοσι μαχόμενοι, συνταξάμενοι ἀνεχώρουν, τὸ στρατόπεδον καταλιπόντες, ὀλίγους στρατιώτας ἐν τοῖς ἀκροβολισμοῖς ἀποβαλόντες. Ῥωμαῖοι δὲ τὸ στρατόπεδον ἐπόρθησαν τῶν πολεμίων, καὶ ἵππων τε ἐκράτησαν οὐκ ὀλίγων καὶ τῆς ἄλλης ἀποσκευῆς τῆς στρατιᾶς. ἐλευθερώσαντες δὲ καὶ τῆς πολιορκίας τοὺς ἐν Ἐδέσσῃ, αὖθις ἀνεχώρουν εἰς Θεσσαλονίκην. ἐν ᾧ δὲ τὰ τοιαῦτα ἐτελεῖτο, καὶ τῶν νομάδων Τριβαλῶν τις περὶ Πρόσοικον οἰκῶν ἐν κώμῃ τοῦ Δαβὶδ προσαγορευομένῃ, Τζιμπάνος ὄνομα, τὰ περὶ Καντακουζηνὸν τὸν βασιλέα ἐν Γυναικοκάστρῳ συμβάντα πεπυσμένος, ἐπεὶ παρ' αὐτῷ οἱ πρέσβεις ἐξενίζοντο, οὓς πρότερον ἔπεμψε πρὸς Κράλην κελεύων ἐμμένειν ταῖς σπονδαῖς ταῖς πρὸς αὐτὸν, οἳ Κωνσταντῖνός τε ἦσαν ὁ Παλαιολόγος, τὴν ἀξίαν πρωτοσεβαστὸς, καὶ Ἀρσένιος ὁ Τζαμπλάκων· περὶ τούτους δὴ ὁ Τζιμπάνος βαρβαρικῶς διατεθεὶς, καὶ ἵππων τῶν ἀγόντων ἐπιθυμήσας καὶ τῆς ἄλλης ἀποσκευῆς οὔσης οὐκ ὀλίγης, ἅμα ἐκείνοις καὶ τέκνα καὶ γυναῖκα καὶ βοσκήματα, ἃ ἦν αὐτῷ περιουσία, παραλαβὼν, ηὐτομόλησε πρὸς μέγαν δοῦκα ἐν Θεσσαλονίκῃ καὶ τοὺς βασιλέως πρεσβευτὰς ὥσπερ τι δῶρον προσῆγαγε δεσμώτας. ὁ δὲ ἄγαν ὑπερησθεὶς, τὸν μὲν βάρβαρον ἠμείβετο φιλοτίμως, οἰκιῶν αὐτίκα καὶ κτήσεων μεγάλων, αἳ Τζαμπλάκωνι ἦσαν ἐν Θεσσαλονίκῃ, κύριον ἀποδείξας. εἰς τοὺς δεσμώτας δὲ πρότερον αὐτὸς δι' ἑαυτοῦ πολλὰ ἐνυβρίσας καὶ πᾶσαν ἐπιδειξάμενος πικρίαν, πρωτοσεβαστὸν μὲν ἐκέλευεν εἰς δεσμωτήριον ἀπάγειν, Τζαμπλάκωνα δὲ τοῖς τριηράρχαις παρεδίδου, ὡς ἅμα τοῖς ναύταις ἀτάκτως ἐνυβρίσουσιν. οἱ δὲ ἐπὶ μίαν τῶν τριηρέων ἀναγαγόντες, καὶ τοῦ δήμου σχεδὸν τῶν Θεσσαλονικέων παντὸς παρόντος, τὰ μοναχῶν, ὥσπερ εἰώθεν, ἠμφιεσμένον, ἐπέθηκαν τῇ κεφαλῇ πῖλόν τι, ὃ τοῖς πολλοῖς καὶ δημώδεσι τῶν Περσῶν ἐπὶ τῆς κεφαλῆς φορεῖν ἔθος,*

33. *Сръбският крал обсажда Едеса*

III, 42. А като научи,[228] че жителите на Едеса вече дълго време се обсаждат от трибалите, заповяда на двамата Палеолози стратези да влязат в бой с трибалите, с колкото конници разполагаха, и да освободят едесчани от обсадата. Наистина войската пристигна според заповедта, за да се срази. Трибалите останаха в лагера, докато започне стрелбата със стрели, като смятаха, че ромеите не ще могат да ги прогонят от обсадата. А когато видяха, че те са повече и са готови да се сражават, уплашиха се да не погинат от честолюбието си, като се сражават едновременно с повече и с по-добри. Те отстъпиха в ред, изоставяйки лагера, като загубиха малко войници при престрелката със стрели. Ромеите плячкосаха лагера на неприятелите и плениха немалко коне и останалия обоз на войската. Като освободиха жителите на Едеса от обсадата, отново се оттеглиха към Солун. А междувременно, когато ставаше това, един от номадите трибали, който живеел около Просек в село, наречено Давидово, на име Чимпан, узнал за случилото се с императора Кантакузин в Гинекокастрон. Тъй като при него гостуваха пратениците, които преди това Кантакузин бил изпратил при краля със заповед да настояват да се запази договорът с него, а именно Константин Палеолог, по чин протосеваст, и Арсений Цамплакон, Чимпан се отнесъл грубо с тях и като хвърлил око на конете им и на останалото снаряжение, което не било малко, взел заедно с тях и децата, и жена си и добитъка си, което бе цялото му имущество, и избягал при великия дук в Солун, довеждайки пратениците на императора вързани като някакъв дар. А този се зарадвал много, отплатил се щедро на варварина, като го направил веднага господар на къщи и големи имоти, които Цамплакон притежавал в Солун. А сам преди това на своя глава се отнесе много позорно с вързаните пленници и като изля цялата си злъч, заповяда да отведат протосеваста в затвора, а Цамплакон предаде на началниците на флотата, които заедно с моряците да го изтормозят до крайна степен. А те го заведоха на една от триерите и в присъствието почти на целия народ на Солун, облечен в монашеско облекло, както бил обичаят, му поставиха на главата някаква шапка, която имали обичай да носят мнозина от обикновените хора сред персите.

---

[228] Има се пред вид великият дук Апокавк.

λαμπάδας τε ἡμμένας ἀμφοτέραις κατέχειν ἀναγκάζοντες ταῖς χερσὶν, ὄπισθεν μὲν ἐλάκτιζον ἐπὶ τὸν πρωκτόν· εἶτα παριόντες, ἔμπροσθεν ἠσπάζοντο, „οὗτος" ἐπιβοῶντες „ὁ πατριάρχης Καντακουζηνοῦ." μετὰ δὲ τὴν πολλὴν ἐκείνην ἐρεσχελίαν καὶ τὸν θρίαμβον τὸν ἄτιμον, ἐκέλευε καὶ αὐτὸν εἰς δεσμωτήριον ἀπάγειν. μετὰ δὲ τοῦτο τὰ ἐν Θεσσαλονίκῃ πράγματα ὡς ἂν αὐτῷ ἐδόκει ἄριστα, οἰκονομήσας καὶ πρὸς τὸν πρὸς βασιλέα πόλεμον πάντας παραθήξας, αὐτὸς μὲν ἐκ θαλάσσης, ἡ ἵππος δὲ ἐκ τῆς ἠπείρου εἰς Βυζάντιον ἀνέστρεφε. βασιλεὺς δὲ ὁ Καντακουζηνὸς μετὰ τὸ τὴν ἐκ Βυζαντίου καὶ Θεσσαλονίκης στρατιὰν αὐτοῦ ἀναχωρῆσαι πρὸς τὴν μάχην ἀπειποῦσαν, τὸ ἐπίλοιπον ὁδεύσας τῆς ἡμέρας, παρὰ τῶν Προσοίκου στενῶν τὴν εἰσβολὴν ηὐλίσατο τὴν νύκτα. ὁ δὲ Πρόσοικος οὗτος φρούριόν ἐστι καρτερώτατον ἐπὶ λόφου ἱδρυμένον, ὃ πάλαι μὲν ὑπὸ τὴν Ῥωμαίων ἡγεμονίαν διετέλει, κατὰ δὲ τὸν βασιλέων Ἀνδρονίκων πρὸς ἀλλήλους πόλεμον πρὸς τὸν ἄρχοντα τῶν Τριβαλῶν ὑπὸ τῶν κατεχόντων ἑκόντων παρεδόθη μίσει τῷ πρὸς τὸν νέον βασιλέα. τότε δὲ ὑπὸ Μιχαὴλ τινος, τοῦ Τριβαλῶν ἄρχοντος παραδόντος, ἐκρατεῖτο. ὃς δὴ Μιχαὴλ, τῶν βασιλέως οἰκείων, ὡς ὕστερον αὐτὸς ἔφασκεν, ὢν, πρὸς Κράλην αὐτομολήσειεν ἔκ τινος αἰτίας. τότε δὴ τὴν στρατιὰν ἰδὼν ἐστρατοπεδευμένην καὶ νομίσας ἐκ Ῥωμαίων οὖσαν ἐπὶ λείαν ἥκειν, πεζούς τε καὶ ἱππέας ὅσους μάλιστα ἠδύνατο ἀθροίσας, τῆς νυκτὸς προκατέλαβε τὰ στενὰ καὶ ἅμα πρωῒ παρεσκευάζετο πρὸς μάχην, ὡς τὴν δίοδον τῇ στρατιᾷ οὐκ ἐπιτρέψων. βασιλεύς τε ὁμοίως, ἐπεὶ ἐκείνους εἶδε περὶ τὰ καρτερώτατα τοῦ χωρίου ἐγκαθιδρυμένους, τὴν στρατιὰν ἐκέλευεν ὁπλίζεσθαι ὡς βιασόμενος· πρὸς ἕτερόν τι γὰρ τρέπεσθαι βέλτιον οὐκ ἐνῆν. Μιχαὴλ δὲ τήν τε στρατιὰν ἐθέλων ὅθεν εἴη μαθεῖν καὶ τὸν ἄγοντα στρατηγὸν, πλησίον τε γενόμενος τοῦ στρατοπέδου καί τινας τῶν συνήθων καὶ φίλων πόῤῥωθεν ἰδὼν, ἐκάλει τε αὐτοὺς ὀνομαστὶ καὶ ἐπυνθάνετο περὶ τοῦ στρατηγοῦ. ἐκείνων δὲ ἀπαγγειλάντων, ὡς εἴη βασιλεὺς ὁ Καντακουζηνὸς, μηδὲν μελλήσας προσήει τε αὐτίκα καὶ ἠσπάζετο τὸν πόδα. ἔπειτα καὶ ἑαυτὸν ἀναγνωρίσας, συνήλγησέ τε πρὸς τὴν δυσπραγίαν βασιλεῖ καὶ περὶ τὰ ἄλλα προθυμότατον ἑαυτὸν παρέσχετο, χάριν τῷ θεῷ πολλὴν ὁμολογῶν, ὅτι πρὸς τοῦτο καιροῦ συντύχοι, ἐν ᾧ τὴν εὔνοιαν ἕξεσται τὴν πρὸς ἐκεῖνον φανερὰν ποιεῖν. τήν τε οὖν δίοδον εὐθὺς ἀπονητὶ παρείχετο καὶ ἐξένιζεν ἐκ τῶν ἐνόντων τὴν στρατιάν. τὴν μὲν οὖν ἡμέραν ἐκείνην ἐν Προσοίκῳ διετέλεσεν ὁ βασιλεὺς ξενιζόμενος ὑπὸ Μιχαὴλ, ἅμα

Те го накарали да държи в двете си ръце запалени факли и го ритаха отзад. След това, като минаваха покрай него, поздравяваха го отпред, като крещяха: „Този е патриархът на Кантакузин." А след тази голяма подигравка и позорно шествие заповяда да го отведат и него в затвора. След това сметна, че работите му в Солун вървят според волята му, и като организира и подтикна всички на война срещу императора, върнаха се във Византион — той по море, а конницата по суша. А императорът Кантакузин, след като войската му от Солун и Византион се оттегли, отказвайки да се бие, през останалата част от деня премина в пътуване и после се разположи да нощува при входа на теснините на Просек. А Просек е твърде здрава крепост, построена на хълм, която отдавна се намира под ромейска власт. По време обаче на войната между императорите Андрониковци[229] тя бе предадена доброволно от владетелите ѝ на господаря на трибалите от омраза към младия император. Тогава бе под властта на Михаил, комуто бе предадена от владетеля на трибалите. Този Михаил, който беше от роднините на императора, както сам по-късно казваше, премина по някаква причина на страната на краля. Тогава той, като видя, че войската е разположена на лагер, и като сметна, че е ромейска, дошла за плячка, събра колкото можа конници и завзе предварително през нощта теснините, а на разсъмване се приготви за сражение, за да не позволи на войската да премине. А и императорът, когато видя, че те са завзели най-здравите позиции на местността, заповяда войската да се въоръжи, за да си послужи със сила. Защото за него нямаше друг по-добър избор. Михаил обаче поиска да разбере откъде е войската и кой е нейният началник и затова се приближи до лагера. Той видя някои свои познати и приятели и като ги повика отдалеч по име, осведоми се за началника. А когато те му съобщиха, че това е император Кантакузин, той веднага незабавно се приближи и целуна крака му. Той каза кой е, изказа съчувствието си към императора за неговото нещастие и с най-голямо желание се предостави на разположение за всичко друго. Той въздаде голяма благодарност на бога, задето се представя и случай, в който ще може да покаже открито предаността си към императора. Той веднага лесно откри прохода и според възможностите си прие радостно войската. Императорът прекара този ден в Просек като гост на Михаил, та съδ' ἵνα καὶ ἡ στρατιὰ πορίζοιτο τὰ ἐπιτήδεια· ἦσαν γὰρ παντάπασι τῶν ἀναγκαίων ἐνδεεῖς. ἐς τὴν ὑστεραίαν δὲ ἄρας ἐκεῖθεν καὶ Ἀξιὸν διαβὰς τὸν ποταμὸν, τῆς ἐπὶ Σκοπιὰν πόλιν, καὶ αὐτὴν πάλαι μὲν Ῥωμαίων οὖσαν, ἔτεσι δὲ πολλοῖς πρότερον ὑπὸ Τριβαλῶν κατεχομένην, εἴχετο φερούσης. ἐπεὶ δὲ ἔδει παριέναι Βελεσσὸν πόλιν, καὶ αὐτὴν ταῖς ἄλλαις παραπλησίως ὑπὸ Τριβαλῶν κατεχομένην, ἀθρόον ὁρᾶτο στρατιὰ τὴν πέραν τοῦ ποταμοῦ γῆν διερχομένη. νομίσας δὲ ὁ βασιλεὺς ὅπερ ἦν, τὸν δυνατώτατον εἶναι τῶν Τριβαλῶν Λίβερον ὠνομασμένον, (ἐκεῖ γὰρ ἐπύθετο ἐκεῖνον διατρίβειν,) τῶν συνόντων ἐκέλευέ τινα διανηξάμενον ἔφιππον, (ἄπορος γὰρ ἦν ὁ ποταμὸς ἐκεῖ,) πρὸς ἐκεῖνον ἀφικέσθαι· προσαγορεύσαντα δὲ αὐτὸν ἐκ βασιλέως, ἔπειτα καὶ γνώμην παρ' αὐτοῦ ζητεῖν, ᾗ χρὴ διαθέσθαι τὰ κατ' αὐτοὺς, τοῦτον συνεσκευασμένα τὸν τρόπον, ὃν ἐγένετο. Λίβερος δὲ ἐπεὶ πύθοιτο τοὺς παρὰ βασιλέως λόγους, ἡδέως τε μάλιστα ἐδέξατο καὶ τῶν οἰκείων ἕνα ἅμα τῷ ἐκ βασιλέως ἥκοντι συναποστείλας, ἀντησπάζετό τε καὶ αὐτὸς ἐκ τοῦ ὁμοίου καὶ τὸν ποταμὸν ἐδεῖτο μικρὸν ἄνωθεν παριόντα, ἔνθα εὐχερῆ μάλιστα πρὸς πόρον παρέχεται αὐτὸν, αὐτῷ συγγενέσθαι διαβάντα ἄνευ πόνου· ἔπειτα καὶ ἅπερ οἴεται λυσιτελήσειν συμβουλεύσειν. καὶ πρότερον μὲν γὰρ φιλίως διακεῖσθαι πρὸς αὐτὸν, ἐξ ὅτου βασιλέως Ἀνδρονίκου τῷ Κράλῃ συγγενομένου καὶ αὐτὸς ὡμιληκὼς αὐτῷ οὐ μικρὰν ἔσχε φιλίας ἀφορμὴν τὴν συντυχίαν. νῦν δὲ δὴ μᾶλλον οὐ φίλος εἶναι μόνον, ἀλλὰ καὶ τῶν δουλευόντων ἀκριβῶς εἶναι βούλεσθαι. ὁ μὲν οὖν βασιλεὺς κατὰ τὴν παραίνεσιν ἐκείνου μικρὸν ἀνωτέρω προελθὼν, τόν τε ποταμὸν διέβαινεν εὐχερῶς καὶ Λιβέρῳ συνεμίγνυτο. ὁ δὲ οἷά τε δεσπότῃ προσεφέρετο τῷ βασιλεῖ καὶ πᾶσαν παρείχετο τιμήν· πρὸς τὴν οἰκίαν τε ἀγαγὼν, ἐξένισεν ἐπὶ τρισὶν ἡμέραις ἅμα πᾶσαν τὴν στρατιὰν μάλα φιλοτίμως. ἔπειτα συνεβούλευε βασιλέα μὲν ἐλθεῖν εἰς Σκοπιὰν κἀκεῖ τὴν ἐκ Κράλη ἀγγελίαν περιμένειν· αὐτὸν δὲ πρότερον ἐλθόντα πρὸς ἐκεῖνον πάσῃ χρήσασθαι σπουδῇ, ὥστε πεῖσαι τὴν βασιλέως ἄφιξιν ἠπίως δέξασθαι καὶ προσηνῶς. ὃ δὴ καὶ κατὰ τὴν ἐκείνου παραίνεσιν ἐτελεῖτο, καὶ βασιλεὺς μὲν ἀφίκετο εἰς Σκοπιάν.

---

[229] Става дума за войната между Андроник II и Андроник III.

(II, pp. 255_{13}—260_{10})

щевременно и войската да си набави провизии. Защото изобщо имаха нужда от храни. А на следния ден, като се вдигна оттам и премина реката Аксейос, пое пътя за град Скопие, който също отдавна бе ромейски град, а много години преди това се владееше от трибалите. Когато трябваше да мине покрай града Велес, който също подобно на другите градове се владееше от трибалите, видя събрана на куп войска, която бе преминала на отсрещния бряг на реката. А императорът, като разбра каква е работата, а именно, че това е най-могъщият от трибалите, по име Либер[230] (защото се беше научил, че той пребивава там), заповяда на един от приближените си да преплува реката на кон (защото там реката бе непроходима) и като отиде при него, да го поздрави от името на императора и после да поиска и съвет от него, как трябва да уредят работите си, докарани до сегашното положение. А Либер, когато узна желанието на императора, с най-голямо удоволствие го прие, изпрати един от приближените си заедно с пристигналия от името на императора, поздрави го по същия начин и го помоли да отиде малко по-нагоре по реката, където беше най-удобен за него бродът, а като премине лесно, да се срещне с него. И след това щял да го посъветва това, което смята, че ще бъде полезно. Той и по-рано бил приятелски разположен към него, още от времето, когато император Андроник се срещнал с краля,[231] и сам като разговарял с него немалко, бил поставил здрава основа на приятелството им. А сега още повече не само че му бил приятел, но и твърдо желаел да бъде между подчинените му. Императорът отиде малко по-нагоре по негово желание, премина лесно реката и се срещна с Либер. Той се приближи до императора като при господар и му оказа всичката дължима почит. Той го отведе у дома си и го прие много приятелски като гост в продължение на три дни заедно с цялата войска. След това посъветва императора да отиде в Скопие и там да чака известие от краля. А той преди това, като отидел при него, щял да положи голямо старание, за да го убеди да приеме ласкаво и благосклонно пристигналия император. И по негово желание това стана, и императорът пристигна в Скопие.

---

[230] Има се пред вид Оливер, държавник и военачалник, един от най-приближените на Стефан Душан. [231] Касае се за срещата между Андроник III и Стефан Душан през 1334 г., на която бил сключен съюз между двамата владетели и била определена границата между Сърбия и Византия. Вж. Иречек, Историја срба, Београд, 1912, с. 357, 358.

34. Serborum Crales Helenam uxorem suam ipsius Alexandrum Bulgarorum regem deducit

III, 43. Λίβερος δὲ συντόνῳ χρησάμενος ὁδοιπορίᾳ ὀλίγῳ χρόνῳ περί τινα τόπον Μοράβαν ἐγχωρίως προσαγορευόμενον τῷ Κράλῃ συντυγχάνει Ἑλένην προπέμποντι τὴν γυναῖκα πρὸς τὸν βασιλέα Μυσῶν Ἀλέξανδρον, ὄντα ἀδελφὸν, ἀφικνουμένην. ἀπαγγείλας δὲ αὐτοῖς τὰ περὶ βασιλέα τὸν Καντακουζηνὸν ὑπὸ τῶν ὁμοφύλων εἰργασμένα, καὶ ὡς προδοσίᾳ τῶν ἑπομένων τῆς Ῥωμαίων γῆς ἀπελαθεὶς, ἀφίκοιτο παρ' αὐτοὺς, ἔπειθε φιλοφρόνως δέξασθαι καὶ μεγαλοπρεπῶς, ὡς τῆς εἰς ἐκεῖνον φιλοτιμίας πολλῆς ἐκείνοις τε καὶ παιδὶ καὶ πάσῃ τῇ Τριβαλῶν ἀρχῇ τὸν ἔπειτα πάντα χρόνον εὐδοξίας ἐσομένης ἀφορμῆς. οἱ δ' αὐτίκα τε ἐπείθοντο καὶ ἀνέστρεφον ἐκ τῆς ὁδοιπορίας, ὡς ἀφιξόμενοι πρὸς βασιλέα. πέμψαντες δὲ πρὸ αὐτῶν Μπογδάνον τὸν Λιβέρου ἀδελφὸν, ἠσπάζοντό τε βασιλέα καὶ ἐδήλουν, ὡς ὀλίγῳ ὕστερον ἀφιξόμενοι πρὸς ἐκεῖνον. ὁ δ' ἐπεὶ πύθοιτο Κράλην ἅμα γυναικὶ ἀφικνουμένους πρὸς αὐτὸν, ἀντησπάζετο μὲν καὶ αὐτὸς αὐτοὺς καὶ πολλὴν ὡμολόγει τῆς φιλίας χάριν. ἀναστάς τε ἐκ Σκοπιῶν, πρός τινα τόπον ἦλθε Ταὼ διὰ τὸ κάλλος ὠνομασμένον, ἔνθα περὶ κώμην τινὰ ἀτείχιστον Πρίστηνον προσαγορευομένην συνεμίγνυτο τῷ Κράλῃ ἀφιγμένῳ ἅμα γυναικί. οἱ δ' ἐδέξαντο μὲν βασιλέα μεθ' ὅσης ἂν εὔποις φιλοτιμίας καὶ σπουδῆς. οὐχ ἧττον δὲ καὶ αὐτοὶ διὰ τὴν ἐκείνου ἄφιξιν συνήδοντό τε καὶ συνέχαιρον ἑαυτοῖς τιμῆς τε ἠξίουν μάλιστα πολλῆς. ἐν ἅπασι γὰρ αὐτὸν προῆγεν ἑαυτοῦ καὶ ὡς κρείττονι τῶν πρωτείων παρεχώρει. ἔν τε γὰρ ταῖς ἀνακλίσεσι τὴν κρείττω καὶ ὑψηλοτέραν παρείχετο καθέδραν καὶ ἐν ὁδοιπορίαις καὶ ἐν ἅπασι τοῖς ἄλλοις προετίθει ἑαυτοῦ. ἔθους δὲ ἀρχαίου παρὰ Τριβαλοῖς κεκρατηκότος, ἐπειδὰν τις τῶν εὐγενεστέρων καὶ μεγάλα δυναμένων ἔλθῃ διὰ χρόνου πρὸς τὸν ἄρχοντα αὐτῶν καὶ δέῃ ποιεῖσθαι τὴν πρώτην προσαγόρευσιν, ἀμφοτέρους ἀποβαίνοντας τῶν ἵππων, πρῶτα μὲν τοῦ ἄρχοντος τὸ στῆθος τὸν ὑποδεέστερον ἀσπάζεσθαι, ἔπειτα καὶ τὸ στόμα, καὶ μηκέτι κατὰ δευτέραν συντυχίαν ἀποβαίνειν τὸν δουλεύοντα τοῦ ἵππου, ἀλλ' ἔφιππον καὶ αὐτὸν προσαγορεύειν τὸν δεσπότην. πρὸς μὲν ἐκεῖνον πάλιν τὰ εἰωθότα ἐτελεῖτο, βασιλεῖ δὲ κατὰ τὸ Ῥωμαίων ἔθος ἐκέλευσε προσφέρεσθαι τοὺς Τριβαλούς· καὶ κατὰ πᾶσαν μὲν συντυχίαν τῶν ἵππων πάντας

34. Сръбският крал изпраща съпругата си Елена при бр. та й, царя на българите Александър

III, 43. А Ливер с усилен марш за кратко време срещна краля около някакво място, наречено от местните жители Морава[232]. Той изпращаше съпругата си Елена, която отиваше при царя на мизите Александър, нейния брат. Той им съобщил за извършеното срещу императора Кантакузин от сънародниците му и че той бил дошъл при тях, изгонен от ромейската земя поради предателството на своите привърженици. Той ги убеди да го приемат любезно и великодушно, понеже голямото великодушие към него винаги в бъдеще ще бъде слава за тях, за сина му и за цялото царство на трибалите. Те веднага се убедиха и се върнаха от пътя, за да отидат при императора. Те изпратиха напред Богдан, брата на Ливер, и поздравиха императора и съобщиха, че малко по-късно ще пристигнат при него. А когато той узна, че кралят заедно с жена си пристигат при него, на свой ред сам ги поздрави и изрази голямата си благодарност заради приятелството. Като се вдигна от Скопие, пристигна до едно място, наречено Таос[233] поради красотата си. Там той се срещна с краля, който бе пристигнал заедно с жена си при едно неукрепено село, наречено Прищина. А те приеха императора, би казал някой, с най-голямата възможна почит и внимание. Защото се радваха и ликуваха не по-малко поради пристигането му и го удостоиха с най-голяма почит. Защото във всяко отношение той(кралят) го поставяше пред себе си и му правеше място като на най-знатен. Защото на трапезата му предоставяше по-челно и по-високо място и в походи, и във всичко друго го поставяше пред себе си. А имаше стар обичай у трибалите, когато някой от по-благородните и велемощните дойде след известно време при техния владетел и трябва да се направи първият поздрав, двамата слизат от конете и най-напред по-нискостоящият целува гърдите на владетеля, а след това и устата, и при втора среща подчиненият вече не слиза от коня, а поздравява господаря от коня си. Към него пак се изпълни обичаят, а на трибалите заповяда да постъпят според ромейския обичай по отношение на императора. И при всяка среща всички да слизат от конете, ἀποβαίνειν, κατὰ δὲ τὴν πρώτην μάλιστα καὶ πόῤῥωθεν ἀποβάντας καὶ προσελθόντας πεζῇ οὕτως ἀσπάζεσθαι ἐπὶ γόνυ βασιλέα. καὶ τὸ δὴ θαυμαστότερον, ὅτι εἴ ποτε συνιοῦσιν ἀμφοτέροις ἐδέησέ τινα τῶν εὐγενεστέρων Τριβαλῶν προσελθεῖν, Κράλης μὲν κατὰ τὸ εἰωθὸς ἐποίει καὶ ἀπέβαινε τοῦ ἵππου πρὸς τὴν προσαγόρευσιν, βασιλεὺς δὲ μένων ἔφιππος, ἠσπάζετο τὸν προσιόντα. πρὸς δὲ τὴν οἰκίαν ἐκείνου εἰσιόντα, (εἰσῄει δὲ ὁσημέραι σχεδόν· οὐ γὰρ εἴα μένειν ἐπὶ τῆς σκηνῆς, πάσης ἡδίω διατριβῆς τὴν πρὸς ἐκεῖνον τιθέμενος ὁμιλίαν,) ἔξω μὲν τῆς πύλης τοὺς νέους τῶν εὐγενεστέρων πεζῇ θέοντας ἐκέλευεν ὑπαντᾷν, ἔνδον δὲ τῆς αὐλῆς τοὺς πρεσβυτέρους καὶ ἀξίαις ταῖς παρ' αὐτοῖς τετιμημένους, αὐτὸς δὲ ἐπὶ τὸν πρῶτον μάλιστα τῶν οἴκων μετὰ τὴν αὐλὴν προσηγόρευεν ὑπαντῶν, ἢ καὶ ἄχρι τοῦ τόπου ἔνθα τοῦ ἵππου ἀπέβαινε προΐει. οὐχ ἧττω δὲ φιλοτιμίαν καὶ ἡ τοῦ Κράλη γαμετὴ πρὸς βασιλέα ἐπεδείκνυτο, ἐν πᾶσι μάλιστα ἐκείνου οὐδαμῶς ἀπολείπεσθαι φιλονεικοῦσα. ταῦτα μὲν οὖν παρὰ πάντα τὸν χρόνον, ἐν ᾧ συνδιέτριβεν αὐτοῖς ὁ βασιλεύς, ἐπράττετο. ἐν ἀρχαῖς δὲ τῆς ἐπιδημίας μάλιστα ἐν ἡμέραις οὐκ ὀλίγαις πότοις καὶ φιλοτησίαις ὁ τῶν Τριβαλῶν ἄρχων τὴν πρὸς βασιλέα εὔνοιαν ἐπιδειξάμενος, ἔπειτα ἐπυνθάνετο, ὅτου χάριν ἀφίκοιτο πρὸς αὐτὸν καὶ εἰ δέοιτο παρ' αὐτοῦ τινος. βασιλεὺς δὲ ἥκειν μὲν ἔφασκε τῆς εἰς αὐτὸν φιλίας ἕνεκα. οὐ γὰρ ἂν εἴη τι βέλτιον καὶ σωφρονέστερον ἀνθρώποις ὀρθοῖς χρωμένοις λογισμοῖς τοῦ βεβαίαν καὶ ἀληθῆ φιλίαν κτήσασθαι. ἔπειτα δὲ εἴγε βούλοιτο καὶ δύναιτο καὶ βοηθείας παρ' αὐτοῦ τυχεῖν, ὥστ' ἐπανελθεῖν πρὸς τὴν οἰκείαν. οἴεσθαι δὲ μηδ' αὐτὸν ἀγνοεῖν τὰ αὐτῷ συμβεβηκότα ἐν ἐννέα μάλιστα μησὶν ἤδη τοῦ παρὰ Ῥωμαίοις πολέμου κεκινημένου, ὅπως τε φθονηθείη παρὰ τῶν ὁμοφύλων μηδὲν ἠδικηκώς, καὶ ὡς κινηθείη παρ' ἐκείνων πόλεμος ἀκήρυκτος, καὶ τὰ τελευταῖα ταῦτα δή, ὡς προδοθείη παρὰ τῶν συνόντων πρὸς τοὺς πολεμίους ἀποστάντων. εἰ δὲ μὴ βούλοιτο βοηθεῖν, ἀπαγορεύειν φανερῶς, ὥστ' αὐτὸν διασκεψάμενον, ὅ, τι ἂν δοκοίη βέλτιον αὐτῷ τε καὶ τοῖς συνοῦσι πράττειν. μὴ θαυμάζειν δέ, ὡς, εἴγε δύναιτο βοηθεῖν, εἰρήκει. οὐ γὰρ ἀδυναμίαν αὐτοῦ κατεγνωκὼς τοιαῦτα φάναι, ἀλλ' εἰδώς, ὡς πᾶσιν ἀνθρώποις ἡ μὲν βούλησις ὁμοίως ἐπ' ἐξουσίᾳ κεῖται, τὸ δύνασθαι δὲ οὐκέτι. ἐνίοτε γὰρ καὶ αὐτοὶ οἱ μεγάλα δοκοῦντες δύνασθαι ὑπό τινων κωλυμάτων τὴν τοῦ πράττειν, ἃ βούλονται, δύναμιν ἀποστεροῦνται, ἢ πολεμίων ἄλλων δυνατωτέρων ἐπικειμένων, ἢ αὐτοὶ ὁμόροις ἔθνεσί τισι μέλλοντες ἐπιστρα-

---

[232] Касае се за място около река Морава, източно от Прищина в Северна Македония. [233] Става дума за местността Таос (Паун) до Прищина. Вж. Ив. Дуйчев, у П. Мутафчиев. История на българския народ, т. II, 1944, с. 200.

а най-вече при първата среща, и като слязат отдалеч, да се приближат пеша и така да целуват императора по коляното. И поинтересното е, че ако трябва някой от по-знатните трибали да се приближи, когато двете страни се срещат, кралятправеше всичко според обичая и слизаше от коня,за да поздрави, а императорът оставаше на коня и целуваше приближаващия се. Когато отиваше в дома му (а той ходеше почти всекидневно, защото кралят не го оставяше да стои в шатрата си, като смяташе разговора с него за по-приятен от всяко занимание), заповядваше по-младите от знатните да изтичат пеша и да го посрещнат извън вратите, а по-старите и почтените сред тях с достойнства да го срещнат вътре в двореца. Сам той го поздравяваше, като го срещаше обикновено при първата къща след двореца или до мястото, където слизаше от коня и продължаваше напред. Не по-малко уважение към императора засвидетелствуваше и съпругата на краля която във всяко отношение имаше амбицията да не изостават назад някак от него. Това се вършеше през всичкото време, докато императорът прекарваше заедно с тях. А владетелят на трибалите, като показа благоприличието си към императора в немалко гощавки и наздравици най-вече в първите дни на посещението му, след това се осведомяваше за какво е пристигнал при него и дали иска нещо от него. Императорът казваше, че е дошъл от приятелство към него Защото на хора, които умно разсъждават, не би имало нищо по-добро и разумно от това да спечелят здраво и истинско приятелство. А след това, ако би искал и можел, да получи и помощ от него, за да се върне в родината си. Смятал, че и той знаел случилото се с него най-вече през последните девет месеца, след като вече била избухнала война у ромеите, как бил обект на заговор от страна на сънародниците си, без да е сгрешил нещо, и как те започнали необявена война, и най-после това, как бил предаден от съмишлениците си на неприятелите. Ако не желае да му помогне, да откаже открито, та той сам, като обмисли,да направи това, което би сметнал за по-добро за себе си и за съмишлениците си. Да не се учудва, че е казал, ,,ако би могъл да помогне“. Той казвал това не защото го бил обвинил в безсилие, а понеже знаел, че у всички хора желанието зависи от възможностите, но не всички хора имат възможности. Защото понякога и сами тия, които изглеждат,че могат да вършат големи дела, са лишени да да направят, каквото желаят, поради някакви пречки, било защото други по-силни неприятели напират, било защото сами τεύειν. διὰ τοῦτο φάναι τὸ εἰ δύναιτο· ὃ δίκαιον αὐτὸν μὴ θορυβεῖν, πολλῶν τοιούτων ἐν τῷ βίῳ συμβαινόντων. ἔφασκε δὲ ὕστερον, ἐξεπίτηδες τοιαῦτα πρὸς Κράλην εἰρηκέναι, ὡς, εἰ μὴ βούλοιτο βοηθεῖν, προφάσεως εὐπροσώπου παρὰ τῶν ἐκείνου λόγων εὐποροίη, ὥστε τὴν μὲν βοήθειαν ἀπαγορεύειν, μηκέτι δὲ καὶ τὴν φιλίαν τὴν πρὸς αὐτόν. ἐδεδίει γὰρ, μὴ ἐκπολεμωθείη πρὸς αὐτὸν, εἰ μὴ βούλοιτο βοηθεῖν, νομίσας ἤδη διὰ τὴν ἀποτυχίαν τῆς ἐπικουρίας εἰς ὀργὴν ἐξάγεσθαι καὶ ἔχθραν. ὁ Κράλης δὲ „καλῶς ἐποίησας,“ εἴρηκεν „ὦ βασιλεῦ, τὸν λόγον διασαφήσας· ὑπέθραττε γὰρ οὐκ ὀλίγον καὶ ἐθορύβει τὴν διάνοιαν, ὡς ἀγνοῶν τὴν ἐμοὶ παροῦσαν δύναμιν οἰόμενον τοιαῦτα λέγεις. ἐπειδὴ δὲ τῶν τοιούτων ἀπήλλαξας ὑπονοιῶν, ἤδη σοι τὴν γνώμην καὶ αὐτὸς ποιήσω φανερὰν, ὡς δύναμίν τε ἔχω μάλιστα ἀρκοῦσαν πρὸς τοὺς πολεμοῦντάς σοι, καὶ ἡδέως ἂν ἐπικουροίην, εἴγε βούλει καὶ αὐτός.“ ἀποκριναμένου δὲ τοῦ βασιλέως, ὡς τῆς μὲν φιλίας ἕνεκα καὶ τῆς προθυμίας τῆς περὶ αὐτὸν πολλὰς ἂν εἰδείη χάριτας, ἀγνοοίη δὲ πρὸς ὅ, τι φέρει τὸ εἰ βούλοιτο καὶ αὐτός· μισθὸν τῆς συμμαχίας ὁ Κράλης τὰς ἀπὸ Χριστουπόλεως πρὸς τὴν ἑσπέραν ἁπάσας πόλεις Ῥωμαίοις ὑπηκόους ᾔτει, εἰ δὲ τοῦτο ἐπαχθὲς δοκοίη, τὰς γοῦν ἀπὸ Θεσσαλονίκης. οὐ γὰρ ἐπ᾽ οὐδενὶ κέρδει χρήματά τε ἀναλώσουσι πρὸς τὸν πόλεμον ὑπὲρ αὐτοῦ τοσαῦτα καὶ διακινδυνεύσουσι πρὸς πᾶσαν τὴν Ῥωμαίων ἡγεμονίαν, οἷς οὐδ᾽ ὑπὲρ σφῶν αὐτῶν ποτε ἐτόλμησαν πόλεμον ἄρασθαι τοσοῦτον, ὥστε πρὸς Θρᾴκην ἢ καὶ περαιτέρω προελθεῖν. οἴεσθαι δὲ ἄριστά τε καὶ λυσιτελέστατα αὐτῷ βουλεύεσθαι. εἰ γὰρ ὧν οὐκ ἔστι κύριος ἀποσχόμενος, οὐχ ἑαυτῷ καὶ τοῖς συνοῦσι μόνον, ἀλλὰ καὶ παισὶ μεγάλην ὠφέλειαν πορίσαιτο, καὶ προσέτι τοὺς πολεμιωτάτους διαφθείρας, τῶν ἐπιλοίπων πόλεων κύριος κατασταίη, ἀγαπᾶν προσῆκον καὶ μὴ πέρα τοῦ καιροῦ καὶ τοῦ μετρίου φιλονεικεῖν. ὁ βασιλεὺς δὲ „ὀρθῶς“ εἶπε „περὶ τοῦ κέρδους τῆς συμμαχίας καὶ τῶν πόνων καὶ τῶν πρὸς τὸν πόλεμον ἀναλωμάτων ἐλογίσω. οὐδεὶς γὰρ εὖ φρονῶν, εἰ μή τινα πρότερον ἐκ τῶν πραττομένων ὠφέλειαν συνορῴη, κόπτεσθαι καὶ ταλαιπωρεῖν ἕλοιτ᾽ ἂν ἑκών. σὺ δ᾽ εἰ μὲν οὐδεμίαν ἐμοὶ βούλει χάριν καταθεῖναι, λόγον ἂν ἔχοι μισθὸν τῆς συμμαχίας ἀπαιτεῖν, ὃν εἰ παράσχωμαι αὐτὸς, οὐδεμίαν εἴσομαί σοι τῆς ἐπικουρίας χάριν. οὐδὲ γὰρ ὁ ἀργυρίῳ τι παρά του ἐξωνούμενος χάριν ἂν εἰδείη τῷ πιπράσκοντι τοῦ παρασχέσθαι. εἰ δὲ φιλίας μόνης ἕνεκα καὶ τῆς πρεπούσης δυνάστῃ

възнамеряват да воюват срещу някои съседни народи. Ето защо той казал: „ако би могъл“. Справедливо било той да не се безпокои, понеже много такива неща се случват в живота. А по-късно казваше, че нарочно е казал това на краля, та ако желаел да помогне, да имал благовидно оправдание в думите му, за да откаже помощта, а не и приятелството спрямо него. Защото се страхуваше да не възбуди неговата вражда, ако не желае да му помогне, понеже сметна, че ще си навлече гнева и омразата му, ако загуби помощта. А кралят каза: „Добре си направил, царю, като изясни мисълта си. Защото тя ме смути немалко и ме обезпокои, понеже сметнах, че ти говориш това, без да знаеш истинската ми сила. Но понеже се освободих от тези подозрения и сам вече ще открия пред теб мисълта си, а именно, че имам и предостатъчно войска срещу твоите неприятели и че с удоволствие бих ти помогнал, ако сам пожелаеш.“ А императорът отговори, че той благодари много за приятелството и благосклонността към него, но че не знаел какво значи „ако сам поиска“. Кралят поиска като отплата за съюза всички градове на запад от Христопол, подчинени на ромеите, а ако това му се виждало много тежко, то тези на запад от Солун. Те наистина не щели да изразходват без никаква изгода толкова средства във войната заради него и не щели да рискуват срещу цялата ромейска държава, с която те никога не са се били одързостили да водят такава война дори за себе си, та да стигнат до Тракия или по-нататък. Той смятал, че му дава най-добрия и най-полезен съвет. Защото ако се откажел от градовете, чийто господар не бил, той щял да извлече голяма полза не само за себе си и съмишлениците си, но и за децата си, и освен това той би унищожил най-големите си неприятели и би станал господар на останалите градове. Редно би било да бъде доволен от това и да не проявявал прекомерна и неумерена амбиция. А императорът каза: „Помисли добре за изгодата от съюза, от трудностите и от разходите по войната. Защото никой разумен човек не би желал доброволно да се измъчва и да страда, ако предварително не вижда някаква изгода от това, което се върши. Ако не искаш да ти дължа някаква благодарност, ти би могъл да поискаш съответна отплата за съюза, която, ако ти дам, не ще ти дължа никаква благодарност за помощта. Защото, който купува нещо срещу пари от някого, той не дължи благодарност на продавача за купеното. А ако би предпочел да помогнеш даром само от приятелст-

φιλοτιμίας ἕλοιο προῖκα βοηθεῖν, πρῶτον μὲν τὰ προσήκοντα βουλεύσῃ περὶ σεαυτοῦ, οὐ μισθοῦ ἕνεκα, ὅπερ πάσχουσιν οἱ πολλοὶ καὶ φαῦλοι τῶν ἀνθρώπων, ἀλλὰ φιλίας καὶ φιλοτιμίας στρατευόμενος· ἔπειτα καὶ ὧν ζητεῖς ἐξέσται πλείω ἔχειν μετὰ πολλοῦ τοῦ περιόντος. εἰ γὰρ ἐμὲ, τὸν ἄρξοντα Ῥωμαίων, γνήσιον κτήσῃ φίλον, οὐ τῶν ἐκ Χριστουπόλεως μόνον καὶ Θεσσαλονίκης ἄχρι τῆς σῆς ἡγεμονίας ὅρων πόλεων, ἀλλὰ καὶ νήσων καὶ Βυζαντίου καὶ τῆς ἄλλης Θρᾴκης ἔχειν ἐξέσται τὴν ἀρχήν· κοινὰ γὰρ οἱ σοφοί φασι τὰ φίλων· καὶ συμβήσεταί σοι μετὰ τῆς ἀπὸ τῶν ἔργων φιλοτιμίας καὶ μείζω καὶ θαυμασιωτέραν τὴν ὠφέλειαν καρποῦσθαι. εἰ μὲν οὖν ἐμοὶ πειθόμενος καὶ πᾶσαν ὑπεριδὼν μικρολογίαν, προῖκα βοηθήσεις, σαυτῷ τε καὶ ἡμῖν προσήκοντα βουλεύσῃ. εἰ δ᾿ ἄρα οὕτως ἔγνωκας, ὡς οὐδενί τῳ τρόπῳ ἑτέρῳ βοηθήσων, εἰ μή σοι καταπροδοίημεν τὰς Ῥωμαίων πόλεις, ἀλλ᾿ ἡμῖν γε φράσον φανερῶς, ὡς ἂν πρὸς ἕτερόν τι τῶν λυσιτελεῖν τρεπώμεθα δοκούντων, θεοῦ συναιρομένου. ἴσθι γὰρ, ἴσθι σαφῶς, ὡς οὐ πολλὰς καὶ θαυμασίας, ὥσπερ εἴρηκας αὐτὸς, ἀλλ᾿ οὐδεμίαν καὶ τὴν φαυλοτάτην ἑκόντες ὄντες προησόμεθα, οὐδ᾿ ἀλλαξαίμην ἂν ἡδέως αὐτῆς τὴν σφετέραν καὶ τῶν παίδων σωτηρίαν.

III, 44. *Ὁ μὲν οὖν Κράλης ἐξεπέπληκτο μὲν τὴν τόλμαν τοῦ φρονήματος καὶ τὴν καρτερίαν τὴν ἐν τοῖς δεινοῖς· ἤχθετο δὲ οὐκ ἀνεκτῶς, ὅτι μὴ πείθειν εἶχεν. Ἑλένη δὲ ἡ γαμετὴ παροῦσα καὶ τῆς διανοίας τοῦ ἀνδρὸς καταστοχαζομένη, ὡς βαρέως φέροι τὴν περὶ τῶν πόλεων ἀπαγόρευσιν τοῦ βασιλέως, μεταστήσασα τὸν ἄνδρα καὶ τοὺς ἐν τέλει καὶ μεγάλα δυναμένους παρ᾿ αὐτοῖς προσπεμψαμένη τέσσαρας ὄντας πρὸς τοῖς εἴκοσιν, „ὡς μὲν ἐφ᾿ ἡμῖν ἐστιν," εἶπεν „ἀφιγμένον πρὸς ἡμᾶς τὸν Ῥωμαίων βασιλέα εὖ ποιεῖν ἢ τὸ ἐναντίον, οὐδεὶς δήπουθεν ἀντερεῖ. σκεπτέον δὲ, ὁποτέρῳ προσθεμένους, νοῦν ἔχοντα καὶ λυσιτελοῦντα δόξομεν ἑλέσθαι ἑαυτοῖς. εἰ μὲν οὖν ἑλοίμεθα κακῶς ποιεῖν, ἢ ἀποκτενοῦμεν πάντως, ἢ κεναῖς ἀποπέμψομεν, ὅ φασι, χερσὶ, μηδεμιᾶς προνοίας ἢ ἐπικουρίας ἀξιώσαντες. τὸ μὲν οὖν ἀποκτείνειν, οὐκ οἶδα εἴ τις εἰς τοσοῦτον ἀπανθρωπίας ἥκει καὶ ὠμότητος, ὡς αὐτός τε ἑλέσθαι καὶ τοῖς ἄλλοις συμβουλεῦσαι. πρὸς γὰρ τῷ θεῷ ἐχθίστην εἶναι τὴν τοιαύτην τόλμαν, καὶ παρὰ πᾶσιν ἀνθρώποις σαφῆ παρέχεται κακίας καὶ μοχθηρίας ἀπόδειξιν ὑπερβολῆς. τὸ γὰρ νῦν τε ὄντα Ῥωμαίων βασιλέα καὶ πρὶν εἰς τοῦτο ἥκειν σχήματος πολλοῖς πρότερον χρόνοις ὁμοίως ἄρχοντα, καὶ παρὰ πάντων καὶ Ἑλλήνων καὶ βαρβάρων ἀγαπώμενον καὶ περισπούδαστον ὄντα διὰ τὴν*

во и заради подобаващото на владетел чувство за чест, най-напред ще решиш това, което е изгодно за тебе не заради възнаграждането, което множинството и обикновените хора приемат, а като воин заради приятелството и чувството за чест. И след това може да получиш повече и от това, което искаш и дори много повече. Защото ако ме спечелиш като истински приятел, мен, бъдещия владетел на ромеите, можеш да имаш властта не само над градовете от Христопол и Солун до границите на твоята държава, но и над островите и над Византион и над цяла Тракия. Защото мъдрите казват, че нещата на приятелите са общи. И ти ще имаш случай да извлечеш освен славата от делата и по-голяма и по-удивителна полза. Ако ти, като ме послушаш и пренебрегнеш всякаква дребнавост, ми помогнеш безвъзмездно, ти ще вземеш решение, достойно за тебе и за нас. Ако наистина си решил да ни помогнеш само при условие, ако ти предадем ромейските градове, то кажи ни го открито, та с божия помощ да се насочим към някакво друго полезно решение. Защото разбери, добре разбери, че ние не ще дадем доброволно, както сам каза, не само много и прочути градове, но нито един, макар най-незначителния, и не бих го заменил доброволно срещу своята свобода и тази на децата си."

III, 44. Кралят бе поразен от смелата му мисъл и от храбростта му в тия тежки обстоятелства. Той съжаляваше немалко, че не можа да го убеди. А съпругата му Елена, която присъствуваше и долавяше мисълта на мъжа си, че тежко би понесъл отказа на императора относно градовете, предума мъжа си и извика знатните и велможите сред тях, двадесет и четири на брой, и каза: „Наистина никой не ще отрече, че от нас зависи да помогнем или не на дошлия при нас ромейски император. А трябва да видим на кое от двете неща да се спрем, за да изглеждаме, че сме избрали разумното и полезното. Ако предпочетем да постъпим лошо или изобщо ще го убием, или, както се казва, ще го отпратим с празни ръце, като не го удостоим с никакво внимание и грижа. А относно убиването, не зная дали някой е достигнал до такава безчовечност и жестокост, че сам да реши това нещо и другите да съветва. Такава дързост е най-омразна на бога и за всички хора е ясно доказателство за лошотия и за най-голяма подлост. Защото сегашният император на ромеите, който и преди да получи императорските знаци, също така много години по-рано е царувал и е бил обичан от всички — и от елини, и от варвари и е бил твърде желан поради свойствеπροσοῦσαν ἐπιείκειαν καὶ σύνεσιν καὶ φιλοτιμίαν ἐν πᾶσιν ἀγαθοῖς, νῦν ἥκοντα παρ' ἡμᾶς διὰ πραγμάτων μεταβολήν, πρὸς τῷ μὴ προστῆναι καὶ ἀνήκεστα διαθεῖναι οὐκ ὠμότητος καὶ ἀπανθρωπίας μόνον, ἀλλὰ καὶ ἀσεβείας ἔγκλημα ἡμῖν δικαίως περιάψαι. οὗ δὴ ἕνεκα τῶν τοιούτων αὐτή τε ἔγνωκα καὶ ὑμῖν ἀποσχέσθαι παραινῶ. τὸ δ' ἀποπέμπειν ἄπρακτον ἀβουλίας ἄν τις τιθείη λογιζόμενος ὀρθῶς. οὐ γὰρ μόνον ἀγνοίας περὶ τὰ καλὰ καὶ ἀφιλοτιμίας δικαίως ἂν ἁλοίημεν παρὰ τοῖς κρίνειν τὰ τοιαῦτα δεινοῖς, ὅτι ὃν ἐπεθύμουν πολλοὶ τῶν δυναστῶν καὶ πολλὰ ἐπραγματεύοντο φίλον ἔχειν, τοῦτον ἔχοντες αὐτοὶ καὶ δυνάμενοι τῶν ἄλλων μᾶλλον τὴν παρ' αὐτοῦ φιλίαν καρποῦσθαι, ἑκόντες ὄντες προηκάμεθα δι' ἀγροικίαν. ἀλλ' εἴ ποτε συμβαίη καὶ Ῥωμαίων ἄρξαι, μεμνημένος, ὡς οὐδεμιᾶς ἐπικουρίας τύχοι παρ' ἡμῶν, ἀλλὰ τόγε εἰς ἡμᾶς ἧκον, καὶ τοῖς πολεμίοις καταπροδοθείη, (οὐδὲ γὰρ ἧττον τούτου νυνὶ τὸ ἀποπέμψαι δύναται,) ἀμυνεῖται δικαίως καὶ κακῶς ποιήσει τὰ ἡμέτερα, ἄλλων τε πολλῶν προφάσεων εὐπορήσας ἂν καὶ τὴν νῦν προδοσίαν ἐπικαλῶν. δι' ἃ οὐδὲ ἀποπέμπειν ἄπρακτον οἴομαι λυσιτελεῖν. λείπεται δὴ βοηθεῖν, ἢ παραχωρήσαντι τῶν πόλεων, ὧν αἰτοῦμεν, ἢ προῖκα καὶ διὰ φιλοτιμίαν. τὸ μὲν οὖν τῶν πόλεων παραχωρεῖν αὐτὸν ἐμοὶ μὲν ἥδιστον καὶ μάλιστα βουλοίμην ἄν· ἐκεῖνος δὲ, ὡς ὁρῶμεν, τοσοῦτον ἀπέχει τοῦ διὰ τὴν παροῦσαν δυσπραγίαν κατεπτηχέναι καὶ ταπεινὰ καὶ ἀνελεύθερα φρονεῖν, ὥσθ' ἡδέως ἄν, ὥσπερ ἔφη, τῆς αὐτοῦ καὶ παίδων καὶ πάντων τῶν συνόντων σωτηρίας τῆς μιᾶς καὶ φαυλοτάτης πόλεως ἀλλάξαιτο. ὅτε τοίνυν οὕτως ἔχει καὶ ἐλευθέρῳ πρέποντα ἀνδρὶ καὶ βασιλεῖ προσήκοντα ἀπεφήνατο, βέλτιον ἐμοί τε ἔδοξε καὶ ὑμῖν πᾶσι παραινῶ, ἃ ἐκεῖνος ἀξιοῖ ποιεῖν καὶ, πᾶσαν μικρολογίαν καὶ ἀνελευθερίαν ἀποῤῥίψαντας, πάσῃ δυνάμει βοηθεῖν, καὶ τὴν Ῥωμαίων αὐτῷ ἡγεμονίαν κατακτᾶσθαι, οὐ μικρὰν ὠφέλειαν ἡγουμένους τὴν παρὰ πάντων ἡμῖν εὔκλειαν ἐσομένην καὶ τὸ φίλον κτήσασθαι καὶ σύμμαχον τοιοῦτον, ὃν πολλοὶ μὲν ἐπιθυμοῦσι, τυγχάνουσι δὲ οὐδὲ ὀλίγοι, καὶ ὃν οἱ ἔχοντες αὐτοὶ, ἀγνοήσαντες καὶ τὰ χείριστα καὶ ἀλυσιτελέστατα βουλευσάμενοι ἑαυτοῖς, ἀπεώσαντο ἑκόντες. τοῦτο δὲ μόνον παρ' αὐτοῦ αἰτεῖν ὅρκοις βεβαιοῦσθαι, ὥστε σύμμαχόν τε καὶ φίλον διὰ βίου ἡμῖν εἶναι καὶ, ἃς ἔχομεν νυνὶ πόλεις αὐτοί τε καὶ πατέρες οἱ ἡμέτεροι τῆς Ῥωμαίων ἀφελόμενοι ἡγεμονίας, μηδεμίαν ἀπαιτεῖν, ὅταν ἐπὶ τῆς ἀρχῆς καταστῇ, μηδὲ πόλεμον

ната си кротост и разум и стремеж към всякакви добри работи, сега е дошъл при нас поради превратността на съдбата. Ако не го защитим и ако постъпим безжалостно, той справедливо би ни обвинил не само в жестокост и безчовечност, но и в безбожие. Поради това аз сама забелязах тия неща и ви съветвам да се въздържате. А който мисли, правилно би преценил отпращането му без резултат за безразсъдство. Ние бихме били справедливо изобличени от знаещите да преценят това не само в непознаване на хубавото и в безчестие, но и понеже този, когото множина от велможите желаеха и се стараеха много да го имат за приятел, него, когато го спечелихме сами и когато можехме да използуваме приятелството му повече от другите, доброволно от безразсъдство го изоставихме. Но ако някога се случи да управлява и ромеите и си спомни, че не е получил никаква помощ от нас, но доколкото е зависело от нас, е бил предаден на неприятелите (да го отпратим сега, то е равностойно на това), справедливо ще се брани и ще ни навреди много, имайки много поводи за това, а и позовавайки се на сегашното предателство. Поради това мисля, че не е полезно да го отпратим с празни ръце. Остава да помогнем или като отстъпи градовете, които искаме, или безвъзмездно и поради приятелство. Най-приятно би ми било и най-много бих желала той да отстъпи градовете. Но той, както виждаме, съвсем не се е подплашил от сегашното нещастие и не мисли смирено и покорно, така че, както каза, с удоволствие би жертвувал своето спасение и това на децата си и на всички съмишленици за един, макар и най-незначителен град. Понеже той е в това положение и каза думи, подхождащи на благородник и съответствуващи на император, аз реших, че е по-добре и ви подканям всички вас към това, което той иска да направим и като отхвърлите всяка дребнавост и малодушие, да му помагате с всички сили и той да си възвърне ромейската власт, като смятате, че ще бъде от немалка полза славата, която ще спечелим пред всички, а именно, че сме придобили приятел и такъв съюзник, какъвто мнозина желаят, но малцина намират, а тия, които го имат, като не го познават и като взимат най-лоши и най-вредни за себе си решения, сами са го отблъснали. Само да поискаме от него това да се потвърди с клетви, за да ни бъде завинаги съюзник и приятел, и каквито градове сега притежаваме и които ние сами или нашите бащи са отнели от ромейската държава, да не иска нито един (от тях), когато застане начело на властта, нито да започва вой-

κινεῖν περὶ αὐτῶν ἐπιχειροῦντα ἀφελέσθαι. ᾧ καὶ αὐτὸν οἴομαι συνθήσεσθαι ῥᾳδίως, δίκαιόν τε ὂν ὁμοῦ καὶ μηδ' αὐτῷ τινα αἰτίαν ἐπιφέρον, ὡς καταπροδιδοίη τὰ Ῥωμαίων." Ἑλένη μὲν οὖν ἡ Κράλη γαμετὴ τοιαῦτα συνεβούλευεν ἐπ' ἐκκλησίας. τοῦ δὲ ἀνδρὸς μετὰ τὸ παύσασθαι ἐκείνην λέγουσαν τοῖς ἐν τέλει τὴν βουλὴν προτιθεμένου, καὶ εἴ τίς τι βέλτιον ἔχει κελεύοντος τοῖς εἰρημένοις προστιθέναι, Λίβερος ὁ πρώτως βασιλεῖ συντυχών, τῶν ἄλλων τῶν ἐν τέλει μάλιστα· ὢν ὁ δυνατώτατος καὶ φιλίως ἄγαν διακείμενος πρὸς βασιλέα, „ἀλλ' εἰ μὲν ἀτελῆ τινα" εἶπεν „ἢ πρὸς εὐδοξίαν ὀλίγα συντείνοντα τῇ Τριβαλῶν ἀρχῇ ἡ σὴ γαμετὴ Κράλαινα ἐφθέγξατο, εἶχεν ἄν τις προστιθέναι τὰ ἐνδέοντα. νῦν δ' εἰς τοσοῦτον ἥκει καὶ φρονήσεως καὶ εὐβουλίας, ὡς μήτε τὸν ἄγαν συνετώτατον δοκοῦντα εἶναι, μήτε τὸν εὐνούστατον ἡμῖν βελτίω καὶ λυσιτελέστερα δυνήσεσθαί ποτε βουλεύσεσθαι. ὅθεν αὐτός τε πέπεισμαι καὶ σοὶ παραινῶ, μηδὲν περαιτέρω πολυπραγμονεῖν, ἀλλ' εὐδοξίας πρόφασιν λογισάμενον ἡμῖν εἶναι τὴν βασιλέως ἐνθάδε ἄφιξιν, προθύμως βοηθεῖν." τοιαῦτα μὲν καὶ Λίβερος εἶπεν ὡς ἐν βραχεῖ. οἱ δ' ἄλλοι πάντες οὐδὲν προσέθεντο τοῖς εἰρημένοις, ἀλλ' ὡς καλῶς ἔχουσιν ἐπεψηφίζοντο. Κράλης δὲ καὶ αὐτὸς πολλὰς ὡμολόγει χάριτας τῇ γυναικὶ, ὅτι προσήκοντά τε αὐτῷ, ἀρχὴν μεγάλην περιβεβλημένῳ, καὶ πολλὴν οἴσοντα τὴν εὔκλειαν καὶ ἐβουλεύσατο καὶ ἔπεισε, καὶ τὴν βουλὴν ἐκύρου καὶ αὐτός. ἐν ὅσῳ δὲ τοιαῦτα Κράλης τε καὶ ἡ γυνὴ καὶ οἱ ἐν τέλει περὶ βασιλέως ἐβουλεύοντο, ὅσοι Ῥωμαίων βασιλεῖ παρῆσαν συνεπόμενοι, δείσαντες, μὴ διὰ τὴν ἐκείνου ἔνστασιν ὑπὸ Τριβαλῶν τι περὶ αὐτοὺς κακουργηθῇ, προσελθόντες ἐδέοντο βασιλέως, προσήκοντα τῷ καιρῷ ποιεῖν καὶ μὴ σφόδρα ὑπὲρ τῶν μὴ λίαν ἐνίστασθαι προσηκόντων, ἀλλὰ πρὸς τὴν ἀξίωσιν ἐνδοῦναι τοῖς βαρβάροις, μὴ διὰ ταῦτα ἐξαχθέντες πρὸς ὀργὴν ἀνήκεστα διάθωνται αὐτοὺς κακά. ὁ δὲ αὐτοῖς δριμὺ καὶ βλοσυρὸν ἐνιδὼν ἀφίστασθαι ἐκέλευε καὶ μὴ τοιαῦτα συμβουλεύειν, ἃ πολλὴν ζῶντί τε οἴσει τὴν ἀδοξίαν καὶ μετὰ τελευτήν. οὐ γὰρ ἂν καταπροδοίη τὴν ἀρχὴν Ῥωμαίων, οὐδὲ βαρβάροις ἀνθρώποις ἑκὼν εἶναι ἐγχειρίσαι, εἰ καὶ μείζοσι πολλῷ καὶ δεινοτέροις περιέχοιτο κακοῖς. ἀλλ' οὕτω περὶ αὐτῆς ἐνστήσεται καὶ τὸ δίκαιον αὐτῇ φυλάξει, ὥσπερ ἂν εἰ αὐτοκράτωρ ὢν αὐτῆς καὶ πᾶσαν ὑφ' ἑαυτῷ πεποιημένος, πρὸς Τριβαλοὺς ἢ Μυσοὺς ἤ τινας τῶν ὁμόρων βαρβάρων διαλέγοιτο περὶ σπονδῶν. οἱ μὲν οὖν αὐτίκα πρὸς τὸ αὐστηρὸν τῆς ἀποκρίσεως ἐνδόντες, ὑπεχώρουν.

III, 45. Ὁ Κράλης δὲ ἐκ τῆς βουλῆς πρὸς βασιλέα ἐπανήκων „νενίκηκας" εἶπεν ὑπομειδιῶν „ὦ βασιλεῦ, καὶ πάντας ἔπεισας, πολλῶν χρημάτων καὶ πόλεων μεγάλων τὴν σὴν ἡ-

на за тях, за да ги отнеме. И мисля, че сам той лесно ще се съгласи на това, понеже е справедливо и същевременно няма да бъде обвинен, че е предал ромейската държава." Такъв съвет даваше Елена, жената на краля, на събранието. След като тя престана да говори, и когато мъжът ѝ предложи на знатните да се изкажат, като заповяда, ако има някой да прибави нещо по-добро към казаното, Ливер, който най-напред срещна императора и бе най-знатният сред другите велможи и много обичаше императора, каза: „Ако твоята съпруга, кралицата, бе казала нещо несъвършено и малко подхождащо на държавата на трибалите, някой би могъл да добави нужното. А сега тя прояви толкова мъдрост и благоразумие, че, струва ми се, и този, който се смята, че е най-умният и най-големият доброжелател, не ще може да ни даде по-добър и по-полезен съвет. Ето защо сам се убедих и те съветвам да не приказваме повече, но като сметнеш, че идването на императора при нас е добър случай, да помогнем с желание." Това каза и Ливер накратко. А всички останали не добавиха нищо към казаното, но всички го одобриха като казано добре. А и сам кралят благодари много на жена си, че го бе посъветвала, както трябва, него, който притежава върховната власт, и че го е убедила, че ще спечели голяма слава, и той сам прие съвета. А докато кралят, жена му и знатните се съветваха така за императора, колкото ромеи бяха от свитата на императора, се уплашиха да не пострада от трибалите поради упорството му, и като се приближиха, помолиха императора да постъпва според обстоятелствата и да не иска повече от възможното, а да приеме искането на варварите, за да не би те, разгневени от това, да им причинят непоправими беди. А той, като ги погледна остро и страшно, заповяда им да се отдалечат и да не го съветват да извърши такива неща, които ще бъдат голям позор за живия и след смъртта му. Защото той не би предал ромейската държава, нито би я отдал доброволно в ръцете на варварите дори ако бъде притискан от много по-големи и по-страшни злини. Но ще воюва за нея и ще брани правата ѝ така, както би разговарял за мир с трибали или с мизи или с някои от съседните варвари, ако би бил не неин самодържец и би имал цялата власт в ръцете си. Наистина те веднага се стъписаха пред строгия отговор и отстъпиха.

III, 45. А кралят, връщайки се от съвета при императора, каза усмихнат: „Ти победи, царю, и убеди всички ни да предпочетем твоето приятелство пред много пари γεῖσθαι φιλίαν προτιμοτέραν. ὅθεν καὶ πάντας τοῖς τῆς σῆς φιλίας δήσας ἀπήγαγες δεσμοῖς, καὶ πάντες ὥσπερ ἐξ ἑνὸς συνθήματος καὶ χρήματα ἀναλοῦν καὶ πάντα πόνον ὑπὲρ σοῦ προθύμως εἱλόμεθα ὑφίστασθαι. τοιγαροῦν σὲ μὲν χρεὼν τὰ κατὰ γνώμην ἐπιτάττειν, ἡμᾶς δὲ τὰ ἐπιτεταγμένα πράττειν πάσῃ προθυμίᾳ καὶ σπουδῇ." ἠξίου τε, ὥσπερ ἐβουλεύσατο μετὰ γυναικὸς καὶ τῶν ἐν τέλει, ὅρκους παρασχέσθαι τοῦ τε σύμμαχον καὶ φίλον βέβαιον διὰ βίου παντὸς αὐτοῖς μενεῖν καὶ τοῦ μηδεμίαν τῶν νυνὶ κατεχομένων πόλεων ὑπ' αὐτοῦ, ἃς αὐτός τε καὶ πατὴρ, τοῦ τε Ῥωμαίων βασιλέων πρὸς ἀλλήλους πολέμου κεκινημένου καὶ ὕστερον Ἀνδρονίκου τοῦ νέου βασιλέως ἔτι περιόντος, αὐτὸς ἔχει ἀφελόμενος, ἀπαιτήσειν καταστάντα πρὸς τὴν ἀρχὴν, ὡς προσηκούσας τοῖς Ῥωμαίων βασιλεῦσιν. ὁ βασιλεὺς δὲ πρὸς μὲν τὸ πεπεῖσθαι προῖκα καὶ φιλοτιμίας μόνης ἕνεκα καὶ φιλίας τῆς εἰς αὐτὸν ἐπικουρεῖν ἔφασκεν, οὐκ αὐτῷ μόνον, ἀλλὰ καὶ γυναικὶ καὶ τοῖς ἐν τέλει πολλὰς χάριτας ὁμολογεῖν, ὡς ψήφῳ κοινῇ τὰ τοιαῦτα ἑλομένοις. περί γε μὴν τῶν ὅρκων, οὓς ἀξιοῦσιν ἐπὶ τῷ μὴ παρενοχλεῖν ὑπὲρ τῶν ἄχρι νυνὶ κατεχομένων ὑπ' ἐκείνων πόλεων παρασχέσθαι καταστάντα ἐπὶ τῆς ἀρχῆς, μάλιστα ποιήσειν τὴν γνώμην φανεράν. εἰ μὲν γὰρ ἔτι νῦν ὑπὸ Ῥωμαίοις ἦσαν καὶ διασώζειν ἑαυτὰς ἠδύναντο, οὐκ ἂν οὐδ' αὐτὸς προήκατο, ὥσπερ οὐδὲ τὰς ἄλλας, ἀλλ' εἵλετο ἂν μᾶλλον πρότερον ἀποθανεῖν, ἢ ἀγεννές τι καὶ ἀνελεύθερον ἀνασχέσθαι. εἰ δ' ἔτεσι πρότερον, αἱ μὲν πλείοσιν, αἱ δ' ἐλάττοσι, βασιλέων ἔτι τῶν Ῥωμαίων περιόντων, ταύτας ἀφελόμενοι ἔχετε αὐτοὶ, οὐδ' αὐτῷ τινα μέμψιν τὸ προέσθαι τὰς κατεχομένας ἐπαγάγοι. καὶ συνέθετο ὅρκους παρασχέσθαι· ἐκεῖνο μέντοι, ἔφασκε, χρὴ σκοπεῖν, ὡς ἂν μὲν ἡ εἰρήνη διασώζοιτο καὶ αἱ σπονδαὶ, αὐτῶν μὴ παρασπονδούντων. αὐτὸς γὰρ παντὶ τρόπῳ τηρήσει τοὺς ὅρκους, οὓς ὀμόσεται, οὐδ' ὑπὲρ τῆς χώρας καὶ τῶν πόλεων, αἳ πρότερον ὑπὸ Ῥωμαίοις ἦσαν, οὐδὲν παρενοχλήσει καὶ αὐτός. εἰ δ' αὐτοὶ πρὸς πόλεμον πρότεροι χωρήσουσιν ἀδικοῦντες καὶ παρασπονδοῦντες, οὐκ ἐκείνων μόνων, ὑπὲρ ὧν οἱ ὅρκοι, οὐκ ἀφέξεται, εἰ δύναιτο, ἀλλὰ καὶ τὰς ἄνωθεν ὑπηκόους Τριβαλοῖς παραστήσεται, ἂν ἐξῇ, ὥσπερ καὶ αὐτοὶ τὰς Ῥωμαίων πάσας, εἰ δύναμις πρὸς τὴν ὁρμὴν παρείη. Κράλης δὲ καὶ ὅσοι παρῆσαν τῶν Τριβαλῶν ἐξεπλήττοντό τε καὶ διὰ θαύματος ἦγον βασιλέα, ὅτι οὐδὲν ἀγεννὲς οὐδὲ πεπλασμένον διὰ τὰς περισχούσας τύχας, ἀλλὰ πάντα ἀληθῶς καὶ ὡς εἶχε διανοίας ἀπεφθέγγετο. ἡ μὲν οὖν συμμαχία τοῦτον εἶχε τὸν τρόπον. ὅρκοι δὲ ἦσαν οἱ ἐπὶ τούτοις, ὥστε βασιλέα Καντακουζηνὸν καὶ Κράλην φίλους

и големи градове. Затова ни спечели всички, като ни окова във веригите на твоето приятелство, и всички единодушно предпочетохме на драго сърце да харчим средства и да понасяме всички трудности заради теб. Ето защо ти трябва да заповядваш, както намериш за добре, а ние с голямо желание и старание да изпълняваме нареденото.“ Той молеше, както бяха взели решение с жена си и със знатните, да положи клетва, че ще им остане съюзник и сигурен приятел завинаги и когато застане начело на властта, не ще си иска обратно, като принадлежащи на ромейските императори, нито един от притежаваните сега от него градове, които той и баща му са отнели, когато се водеше война между ромейските императори и по-късно, когато бе жив още младият император Андроник. А императорът казваше,че благодари много не само нему, но и на жена му и на велможите, затова че са се съгласили да му помогнат безвъзмездно, само от чувството за дълг и заради приятелството, което те решиха единодушно. Относно клетвите, които те искат да даде,че като застане начело на властта няма да претендира за градовете, които сега се намират под тяхна власт, щял да си каже най-откритото мнението. Защото ако бяха все още под ромейска власт и можеше да си ги запази, той сам не би ги пожертвувал, както и другите, но би предпочел по-скоро да умре отколкото да понесе нещо срамно и долно. А ако те са ги отнели, едните преди повече години, а другите преди по-малко години, докато ромейските императори все още бяха живи, той не би бил упрекван,че е загубил владени от тях градове. И той са съгласи да се дадат клетви. Каза, че трябва да се помисли за това, как да се запази мирът и договорите, без да ги нарушават. Защото той сам на всяка цена ще пази клетвите, които ще даде, и сам не ще досажда за земята и градовете, които преди това са били ромейски. А ако те сами първи потеглят на война, постъпвайки несправедливо и нарушавайки договора, той не щял да пощади, ако можел ,не само онези градове, заради които се е клел, но ако е възможно, щял да си подчини и градовете, подвластни на трибалите открай време, както сами те биха си подчинили всички ромейски градове, ако разполагаха с войска за нападението. А кралят и колкото присъстваха от трибалите се удивляваха и чудеха на императора, че въпреки тежкото си положение не казвал нищо недостойно или лъжливо, но всичко откровено и разумно. Военният съюз стана по този начин. Клетвите се дадоха при условие , че император Кантакузин и кра-

εἶναι διὰ βίου καὶ συμμάχους, καὶ μηδένα τὴν ἀλλήλων κακοῦν μήτε τέχνῃ, μήτε μηχανῇ μηδεμιᾷ, ἀλλὰ βασιλέα μὲν τὸν Καντακουζηνὸν, ὧν ὁ Κράλης γέγονε κύριος πόλεων Ῥωμαίοις ὑπηκόων, ἢ παρὰ πατρὸς παραλαβὼν, ἢ αὐτὸς ἁρπάσας ἔτι περιόντος βασιλέως Ἀνδρονίκου, μηδεμίαν μήτε ἀπαιτεῖν, μήτε πόλεμόν τινα κινεῖν περὶ αὐτῶν· τὰς δὲ ἐπιλοίπους, ὅσαι νῦν ἔτι ὑπὸ τὴν Ῥωμαίων τελοῦσιν ἡγεμονίαν, ἔχειν αὐτὸν καὶ μηδεμίαν ἀφαιρεῖσθαι Κράλην μήτε τέχνῃ, μήτε μηχανῇ μηδεμιᾷ, ἀλλὰ συμμαχεῖν μόνον βασιλεῖ ἐπὶ τῷ ταύτας καταδουλοῦσθαι. καὶ ὅσαι μὲν αὐτῶν ἢ ὅπλοις ἁλῶσιν, ἢ ὁμολογίᾳ προσχωρήσουσι παρόντος βασιλέως, ταύτας ἔχειν βασιλέα καὶ Τριβαλοὺς ἀδικεῖν μηδέν· ἂν δ' ἀπόντος βασιλέως, ἢ αὐτὸς Κράλης ἢ ὅπλοις ἢ ὁμολογίᾳ ἢ χρήμασι τοὺς κατοικοῦντας διαφθείρας, ἢ τῶν ὑπ' αὐτὸν δυνατῶν τις πόλιν παραστήσεται τῶν Ῥωμαίοις ὑπηκόων, καὶ ταύτην εἶναι βασιλέως καὶ ἀποδιδόναι ἀπαιτοῦντι, μηδὲν πολυπραγμονοῦντας. αὐτὸν δὲ Κράλην πολέμιον εἶναι Ἄννῃ τε τῇ βασιλίδι καὶ τῷ υἱῷ Ἰωάννῃ τῷ βασιλεῖ καὶ σπένδεσθαι μηδέποτε, ἀλλὰ κακοῦν κατὰ τὸ δυνατὸν βοηθοῦντα Καντακουζηνῷ τῷ βασιλεῖ, τρόπῳ ὁποίῳ ἂν δύναιτο ἰσχυροτάτῳ. καταστάντος δὲ καὶ Καντακουζηνοῦ βασιλέως ἐπὶ τῆς ἀρχῆς, Κράλη συμμαχεῖν κατὰ τὸ δυνατὸν, ἄν τις ἐπίῃ ἐπ' αὐτὸν, καὶ πολέμιον ἡγεῖσθαι τὸν αὐτῷ ἐπιστρατεύσοντα. γενομένου δὲ καὶ περὶ Χρέλη τοῦ Τριβαλοῦ λόγου οὐκ ὀλίγου, καὶ Κράλη μὲν αὐτὸν ἀντιποιουμένου διὰ τὸ ὁμόφυλον, βασιλέως δὲ ὡς ἔτι Ἀνδρονίκου περιόντος τοῦ βασιλέως αὐτομολήσειεν ἰσχυριζομένου, καὶ νῦν οὐ μόνον ὑπὸ τὴν Ῥωμαίων τελοίη ἡγεμονίαν, ἀλλὰ καὶ ἰδίως αὐτῷ προσχωρήσοι καὶ ἕλοιτο πράττειν τὰ αὐτοῦ, προσέτι δὲ καὶ ὅρκους ὑποδεικνύντος, δι' ὧν συνέθετο ὁ Χρέλης δουλεύειν Καντακουζηνῷ τῷ βασιλεῖ, ἐπεὶ δίκαια ἐδόκει λέγειν, συνέθετο καὶ ὁ Κράλης καὶ προσεγράφετο καὶ αὐτὸς τοῖς ὅρκοις. οἱ μὲν οὖν ὅρκοι οὕτως ἐγράφοντο. ἔδει δὲ καὶ τὸν ἀρχιεπίσκοπον τῶν Τριβαλῶν παρεῖναι, ὡς γενησομένων ἐπ' αὐτοῦ τῶν ὅρκων. καὶ μεταπεμψαμένου τοῦ Κράλη, παρῆν καὶ αὐτὸς οὐκ ἐν μακρῷ. ἐπεὶ δὲ παρῆν ἐν τῇ οἰκίᾳ Κράλη, ἐκεῖνος μὲν ἄχρι τοῦ μέσου προελθὼν τῆς αὐλῆς, ἐπελάβετό τε τῶν χαλινῶν τοῦ ἵππου, ᾧ ὠχεῖτο ὁ ἀρχιεπίσκοπος, καὶ προήγαγεν ἄχρι οὗ εἰώθει ἀποβαίνειν, ἔπειτα προσαγορεύσας, εὐλογεῖτο παρ' ἐκείνου. βασιλέα δὲ οὐκ εἴασε τῶν οἰκημάτων προελθεῖν, ἀλλὰ κατὰ τὸ Ῥωμαίων βασιλέων ἔθος ὑπήντα τε ἔνδον τοῦ οἰκήματος καὶ προσαγορεύσας εὐλογεῖτο καὶ αὐτός. μελλόντων

лят са приятели и съюзници завинаги, че никой от тях няма да напада страната на другия с измама, нито по друг начин, че император Калтакузин няма да си иска обратно нито от подвластните на ромеите градове, на които кралят е бил станал господар, било като ги е получил от баща си или като сам си ги е заграбил, докато бе жив още императорът Андроник, и че няма да започва война заради тях. А останалите, колкото все още се намират под ромейска власт, ще ги владее той и кралят да не заграбва нито един от тях, нито с измама, нито по друг начин, но сам да съдейства на императора да ги владее. И колкото от тях бъдат превзети с оръжие, или доброволно минат на страната на сегашния император, тях да ги владее императорът и трибалите да не им навреждат в нищо. Ако ли в отсъствието на императора или самия крал или някой от подчинените му било с оръжие, било доброволно или като подкупи жителите, завладее някой от подчинените на ромеите град, и този град да бъде на императора и да го върне обратно, ако си го поиска, без никакви разправии. А сам кралят да бъде враг на императрица Ана и на сина ѝ императора Йоан и никога да не сключва договор (с тях), но да им вреди според възможностите си, като помага на император Кантакузин по най-възможен начин. И когато император Кантакузин застане начело на властта, да помага на краля според силите си, ако някой го нападне, и да смята за неприятел този, който ще се опълчи срещу него. Те поприказваха доста за трибала Хрельо, когато (кралят) претендираше за него като сънародник, а императорът твърдеше, че той бил минал на страната на ромеите още когато бил жив император Андроник, и че сега се намирал не само под ромейска власт, но е минал на негова страна и е пожелал да му служи. Освен това, понеже император Кантакузин посочи и клетвите, с които Хрельо се е съгласил да му служи, и кралят се съгласи и сам подписа клетвите, понеже смяташе, че той говори истината. Прочее клетвите така се съставиха. Трябваше да присъствува и архиепископът на трибалите, понеже клетвите щяха да се произнесат пред него. Кралят прати да го повикат и той пристигна наскоро. А когато пристигна в двореца, кралят отиде до средата на двореца, взе поводите на коня, на който архиепископът яздеше, и го доведе до мястото, където обикновено слизаше. После той го поздрави и бе благословен от него. Той не позволи императорът да излезе от покоите, но по обичая на ромейските императори го срещна вътре и като го поδὲ ἤδη εἰς τὴν ὑστεραίαν ὀμνύειν τοὺς ὅρκους, πέμψας ὁ Χρέλης πρὸς Κράλην, πίστεις ᾔτει, ὡς αὐτός τε δουλεύσων αὖθις καὶ Μελενίκον παραδώσων. Χρέλης γὰρ μάλιστα μὲν ἠβούλετο βασιλέα τὸν Καντακουζηνὸν τὴν Ῥωμαίων ἔχειν ἀρχὴν καὶ ὑπ' ἐκείνου ἄγεσθαι· διακινδυνεύειν δὲ οὐκ ἤθελεν ὑπὲρ ἐκείνου. ἐπεὶ δὲ συμβαίη τὰ κατὰ Γυναικόκαστρον περὶ βασιλέα καὶ ἀφίκοιτο εἰς Τριβαλοὺς, νομίσας ὑπὸ Κράλη βιαζόμενον ἑτέρων τέ τινων Ῥωμαίοις προσηκόντων ἀνάγκῃ παραχωρήσειν καὶ ἐκεῖνον παραδώσειν, (ᾔδει γὰρ οὐ περὶ ἐλάττονος τιθέμενον Κράλην τὴν αὐτοῦ ἀποστασίαν,) καὶ δείσας, μὴ καὶ αὐτὸς ἐκ τῆς εἰς βασιλέα παραπόληται φιλίας, ἐσκέψατο, εἰ δύναιτο Μελενίκον κατασχεῖν, ἵν' αὐτῷ πρὸς Κράλην ἀρκοῦσα παραίτησις εἴη τῆς ἀποστασίας παραδόντι. συνιδὼν δὲ, ὡς ὅπλοις μὲν οὐκ ἂν εἴη ἁλωτὸς διὰ τὴν ἄγαν φυσικήν τε καὶ κατεσκευασμένην ὀχυρότητα, σίτου δὲ ἐνδείᾳ μᾶλλον, πρῶτα μὲν ἐκώλυσε σῖτον εἰσκομίζειν, ἔπειτα δὲ ἐπέκειτο καὶ φανερῶς πολεμῶν. Ἀσάνης δὲ καὶ ἡ περὶ αὐτὸν φρουρὰ ὁρῶντες, ὡς οὐκ ἀντισχήσουσι πρὸς τὴν πολιορκίαν διὰ σίτου ἀπορίαν, (βασιλεῖ γὰρ διὰ τὰ συμβεβηκότα βοηθεῖν οὐκ ἐνῆν,) συμβὰν δέ τι καὶ ἕτερον περὶ αὐτοὺς, παρέδοσαν τὴν πόλιν Χρέλῃ. ὁ δὲ πρὸς Κράλην πέμψας, διελέγετο περὶ συμβάσεων καὶ προσεχώρει φανερῶς. Κράλης μὲν οὖν ὑπερήσθη τοῖς γεγενημένοις καὶ ὅρκους παρείχετο αὐτίκα Χρέλῃ καὶ ὑπεποιεῖτο. βασιλέα δὲ ἐλύπησεν οὐκ ὀλίγα τὸ συμβάν. εἰς τὴν ὑστεραίαν γὰρ ἐπεὶ ἧκον ὀμόσοντες τοὺς ὅρκους κατὰ τὰς συνθήκας, Κράλης μὲν ἠξίου Μελενίκον τε καὶ Χρέλην τοῖς ὅρκοις μετεγγραφῆναι ὡς προσήκοντας αὐτῷ· πρὶν γὰρ τοὺς ὅρκους γενέσθαι προσεχώρησαν. βασιλεὺς δὲ ἀντέλεγεν, ἀδικεῖν φάσκων Κράλην καὶ παρασπονδεῖν. ἐξ ὅτου γὰρ ἐγένοντο αἱ συμβάσεις, δεῖν ἑκατέρους στέργειν οἷς συνέθεντο. εἰ δ' ἄρα καὶ μέτριά τινα ἐθέλοι ἀδικεῖν, Χρέλην μὲν ἔχειν, ὁμόφυλόν τε ὄντα καὶ ὀλίγῳ πρότερον αὐτομολήσαντα Ῥωμαίοις, Μελενίκον δὲ ἐᾷν, ἐξ ἐτῶν ἤδη παλαιῶν ὑπήκοον ὄντα τοῖς Ῥωμαίων βασιλεῦσι. Κράλης δὲ οὐχ ἑτέρῳ ἔφασκεν, ἀλλ' αὐτῷ χρήσεσθαι διαιτητῇ περὶ ὧν ἀμφισβητοῦσι. τοὺς μὲν γὰρ ὅρκους τοὺς περὶ τῶν σπονδῶν τῇ προτεραίᾳ γεγράφθαι, οἷς ἐγγέγραπται,

здрави, благослови и него. Понеже на следния ден възнамеряваха да произнесат клетвите, Хрельо проводи пратеници при краля и поиска гаранции, за да му се подчинява занапред и да предаде Мелник. Защото Хрельо много искаше император Кантакузин да притежава ромейската власт и да му бъде подвластен. Но не желаеше да се подхвърля на опасност заради него. А след като се случиха тия неща с императора при Гинекокастрон и той пристигна при трибалите, Хрельо прецени, че императорът, принуден от краля и от други някои задължения на ромеите, по необходимост ще отстъпи и ще предаде и него. Той знаеше, че кралят се сърдеше много на отцепването му. И като се уплаши и сам той да не загине поради приятелството си към императора, обмисли дали не би могъл да завземе Мелник, та като му го предаде, да има достатъчно извинение пред краля за отцепването си. А като видя, че не може да бъде завзет с оръжие, понеже бе твърде много укрепен природно и изкуствено, но по-скоро поради недостиг на провизии, най-напред попречи да докарат храна, а след това потегли и открито почна сражение. А Асен и стражата около него, виждайки, че не ще устоят на обсадата поради липса на храна (защото императорът не можеше да помогне поради случилото се), а и нещо друго се бе случило около тях, предадоха града на Хрельо. А той проводи пратеници при краля и му разказа за случилото се и премина открито на негова страна. Кралят немалко се зарадва на станалото и даде исканите клетви на Хрельо и го прие за свой подчинен. Случилото се наскърби немалко императора. Защото на другия ден, когато дойдоха, за да положат клетвите според уговорката, кралят помоли да бъдат вписани в клетвите Мелник и Хрельо като принадлежащи нему. Защото те са минали на негова страна, преди да се положат клетвите. А императорът възрази, като каза, че кралят постъпва несправедливо и нарушава договора. Защото от момента, когато е сключен договорът, и двете страни трябва да спазват това, за което са се споразумели. Ако би желал да постъпи умерено несправедливо, да задържи Хрельо, който му е сънародник и малко преди това бе избягал при ромеите, но да остави Мелник, който още от старо време бе подвластен на ромейските императори. А кралят казваше, че ще използува за съдия относно спорните неща не друг, а самия него. Защото клетвите относно договора са били написани предния ден, в него е записано, τὰς μὲν ἡρπασμένας αὐτῷ ἐκ τῆς Ῥωμαίων ἡγεμονίας πόλεις ἔχειν καὶ μηδεμίαν ἀπαιτεῖσθαι παρ' αὐτοῦ, τὰς δ' ἔτι τελούσας ὑπὸ Ῥωμαίοις βασιλέα ἔχειν· ὥστ' οὐκ ἂν ἀδικοίη, πολλαῖς πρότερον ἡμέραις ἢ γενέσθαι τὰς τοιαύτας συμβάσεις Χρέλη μετὰ Μελενίκου προσχωρήσαντος, ὡς ἐκ τῶν ἐκείνου γραμμάτων ἐγίνετο καταφανές. βασιλεὺς δὲ πρός τε τὸ πείθειν ὁμοῦ διὰ τὰς τοιαύτας εὑρεσιλογίας καὶ πρὸς τὸ βιάζεσθαι ἔχων ἀδυνάτως, παρεχώρησε καὶ ἄκων, καὶ ἐγένοντο οἱ ὅρκοι ἐπὶ τούτοις. μετὰ δὲ τοὺς ὅρκους ὁ Κράλης τῶν ἐν τέλει τοὺς δυνατωτάτους αὐτοῦ συναγαγὼν τέσσαρας ὄντας πρὸς τοῖς εἴκοσι, τέσσαρας μὲν αὐτὸς κατεῖχε, τοὺς δὲ εἴκοσι παρεδίδου βασιλεῖ ἅμα ταῖς ὑπ' ἐκείνους στρατιαῖς, ὡς πάντα προθύμως, ἅπερ ἂν κελεύῃ βασιλεύς, ποιήσοντας. ἐκεῖνος μὲν οὖν ἅμα Τριβαλοῖς παρεσκευάζοντο ὡς ἀφιξόμενοι εἰς Διδυμότειχον. ἡ δὲ ἐν Θεσσαλονίκῃ στρατιὰ ἐπεὶ ἀπῆραν ἡγουμένου Συργῆ, πρὸς Ῥεντίναν ἐστρατοπεδεύσαντο, ὁ δὲ ἐν τῷ φρουρίῳ δῆμος, ἐπεὶ ἐπύθετο Καντακουζηνὸν τὸν βασιλέα πρὸς τὴν γῆν τῶν Τριβαλῶν ἀφιγμένον κατὰ συμφοράν, παρῆν δὲ καὶ Συργῆς μετὰ τῆς στρατιᾶς, ἐπιτίθενται τοῖς διακοσίοις, οὓς κατέλιπεν ὁ βασιλεὺς φρουρεῖν ἅμα ἡγεμόνι, καὶ κρατήσαντες, αὐτούς τε παρέδοσαν καὶ τὸ φρούριον Συργῇ. ὁ δὲ τῇ συνήθει χρησάμενος ὠμότητι, ἵππους τε καὶ ὅπλα ἀφελόμενος καὶ τῶν ἄλλων, ὧν εἶχον, ἀπογυμνώσας, ἔπειτα πληγὰς ἑκάστῳ διακοσίας ἐπετίθει πάντων ὁρώντων, μηδένα παραλιπών, τὸ ἀπ' ἐκείνου δὲ κατακλείσας ἐν δεσμωτηρίοις, καὶ τῶν πολιτῶν τοὺς δυνατούς, ὡς τὰ Καντακουζηνοῦ τοῦ βασιλέως ᾑρημένους, πάντων ἀποστερήσας τῶν ὄντων καὶ τιμωρησάμενος οὐ μετρίως, ἐνίων δὲ καὶ καταψηφισάμενος φυγήν, ἦλθεν εἰς Φεράς.

(II, pp. 260_{11}—270_{15})

че градовете, отнети от ромейската държава, остават за него и че няма да му се иска обратно нито един, а тези, които все още са подвластни на ромеите, да ги притежава императорът. Така че не би се постъпило несправедливо, понеже Хрельо заедно с Мелник е минал на негова страна много дни преди да се сключат тези споразумения, както стана ясно от съдържанието им. А императорът, понеже не можеше нито да го убеди с подобни хитроумни доводи, нито да го принуди, отстъпи, макар и неохотно, и клетвите се положиха при тия условия. А след клетвите кралят, като събра двадесет и четирима от най-знатните си първенци, сам задържа четирима, а двадесет предаде на императора заедно с подчинените им войски, за да вършат на драго сърце всичко, каквото им заповядва императорът. А той заедно с трибалите се приготви да потегли за Димотика. Войската пък в Солун, начело със Сирги, потегли и се разположи на лагер при Рендина. А народът в крепостта, като узна, че император Кантакузин е пристигнал в страната на трибалите поради тежкото си положение, а и Сирги беше там, нападна двестата души, които императорът остави заедно с военачалника на гарнизона, и като ги надви, предаде тях и крепостта на Сирги. А той, служейки си с обичайната жестокост, им отне конете и оръжието и като ги лиши от другите неща, които имаха , наложи на всеки един без изключение пред погледа на всички по двеста удара. След това ги хвърли в затвора. Той лиши и знатните от гражданите от всички имущества, понеже държели за партията на император Кантакузин и като ги наказа строго и осъди някои на изгнание, отиде във Фере.

35. *Cantacuzenus imperator ad Edessam a Tribalorum rege obsesam venit. Tatari totam Thraciam pervagantur*

35. *Императорът Кантакузин пристига при Едеса, обсадена от сръбския крал. Татари опустошават цяла Тракия*

III, 51. Βασιλεὺς δὲ ὁ Καντακουζηνὸς ἐπεὶ ἐκ Φερῶν ἀνέστρεψεν εἰς Ἔδεσσαν ἐλθών, ἣν περιεστρατοπεδευμένος ὁ Κράλης ἐπολιόρκει, τὴν μὲν πολίχνην εὗρε προσχωρήσασαν ἐκείνῳ χρήμασι διαφθείραντι τοὺς ἔνδον. ἀναμιμνήσκων δὲ τῶν ὅρκων καὶ τῶν συνθηκῶν τῶν πρὸς αὐτόν, οἷς ἐνεγέγραπτο, εἰ πόλιν τινὰ τῶν Ῥωμαίοις ὑπηκόων, καὶ ἀπόντος βασιλέως, ἢ ὅπλοις ἢ τρόπῳ δή τινι ὑποποιήσαιτο, ἀποδιδόναι βασιλεῖ, ᾔτει τὴν πολίχνην. ὁ Κράλης τε παρείχετο ἑτοίμως, φάσκων

III, 51. А император Кантакузин, като се върна от Фере, пристигна в Едеса, която кралят обсаждаше, като се бе разположил на лагер около нея. Той разбра, че градчето е минало на негова страна, понеже бе подкупил обитателите му. Като припомни клетвите и договорите с него, в които бе написано, че ако си подчини някой от подвластните на ромеите град, дори в отсъствието на императора, било с оръжие, било по някакъв друг начин, трябва да го върне на императора, той си поиска градчето. Кралят с готовност го върна, като каза, че ще изпълни всичко обещано и че πάντα τὰ ὑπεσχημένα πράξειν καὶ ὅπλοις καὶ χρήμασι καὶ πάσῃ δυνάμει συμμαχήσειν. βασιλεὺς δὲ τότε πρὸς τὴν πολίχνην μένειν αὐτὸς ἀλυσιτελὲς ὁρῶν, (περὶ γὰρ τῆς εἰς Διδυμότειχον ἐπανόδου πᾶσα ἦν αὐτῷ ἡ σπουδή,) ἔκ τε τῶν οἰκείων φρουρὰν ἀξιόλογον μὴ δυνάμενος καταλείπειν, ὀλίγων τε ὄντων τῶν συνεπομένων καὶ μὴ πειθομένων χωρὶς ἐκείνου ἀπολείπεσθαι ἐκεῖ, τὴν μὲν πολίχνην ὡς ἰδίαν καὶ ἄκων κατέλιπε πρὸς Κράλην φυλάττειν ὑπ᾽ ἀνάγκης, ἄχρις οὗ, καιροῦ καλοῦντος, αὖθις ἀπολάβῃ. αὐτὸς δὲ ἅμα Κράλῃ πρὸς τὴν Τριβαλῶν ἀνεχώρουν γῆν. Ἀπόκαυκος δὲ ὁ μέγας δοὺξ ἐπεὶ πύθοιτο ἐκ Φερῶν ἀνακεχωρηκότα βασιλέα μετὰ Τριβαλῶν, ὑποπτεύσας τοὺς ἐν Διδυμοτείχῳ σφόδρα τεθορυβῆσθαι καὶ πρὸς διχοστασίαν ἔσεσθαι ῥᾳδίους καὶ διὰ ταῦτα παραστήσεσθαι ἐλπίσας, στρατιὰν ὅση ἦν ἐκ Βυζαντίου καὶ τῶν κατὰ Θρᾴκην πόλεων συναγαγὼν πεζήν τε καὶ ἱππικήν, κατὰ Διδυμότειχόν τε ἐγένετο καὶ προσῆγε λόγους περὶ παραδόσεως. ὡς δ᾽ ἐκεῖνοι παρεδέχοντο οὐδαμῇ τοὺς λόγους, τὸ μὲν τειχομαχεῖν ἀπεγίνωσκε, διά τε καρτερότητα τειχῶν καὶ εὐψυχίαν καὶ τόλμαν τῶν ἐχόντων ἀνάλωτον νομίζων· τὸ Ἐμπυθίου δὲ φρούριον περιστρατοπεδευσάμενος, ἐπολιόρκει καὶ μηχαναῖς ἐχρῆτο καὶ τειχομαχίαις, περὶ πλείονος τὸ παραστήσασθαι ποιούμενος. ἐπεχείρει δὲ κρύφα καὶ τοῖς ἐν Διδυμοτείχῳ, εἰ δύναιτο πείθειν τὴν πόλιν παραδοῦναι· ἤνυε δὲ οὐδέν. ἀφιγμένου γὰρ τινος παρὰ βασιλέως καὶ μεμηνυκότος, ὡς οὐκ ἀληθῆ τὰ περὶ ἐκείνου εἰρημένα εἴη, ἀλλ᾽ ὑποστρέψειε μὲν διὰ τὴν περὶ τὴν στρατιὰν συμβᾶσαν νόσον, αὖθις δὲ παρασκευάζοιτο ὡς ἀφιξόμενος, ἀνεθάρσησάν τε καὶ ἕτοιμοι ἦσαν ὡς ὑπὲρ ἐκείνου πάντα καὶ πεισόμενοι καὶ πράξοντες. ὁ μέγας δὲ δοὺξ ὀλίγα τῇ τοῦ Ἐμπυθίου ἐνδιατρίψας πολιορκίᾳ, ἐπεὶ πύθοιτο ἀθρόον στρατιὰν Σκυθικὴν εἰς τὴν Ῥωμαίων ἐμβεβληκυῖαν, ἀσυντάκτως ὑπὸ δέους τῆς πολιορκίας ἀπαναστὰς, πρὸς Ἀδριανούπολιν ἐχώρει σπουδῇ πολλῇ. οἱ δὲ ἐν Διδυμοτείχῳ τὴν ἀταξίαν ὁρῶντες τῆς τῶν Ῥωμαίων στρατιᾶς καὶ νομίσαντές τι περὶ αὐτοὺς συμβεβηκέναι τὸ μάλιστα οὕτω θορυβῆσαν, αὐτίκα τε ἐγένοντο εἰς τὸ στρατόπεδον, καί τινων ἐκράτησαν ὀλίγων ἐπιθέμενοι, σῖτόν τε καὶ βοσκήματα καὶ ἄλλας διαρπάσαντες ἀποσκευὰς, εἰσῆγον ἐντὸς τειχῶν. ἐξ ὅτου γὰρ οἱ ἐκ τῆς ἔξωθεν συνοικίας πόλεμον ἀράμενοι πρὸς τοὺς ἔνδον ἀνέστησαν ἡττηθέντες, οὐδ᾽ οἱ ἔνδον γεωργίαις προσεῖχον, εἰδότες ὡς οὐδεμία τις ὠφέλεια ἐκ τούτων ἔσται,

ще му помага и с оръжие, и с пари, и с всичката си сила. А императорът, като видя, че е безполезно той да остане при градчето (защото изцяло бе погълнат от грижа да се върне в Димотика) и като не можеше да остави достатъчен гарнизон от своите хора, тъй като тия, които го придружаваха, бяха малцина и не се съгласяваха да останат там без него, той остави против волята си и по необходимост градчето на краля да го пази като свое, докато отново си го вземе при подходящ момент. А сам заедно с краля се върна в страната на трибалите. А великият дук Апокавк, когато научи, че императорът се е върнал от Фере заедно с трибалите, започна да подозира, че жителите на Димотика са обезпокоени твърде много и са склонни към отцепване. Поради това се надяваше, че ще си ги подчини и затова събра колкото имаше пехота и конница от Византион и от градовете из Тракия, пристигна при Димотика и започна преговори за капитулацията. Когато те не приеха да преговарят, той се отказа от обсадата поради здравината на стените и понеже смяташе, че храбростта и смелостта на обитателите е непобедима. Той обсади крепостта Емпитий, като се разположи на лагер около нея. Той си послужи с обсадни машини и с нападения срещу стените, като държеше много на превземането ѝ. Свърза се тайно и с жителите на Димотика, ако би могъл да ги убеди да предадат града, но не постигна нищо. Защото пристигна някой от страна на императора и съобщи, че не било вярно казаното за него, но че той се бил върнал поради болестта, която сполетяла войската, и че отново се готвел да пристигне, затова те се окуражиха и бяха готови да приемат и да направят всичко заради него. А великият дук се забави малко с обсадата на Емпитий и като се научи, че голяма скитска войска[234] е нахлула в земята на ромеите, от страх безредно вдигна обсадата и с голяма бързина замина за Адрианопол. Жителите в Димотика, виждайки безредието сред ромейската войска и като сметнаха, че се е случило нещо с тях, та затова така много са вдигнали шум, веднага се втурнаха в лагера. И нападайки, те хванаха малцина, разграбиха провизиите, стадата и другия багаж и ги закараха вътре в крепостта. Защото от времето, когато жителите на крайградските села бяха почнали война срещу гражданите и бяха победени, гражданите не се занимаваха със земеделие, понеже знаαὐτῶν πολιορκουμένων καὶ τοὺς ἐπιόντας ἀμύνεσθαι ὑπὲρ αὐτῶν οὐ δυναμένων, ἀλλὰ τὰς πλησίον πόλεις κατατρέχοντες καὶ ληϊζόμενοι διέζων. τότε δὲ παντάπασιν ὑπὸ τῆς στρατιᾶς εἰργόμενοι τειχήρεις, οὐ μετρίως ἐπιέζοντο ἐνδείᾳ. τὸ μέντοι Σκυθικὸν πᾶσαν καταδραμὸν τὴν Θρᾴκην, ἐπεὶ ληΐζεσθαι οὐδὲν ἐνῆν, πρότερόν τε ὑπὸ τοῦ πολέμου τοῦ πρὸς ἀλλήλους τῆς χώρας διεφθαρμένης καὶ τότε, εἴ τι περιῆν ἔτι, εἰς τὰς πόλεις καταφυγόντος, κεναῖς ἀναστρέψαντες χερσὶν, οὐ μακρὰν Σκοπέλου τὴν στρατοπεδείαν ἐποιήσαντο. ὁ δὲ ἐν Σκοπέλῳ δῆμος πυθόμενοι, ὡς Σκύθαι ληϊσάμενοι μηδὲν πρὸς τὴν οἰκείαν ἐπανέρχονται, τῇ συνήθει ἀσυνεσίᾳ παραβόλως ὁρμηθέντες, ὅπλα ὡς εἶχον ἕκαστος ἀράμενοι, ἠνάγκαζον καὶ τὸν τῆς πόλεως ἡγεμόνα Μιχαὴλ παραλαβόντα καὶ τοὺς στρατιώτας, ὅσοι ἦσαν παρ᾽ αὐτοῖς, συμπλέκεσθαι ἐγγὺς οὖσι τοῖς βαρβάροις. τοῦ δὲ πρὸς τὸ τόλμημα ἀπαγορεύοντος καὶ παραινοῦντος ἀπέχεσθαι τῆς πείρας, ὡς θανατοῦντας φανερῶς, οὐ μόνον οὐκ ἐπείθοντο τὰ βελτίω συμβουλεύοντι, ἀλλὰ παρέδοσάν τισι φρουρεῖν, ὡς ἐπειδὰν ἐκ τῆς μάχης ἀναστρέψωσιν, ἀμυνούμενοι αὐτὸν τῆς προδοσίας. οὐ γὰρ ἀδυναμίαν αὐτοῖς συνειδότα μὴ ἐθέλειν στρατηγεῖν ἐπὶ τοὺς πολεμίους, ἀλλὰ χαριζόμενον αὐτοῖς, ὡς ἐκ τῆς Διδυμοτείχου πολιορκίας τὸν μέγαν δοῦκα ἀναστήσασιν, ὅσον οὐδέπω μέλλοντα διὰ τὴν ἔνδειαν αὐτοῦ κρατεῖν. αὐτοὺς δὲ ἐκείνοις ἐπελθεῖν τε καὶ κρατήσειν, οὐ τοῦ πολεμίους εἶναι μόνον, ἀλλὰ καὶ διὰ τὴν εἰς τὸν μέγαν δοῦκα εὔνοιαν. τῷ γὰρ ἐκείνου δέει μηδὲν λυμηναμένους τὴν Ῥωμαίων, πρὸς τὴν οἰκείαν ἀναστρέφειν ἐν ὀλίγῳ χρόνῳ. τοιαῦτα οἱ κακοδαίμονες εἰπόντες καὶ νεανιευσάμενοι, ἐχώρουν κατὰ τῶν Σκυθῶν, κελεύσαντες αὐτοῖς καὶ τοὺς στρατιώτας ἕπεσθαι. οἱ δὲ εἵποντο ἀνάγκῃ, αἱρετώτερον ἡγούμενοι αὐτοὺς, εἰ δέοι, τοῖς βαρβάροις μαχομένους ἀποθνήσκειν, ἢ πανοικεσίᾳ διαφθείρεσθαι ὑπὸ τῶν δημοτῶν. ἐπεὶ δὲ ἐγγὺς τοῦ στρατοπέδου ἦσαν τῶν Σκυθῶν, βοῇ πόῤῥωθεν ἐχρῶντο καὶ ἀλαλαγμοῖς καὶ ἐχώρουν δρόμῳ κατ᾽ αὐτῶν. οὐ γὰρ ᾤοντο ἀντισχήσειν οὐδὲ πρὸς βραχὺ, ἀλλ᾽ ὑποπτήξαντας ἑτοίμους ἑαυτοὺς παρέχεσθαι ἀνδραποδίζεσθαι. διὸ καὶ σχοινία ἕκαστος ἐπεφέροντο τοῦ τοὺς ἁλωσομένους βαρβάρους ἕνεκα δεσμεῖν, ἵνα μὴ διαδιδράσκοιεν ἄδετοι ἀγόμενοι. οἱ Σκύθαι δὲ νομίσαντες στρατιὰν πεζὴν

---

[234] Скитска войска, т.е. татарска войска.

еха, че не ще имат никаква полза от това, ако бъдат обсадени, и не могат да се бранят срещу неприятелите със собствени сили, но живееха от нападения и плячкосване на съседните градове. Тогава, затворени напълно в крепостта от (неприятелската) войска, изпитваха голяма нужда. Скитската войска преброди цяла Тракия и се върна с празни ръце, тъй като нямаше какво да плячкосва — земята вече беше опустошена от гражданска война и ако нещо бе оцеляло, беше изтеглено в градовете. Те се настаниха на лагер недалеч от Скопел.[235] А народът в Скопел, като научи, че скитите, дошли за плячка, са се върнали без нищо в страната си, се втурна безумно с обичайната си безразсъдност — всеки с каквото оръжие имаше. Той принуди и началника на града Михаил да вземе и войниците, колкото бяха при тях, и да влезе в сражение с варварите, които бяха наблизо. Този се отказа от дръзката постъпка и ги съветваше да не предприемат това, понеже явно ще погинат. Те не само не се убедиха в по-добрия му съвет, но повериха на неколцина да го пазят, като щяха да го съдят за предателството, когато се върнат от сражението. Той не желаел да ги поведе срещу неприятелите не защото познавал слабостта на своите, но защото бил благодарен на неприятелите, тъй като те отстранили великия дук от обсадата на Димотика, който насмалко щял да я завладее, поради липса на провизии. А те щели да ги нападнат и да ги надвият не само понеже били неприятели, но и поради благоразположението към великия дук. Защото от страх пред него те не опустошавали никак ромейската земя, а се връщали за късо време в страната си. Нещастниците, като казаха това, постъпиха лекомислено и потеглиха срещу скитите, като заповядаха и на войниците да ги следват. А те ги следваха по необходимост, като предпочетаха да умрат, ако трябва, сражавайки се с варварите, отколкото да бъдат погубени от народа заедно с домовете си. Когато наближиха лагера на скитите, отдалеч си послужиха с викове и крясъци и бегом се втурнаха срещу тях. Те смятаха, че тези изобщо не ще се противопоставят, но като се уплашат, ще се съгласят да бъдат пленени. И поради това всеки носеше въже за връзване на пленените варвари, за да не избягат, ако бъдат водени, без да бъдат вързани. А скитите, като сметнаха, че срещу тях идва пехота, качиха се на конете

---

[235] Скопел, дн. село Ески Полос, Лозенградско, в Източна Тракия.

ἰέναι ἐπ' αὐτοὺς, τῶν ἵππων ἐπιβάντες, ἐξῄγοντο τοῦ στρατοπέδου ὡς μαχούμενοι. οἱ δὲ, ὡς μόνον εἶδον τοῦ στρατοπέδου ἐξιόντας, τοῦ προτέρου φυσήματος ἐπιλαθόμενοι ἐτρέποντο πρὸς φυγήν. ὑπτίου δὲ ὄντος τοῦ πεδίου καὶ ὕλης παντάπασι ψιλοῦ, διαδρᾶναι ἠδυνήθη οὐδὲ εἷς, ἀλλὰ πάντες κατεκόπησαν ὑπὸ τῶν Σκυθῶν πλὴν τῶν ἱππέων. οὗτοι γὰρ διά τε τὸ πολὺ αὐτῶν τοὺς Σκύθας ἔτι ἀφεστάναι, ἡνίκα ἡ τροπὴ ἐγένετο, ἄλλως θ' ὅτι καὶ πρὸς τὸν πεζὸν ἠσχόληντο οἱ βάρβαροι, διασωθῆναι εἰς τὴν πόλιν ἠδυνήθησαν. οὕτως ἡ ἄνοια καὶ ἡ παράλογος ὁρμὴ πρὸς ἀνηκέστους ἐξάγει συμφοράς. Ἀπόκαυκος δὲ ὁ μέγας δοὺξ μετὰ τῶν Σκυθῶν τὴν εἰσβολὴν Ἀνδρόνικον Παλαιολόγον τὸν πρωτοστράτορα, ὃς ἦν γαμβρὸς αὐτῷ, ἄρχοντα συμπάσης ἀποδείξας τῆς στρατιᾶς καὶ τὸν πρὸς Διδυμότειχον ἐπιτρέψας πόλεμον, αὐτὸς εἰς Βυζάντιον ἐπανῆκε. πρωτοστράτωρ δὲ συχνὰς ἐποιεῖτο κατὰ Διδυμοτείχου ἐκδρομὰς καὶ πάλιν ἀνέστρεφε ταχέως. οὐ γὰρ ἦν, ὅ,τι κακώσειε διαφθείρας, οὐδενὸς ὄντος ἔξω τειχῶν. οἱ δὲ ἔνδον στρατιῶται, αὐτοῦ ἀναχωροῦντος, τοὺς περιοίκους ληϊζόμενοι καὶ σῖτον διαρπάζοντες καὶ βοσκήματα, διέφερον τὸν πόλεμον, οὐδὲν ἀγεννὲς οὔτε πράξαντες, οὔτε μελλήσαντες διὰ τὴν ἔνδειαν. ἐπελθόντος δὲ αὐτοῖς τοῦ πρωτοστράτορός ποτε, πέμψας ὁ μητροπολίτης ἐδήλου διὰ γραμμάτων, ὡς ἀνόνητα κόπτονται καὶ ταλαιπωροῦσι διὰ τὸν πρὸς βασιλέα πόλεμον, ᾧ δουλεύσουσι πάντως μετὰ μικρὸν, αὐτοί τε ἀπέραντα πονοῦντες καὶ τοῖς ἄλλοις αἴτιοι γινόμενοι μεγάλων συμφορῶν. παρῄνει τε, αὐτῷ πειθομένους τῶν κακῶν ἀπέχεσθαι. εἰ γὰρ οὐκ ἀποβαίη τοιαῦτα, οἷα ἐγὼ λέγω, ἔφασκεν, οὐ λελάληκε τὸ πνεῦμα τὸ ἅγιον ἐν ἐμοί. τοῦ πεμπομένου δὲ ἀπαγορεύοντος τὴν ἄφιξιν διὰ τὸ δεδοικέναι, μὴ κακῶς ὑπ' ἐκείνων πάθῃ τοιαῦτα ἀπαγγέλλων, ἐκέλευε θαῤῥεῖν, ὡς οὐδὲν ὑποστησόμενον, ἢ πληγὰς ὀλίγας. ἃ καὶ ἀπέβαινεν, ᾗ ἐκεῖνος προηγόρευεν.

(II, pp. 301_1—305_{22})

и излязоха от лагера, за да се сражават. А онези, само като ги видяха да излизат от лагера, побягнаха, забравяйки предишната си гордост. Понеже полето бе равно и напълно лишено от гора, нито един не можа да избяга, но всички освен конниците бяха избити от скитите. А те можаха да се спасят в града, понеже скитите бяха още много далеч от тях, когато започна бягството, а освен това и варварите бяха заети с пехотата. Така безумието и необмисленото нападение довежда до непоправими нещастия. А великият дук Апокавк след нападението на скитите назначи протостратора Андроник Палеолог, който му бе зет, за началник на цялата войска, и му повери воденето на войната срещу Димотика, а сам се завърна във Византион. Протостраторът пък извършваше чести нападения срещу Димотика и отново се връщаше бързо. Защото нямаше какво да опустошава, тъй като извън стените не съществуваше нищо. А когато той се оттегляше, войниците от крепостта водеха войната, като ограбваха живеещите наоколо и разграбваха храните и добитъка, без да извършват нещо благородно, а и нямаха намерение да го извършват поради липса на храни. Когато веднъж протостраторът ги нападна, митрополитът изпрати писмо и съобщи, че напразно се измъчват и теглят поради войната с императора, комуто изобщо ще се подчинят наскоро, страдат безкрайно и причиняват големи нещастия на другите. Той ги подканяше да му повярват, та да се отърват от злините. Защото, казваше той, ако това, което аз говоря, не стане, то у мен не е говорил светият дух. А когато пратеникът отказваше да отиде от страх да не си изпати зле от онези, като им съобщи това, (епископът) заповяда да бъде смел, тъй като нямало да пострада нищо, освен да получи няколко удара. И стана така, както предричаше.

36. Anna imperatrix ad Cralem legatos mittit ut Cantacuzenum imperatorem vinctum tradat

III 52 Ἄννα δὲ ἡ βασιλὶς, ἐπεὶ πύθοιτο Καντακουζηνὸν τὸν βασιλέα πολλῆς εὐνοίας ἀπολαύοντα παρὰ Κράλῃ, παρασκευάζεσθαι αὖθις ὡς εἰς Διδυμότειχον ἐπανήξοντα ἅμα στρατιᾷ, τὸν Λουκᾶν ἀπολεξαμένη Γεώργιον καὶ Μακάριον τὸν μητροπολίτην Θεσσαλονίκης, πρεσβευτὰς ἔπεμπεν εἰς Κράλην καὶ ἐπηγγέλλετο πόλεις παραδώσειν, ὅπας ἂν συμβῶσιν, εἰ μόνον Καντακουζηνὸν πέμψειε δεσμώτην πρὸς

36. Императрица Ана чрез пратеници моли сръбския крал да ѝ изпрати император Кантакузин вързан

III, 52. А императрица Ана, когато научи, че император Кантакузин се ползува с пълното благоволение на краля и се готви отново да се върне с войската си в Димотика, избра Георги Лука и солунския митрополит Макарий и ги проводи като пратеници при краля. Тя обещаваше, че ще предаде градовете, за които биха се споразумели, само ако ѝ прати Кантакузин вързан. А той порица пратеничест-

αὐτήν. ὁ δὲ ἐμέμψατό τε τὴν πρεσβείαν καὶ ἀπηγόρευε φανερῶς, ὡς οὐκ ὀλίγων μόνον πόλεων ἕνεκα, ἀλλ' οὐδὲ συμπάσης τῆς Ῥωμαίων ἀρχῆς τοιοῦτον τολμήσων ἄγος, καὶ ἀπέπεμπεν ἀπράκτους. οἱ δὲ εἰς Βυζάντιον ἐλθόντες, ὀλίγῳ ὕστερον πάλιν ἐπανῆκον. ἔφασκε δὲ ὁ Κράλης, ὡς κατὰ τὴν δευτέραν πρεσβείαν τὰς ἐκ Χριστουπόλεως ἁπάσας ἑσπερίους πόλεις παραδιδοῖεν πλὴν Θεσσαλονίκης, ὡς, εἰ μὴ Καντακουζηνὸν τὸν βασιλέα βούλοιτο παραδιδόναι, ἀλλ' αὐτὸν γοῦν εἵρξαντα κατέχειν ἐν δεσμωτηρίῳ. ὁ δὲ αὖθις ἀπέπεμπεν ἀπράκτους, ἀδύνατα εἰπὼν αἰτεῖν. Ἑλένη δὲ, ἡ τοῦ Κράλη γαμετὴ, καὶ καθήψατο πικρῶς καὶ ἀπέπεμπε πρὸς ὀργὴν, ὡς ἄδικα πρεσβεύοντας καὶ πολλὴν αὐτοῖς τὴν ἀδοξίαν οἴσοντα. ὁμοίως δὲ καὶ οἱ ἐν τέλει πάντες τῶν Τριβαλῶν ἐλοιδοροῦντό τε καὶ πολλὴν αὐτῶν κατεγίνωσκον μωρίαν, εἰ τοιαῦτα πείσειν ἤλπισαν, οὕτω μηδεμίαν ὑπερβολὴν ἐλλείποντα κακίας. πάντες γὰρ ἐφίλουν βασιλέα καὶ οὐδὲν ἠνείχοντο τῶν ἀγόντων βλάβην εἰς ἐκεῖνον, ὥστε καί τις ἐξ αὐτῶν Κοβάτζης ὠνομασμένος φανερῶς ἀντεῖπε καὶ ἠπείλησε θάνατον τοῖς πρέσβεσιν, εἰ μὴ τάχιον ἀπαλλάττοιντο. πολλήν τε αὐτῶν ἀναισθησίαν κατηγόρει, ὅτι τὸν Ῥωμαίων ὀφθαλμὸν οἰκείαις αὐτῶν χερσὶν ἐξορύξαντες αὐτοὶ, προσέτι καταπροδιδόασι καὶ πόλεις καὶ τὴν ἀρχὴν Ῥωμαίων, ἵνα τελέως κατασβέσωσιν αὐτὸν, ὥσπερ δεδοικότες μὴ ἐπανελθόντος αὖθις ἀναβλέψωσιν. ὁ μὲν οὖν οὕτω πρὸς ὀργὴν ἀπέπεμπε. Μακάριος δὲ ὁ Θεσσαλονίκης ἐπίσκοπος, ἐπεὶ ἀνηνύτοις ᾔσθετο ἐπιχειρῶν, βασιλεῖ τῷ Καντακουζηνῷ προσελθὼν, πρῶτα μὲν ἐμέμφετο τῆς περὶ βασιλέα τὸν φίλον ἀγνωμοσύνης, ὅτι τοσοῦτον φιληθεὶς καὶ οὕτω μεγάλων εὐεργετημάτων ἀπολελαυκὼς, τοῖς ἐναντιωτάτοις ἀμείψαιτο τοὺς παῖδας, τῆς ἀρχῆς ἕνεκα ἐπιβουλεύσας καὶ ἀποκτεῖναι διανοηθείς.

(II, pp. 305_{23}—307_{11})

вото и направо отказа и ги отпрати с празни ръце (като каза), че не само срещу няколко града, но и срещу цялата ромейска империя не ще дръзне да извърши толкова голям грях. А те след като се върнаха във Византион, малко по-късно отново пристигнаха. А кралят казваше, че при второто пратеничество те били съгласни да предадат всички градове на запад от Христопол освен Солун, стига само да държи императора Кантакузин хвърлен в затвор, щом не иска да го предаде. А той отново ги отпрати с празни ръце, като каза, че искат невъзможни неща. Елена пък, съпругата на краля, остро ги порица и ги отпрати гневно, понеже предявяват несправедливи искания и неща, които ще им донесат голям позор. Същевременно и всички знатни трибали порицаваха и осъждаха голямата им безрасъдност, ако са смятали, че ще ги убедят (да извършат) такива неща, които се равняват на най-големия позор. Защото всички обичаха императора и с никаква своя постъпка не му причиниха беда. Така че един от тях, на име Ковач, открито възрази и заплаши със смърт пратениците, ако не се махнат по-скоро. Порицаваше голямата им безчувственост, понеже сами със собствените си ръце са изболи окото на ромеите, освен това те предавали и градове, и ромейската държава, за да го унищожат напълно, понеже са се уплашили да не го видят отново, ако се върне. Той прочее така гневно ги отпращаше. А солунският епископ Макарий, когато разбра, че напразно полага усилия, отиде при император Кантакузин, като най-напред порицаваше неблагодарността му към приятеля император, понеже е бил обичан толкова много, а след което е получил толкова големи благодеяния, се бил отплатил на децата (на императора) по най-неблагодарен начин, като заради властта вършел заговор и замислял да ги убие . . .

37. Cantacuzenus imperator Ioannem Angelum praetorem Thessalis facit

III, 53. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους καὶ ἐκ Θετταλίας ἧκον πρέσβεις, καλοῦντες βασιλέα καὶ δεόμενοι ἄρχειν σφῶν. καὶ πρότερόν τε γὰρ ἕτοιμοι ἦσαν ὑπακούειν καὶ τὰ ἐκείνου μᾶλλον ᾑροῦντο, ἢ βασιλίδος, καὶ τότε δὲ ὁμονοήσαντες ἔπεμψαν πρὸς αὐτὸν, καλοῦντες ἐπὶ τὴν ἀρχήν. βασιλεὺς

37. Император Кантакузин назначава Йоан Ангел за управител на Тесалия

III, 53. А по същото време[236] и от Тесалия пристигнаха пратеници, които призоваваха императора и го молеха да ги управлява. Защото и по-рано бяха съгласни да (му) се подчиняват и предпочитаха да вземат по-скоро неговата страна, отколкото страната на императрицата. И тогава, като се съгласиха, проводиха пратеници при него и го призоваваха (да поеме) властта.

---

[236] По същото време, т.е. през 1342 г.

δὲ αὐτοῖς πολλὰς ὁμολογήσας χάριτας τῆς τε προτέρας εὐνοίας καὶ τοῦ νυνὶ προσχωρεῖν ἑκόντας, ἔπειτα ἔφασκεν ἄγνωμον εἶναι δεινῶς, εἰ αὐτῶν πᾶσαν εὐνοίας ὑπερβολὴν ἐνδεικνυμένων, μὴ ὁμοίως καὶ αὐτὸς φαίνοιτο διακείμενος περὶ αὐτοὺς, μηδὲ τὴν διάνοιαν ἀποκαλύπτοι. ὅσα μὲν γὰρ ἐν Γυναικοκάστρῳ συμβαίη περὶ αὐτὸν, καὶ ὡς αὐτός τε καὶ τῶν συνόντων οἱ μάλιστα φιλοῦντες μεγάλοις κινδύνοις περισχεθεῖεν, ἀφισταμένων μὲν τῶν οἰκείων, τῶν πολεμίων δὲ ἐπικειμένων, καὶ ταραχῆς πολλῆς καὶ ἀταξίας τὸ στρατόπεδον κατεχούσης, εἰ μὴ θεὸς ἄνωθεν χεῖρα σώζουσαν ὑπερέσχεν, οὐδ' αὐτοὺς ἠγνοηκέναι οἴεσθαι. ἀνάγκῃ δὲ ἐλθὼν πρὸς Κράλην τὸν ἄρχοντα Τριβαλῶν, πολλῆς ἀπολελαυκέναι παρ' αὐτοῦ καὶ τιμῆς καὶ συμμαχίας παρὰ δόξαν. ὀλίγῳ γοῦν πρότερον στρατιὰν παραλαβὼν πολλήν τε καὶ ἀγαθὴν, ἐπὶ Διδυμότειχον σπεύδειν, ὡς τοῖς ἐκεῖσε φίλοις συνεσόμενος καὶ διαθησόμενος εὖ τὰ κατ' αὐτόν. γενομένου δὲ ἐν Φεραῖς, τούς τε ἡγεμόνας καὶ τὴν στρατιὰν νόσῳ δεινῇ περισχεθῆναι καὶ ἀποθανεῖν αὐτῶν πολλοὺς, ὡς ἐκ τῆς νόσου καὶ πρὸς ἀνάγκην ἐλθεῖν αὖθις ἀναστρέφειν εἰς τὴν Τριβαλῶν ἀρχήν. νυνὶ δὲ παρασκευάζεσθαι, ὡς ἅμα στρατιᾷ εἰς Διδυμότειχον αὖθις ἀφιξόμενος. τοῦτο γὰρ μάλιστα λυσιτελεῖν αὐτῷ πρὸς τὸ κτήσασθαι, εἰ κατὰ γνώμην εἴη θεῷ, τὴν πᾶσαν Ῥωμαίων ἡγεμονίαν. δι' ἃ οὐ δύνασθαι ἥκειν πρὸς Θετταλίαν νῦν. μᾶλλον γὰρ ἀνιάσειν, συγγινόμενος μὲν ἐπὶ μικρὸν, ἐν τάχει δὲ ἀπαίρων πρὸς Θρᾴκην αὖθις. ἀλλ' εἴγε κατὰ γνώμην αὐτοῖς εἴη ὑπ' αὐτὸν τελεῖν, νῦν μὲν ἄρχοντα αὐτοῖς τὸν Ἄγγελον Ἰωάννην ἐφιστᾶν, προσήκοντά τε μάλιστα ἐξ αἵματος καὶ δυνάμενον ἐξηγεῖσθαι καὶ διασώζειν ἀπὸ τῶν πολεμίων, ἄν τινες ἐπίωσι, καὶ συνέσει καὶ εὐψυχίᾳ καὶ ἐμπειρίᾳ τῇ πρὸς τοὺς πολέμους. αὐτὸν δὲ γενόμενον ἐν Διδυμοτείχῳ, εἰ μή τι κωλύοι δυσχερὲς, πρόνοιαν αὐτῶν ποιήσεσθαι, ὅση δυνατὴ, καὶ πᾶσαν ἐνδείξεσθαι ὑπὲρ αὐτῶν καὶ προθυμίαν καὶ σπουδήν. τοιαῦτα μὲν πρὸς τοὺς πρέσβεις ἀπεκρίνατο. ἐκέλευέ τε καὶ τοῖς ἐν Θετταλίᾳ ἀπαγγείλαντας, εἰ πείθοιντο, εἰς ἔργον ἄγειν· φιλοφροσύνην τε αὐτῷ προσήκουσαν περὶ αὐτοὺς ἐπιδειξάμενος, συνεξέπεμπε καὶ τῶν οἰκείων ἕνα Μανουὴλ τὸν διοικητὴν, ὡς τὰ εἰρημένα παρ' αὐτοῦ καὶ τοῖς ἐν Θετταλίᾳ ἀπαγγελοῦντας. ὧν καὶ γενομένων ἐν Θετταλίᾳ, ἐπεὶ ἥ τε στρατιὰ καὶ τῶν πόλεων οἱ ἄριστοι τὰ παρὰ βασιλέως εἰρημένα ἐπυνθάνοντο, πρῶτα μὲν ὡμολόγουν βασιλεῖ χάριτας πολλὰς τῆς εὐμενείας τῆς περὶ

А императорът, като благодари много и за предишната благосклонност и за това, че сега доброволно минават на негова страна, след това каза, че е страшно глупаво, ако след като те показват цялото си благоразположение, и той сам да не се покажел също благоразположен към тях, и да не откриел сърцето си. Защото какво би станало с него в Гинекокастрон и как сам той и най-близките му съмишленици биха се изложили на големи опасности, след като неговите хора го напуснали, а неприятелите напирали и войската била обхваната от голям смут и безредие, ако бог не бил протегнал свише спасителна десница. Това сами знаели добре. Той по неволя отишъл при краля, владетеля на трибалите, от когото неочаквано бил получил големи почести и помощ. Наистина неотдавна той взел голяма и добра войска и се отправил бързо към Димотика, за да се съедини с тамошните си приятели и да уреди добре работите си. А когато пристигнал във Фере, началниците и войската били обхванати от страшна болест и мнозина от тях умрели, така че поради болестта той се принудил да се върне отново в царството на трибалите. А сега се готвел да отиде отново с войска в Димотика. Защото това било най-изгодно за него, за да си възвърне цялата ромейска империя, ако би било угодно богу. Поради това сега не можел да отиде в Тесалия. Защото повече щял да ги огорчи, ако остане за кратко време с тях и бързо отиде отново в Тракия. Но ако биха искали да бъдат под негова власт, сега (можел) да им постави за архонт Йоан Ангел[237], който бил най-подходящ поради кръвното родство и можел да ги ръководи и да ги брани от неприятелите, които биха ги нападнали, а бил и мъдър, храбър и опитен във войните. А когато той дойдел в Димотика, щял да се погрижи за тях, колкото е възможно, ако не му попречи някаква неприятност, и щял да прояви към тях голямо внимание и грижа. Това отговори на пратениците. И нареди да съобщят на тесалийците и ако биха приели, да се заловят за работа. Като прояви към тях присъщата му любезност, той изпрати заедно с тях един от приближените си, диойкета[238] Мануил, за да съобщят казаното от него и на тесалийците. Когато дойдоха в Тесалия и войската и първенците от градовете узнаха казаното от императора, те най-напред благодариха много на императора за благосклонността му към тях αὐτοὺς καὶ τῆς συντρόφου καὶ φίλης ἀληθείας ἐκ παιδὸς, ὅτι καίτοι δοκῶν ἐν δυσπραγίαις εἶναι, οὐδὲν ὑπέμεινε πεπλασμένον φθέγξασθαι, οὐδ' ἀγεννὲς, ἀλλὰ δήλην αὐτοῖς πεποίηται τὴν διάνοιαν οἵα ἦν. αὐτοὺς δὲ τῷ περιόντι τῆς εἰς αὐτὸν εὐνοίας, ἐπεὶ μὴ λυσιτελεῖν αὐτῷ δοκοίη, τὸ νῦν ἔχον ἥκειν παρ' αὐτοὺς, οὐκ Ἄγγελον μόνον, κατὰ γένος τε αὐτῷ προσήκοντα καὶ ἄρχειν δυνάμενον αὐτῶν, ἀλλὰ καὶ εἴ τινα ἐκείνου πέμποι πολλῷ καταδεέστερον, δέξεσθαι προθύμως καὶ πᾶσαν ἐπιδείξεσθαι περὶ τὸν βασιλέα εὔνοιαν. τοιαῦτα μὲν καὶ οἱ ἐν Θετταλίᾳ ἀπεκρίναντο. βασιλεὺς δὲ ἐπεὶ πύθοιτο ἀπὸ τῶν πρέσβεων ἐπανελθόντων, ἔπεμπε τὸν ἀνεψιὸν Ἄγγελον Ἰωάννην, ἐπίτροπον εἶναι Θετταλίας. πᾶσι δὲ βουλόμενος καταφανὲς ποιεῖν, ὡς οὐ βασιλέως τοῖς παισὶν ἐπιβουλεύων ἤρατο τὸν πόλεμον, καὶ ὡς οὐδ' εἰ περιγένοιτο τῆς ἀρχῆς ἔγνωκεν ἀποστερεῖν, ἀλλ' ὑπὸ βασιλίδος μᾶλλον αὐτὸς ἐπολεμήθη ἀνθρώποις πειθομένης συκοφάνταις, τῷ Ἀγγέλῳ πρὸς τὴν Θετταλίας ἀρχὴν χρυσόβουλλον ποιῶν, βασιλίδα τε προσέγραφε καὶ βασιλέα Ἰωάννην τὸν υἱὸν, ὥστε Ἄγγελόν τε καὶ Θετταλοὺς τὴν δουλείαν τε κἀκείνοις ὥσπερ καὶ αὐτῷ ὁμολογεῖν καὶ μᾶλλον ἢ πρότερον ὑπείκειν.

---

[237] Йоан Ангел бил роднина на Йоан Кантакузин и управител на Тесалия. Вж. Острогорски, пос. съч., с. 481. [238] Диойкетът Мануил, сиреч управителят Мануил.

. . . καὶ ὁ περιπόθητος αὐτάδελφος τῆς βασιλείας μου κύριος Ἰωάννης ὁ Ἄγγελος, ὃς τῆς αὐτῆς ἡμῖν τοῦ γένους ῥίζης τετυχηκὼς καὶ βασιλικοῖς βρύων αἵμασι, λίαν ἐπαινετῶς ἀντεφιλονείκησε περιγεγενῆσθαι μᾶλλον ἁπάντων τῇ τῆς ψυχῆς εὐγενείᾳ, ἢ ὅσῳ περιγίνεται τῇ τοῦ σώματος. τὴν μὲν γὰρ οἶδε φύουσάν τε καὶ αὖθις μειοῦσαν, τὴν δ' ἄφθιτον ἀεὶ μίμνουσαν. ψυχῆς μὲν οὖν ἀνδρίαν, ἢ φρονήσεως ἑδραιότητα καὶ περὶ τοὺς φίλους στεῤῥότητα, ὥστε προκινδυνεύειν αὐτῶν αἱρεῖσθαι, σώματός τε εὐφυΐαν καὶ ὥσπερ εὐαρμοστίαν καὶ ῥώμην, μακρὸν ἂν εἴη τὰ νῦν διεξέρχεσθαι. ἐπεὶ δὲ τὰς παρ' αὐτῶν φασι τῶν ἐχθρῶν ἀξιοπιστοτέρας γίνεσθαι μαρτυρίας, εἰδεῖεν ἂν καὶ φαῖεν ταῦτα Ἰλλυριοί τε, καθ' ὧν οὑτοσὶ μέγα κεκλέϊσται, καὶ πᾶσα ἤπειρος καὶ αὐτοὶ Πέρσαι, οἱ πολλάκις τούτῳ προσβαλόντες παντελῶς ἥττους, ὡς μηδένες ἐναργῶς ἀπηλέγχθησαν. ἃ δ' ὑπήνεγκεν ἀνδρείως καὶ πέπονθεν ἐμὴν χάριν, χρημάτων ἀφαίρεσιν παντελῆ καὶ πλούτου παντὸς δήμευσιν, θεραπόντων πλῆθος, στέρησίν τε τῶν ἄλλων ἁπάντων, ὧν ἡττημένους ὁρῶμεν ἀνθρώπους· ὅπως τέ μοι συνεξῴκισται ἐς Τριβαλοὺς, καὶ ψυχὴν αὐτὴν ἑτοίμως εἶχεν ὑπὲρ ἐμοῦ θεῖναι ὁπότε ἔδει, καὶ ὅπως ἐγίνετό μοι ἀντὶ πάντων, ὁποίων τέ μοι καὶ ὁπόσων κεκοινώνηκε τῶν ἀνιαρῶν, ἐῶ λέγειν, ὡς μὴ ἀνάξια δόξω πράττων ἐκδιηγούμενος σὺν οἴκτῳ δι' ἐμαυτοῦ, ἃ τότε γεν-

и за естествената и искрена откровеност (която проявявал) от дете, макар да изглеждал, че е в тежко положение, той не допуснал да каже нещо невярно или неблагородно, но мислите си изказвал откровено, такива, каквито били. А те поради голямото си благоразположение към него, понеже бил решил, че не е изгодно да отиде сега при тях, щели да приемат на драго сърце не само Ангел, който му бил близък по род и можел да ги управлява, но дори ако им прател някого много по-незначителен от него, и щели да покажат цялото си благоразположение към императора. И тесалийците отвърнаха това. А императорът, когато научи това от върналите се пратеници, проводи братовчеда си Йоан Ангел за управител на Тесалия. А искаше да изясни на всички, че не е започнал войната срещу децата на императора като заговорник и че не е искал да (ги) лиши от властта, ако надвие, но по-скоро той е бил нападнат от императрицата, подведена от клеветници. Той даде хрисовул на Ангел за управлението на Тесалия и прибави (имената) на императрицата и на сина ѝ, императора Йоан[239], та Ангел и тесалийците да служат и на тях, както нему, повече, отколкото по-рано. . . .

. . . И прелюбезният роднина на царството ми господин Йоан Ангел, който е потомък от нашия род и изобилствува с царска кръв, твърде похвално залягаше тези, които надминава с физическа сила, да ги надмине още повече с благородството на своя дух. Дълго време би отнело да разказваме за силата на духа му, за здравата мисъл и постоянството му към приятелите, така че предпочита да рискува заради тях, за стройността на тялото и някак за хармонията и силата му. А понеже казват, че свидетелствата на самите неприятели са по-убедителни, илирийците, срещу които той много се бе прославил, ги знаят и биха могли да кажат тия неща, а също и целият континент и самите перси, които, нападайки го често, биваха победени напълно и съвършено унищожени. Той понесе храбро всичко това и пострада заради мен: бяха му ограбени всички средства и му бе конфискувано цялото богатство, (лишен бе) от голямо количество слуги и от всичко друго, от които неща, ако хората бъдат лишени, ги виждаме победени. За да не изглежда, че постъпвам недостойно, като разказвам с мъка за себе си това, което тогава понесохме храбро с помощта ναίως ἠνέγκαμεν ἀρωγῇ τοῦ κρείττονος. βούλομαι μὲν οὖν μακροτέρᾳ διηγήσει δοῦναι τὰ τούτου. ἐπειδὴ δ' ἐλάττω τῆς ἀληθείας ἔσται πάντως ἅττ' ἂν εἴποιμεν, ἔχει τις ἐξ ὀλίγων πάνυ τῶν ῥηθέντων ὥσπερ ἐν ἐπιδρομῇ ἐς βαθεῖαν τοῦ αὐτοῦ πρακτέων ἐληλυθέναι κατάληψιν. παρείσθω γὰρ τὰ πλείω οἷς ἔργον αὐτὸ τοῦτο μόνον, τὸ γραφῆς ταῦτ' ἀξιοῦν καὶ λόγοις τιμᾶν. ἡμῖν δὲ πρὸ τούτου μελήσει καὶ αὐτοῖς ἔργοις ἀμείβεσθαι τουτονὶ τὸν περιπόθητον αὐτάδελφον τῆς βασιλείας μου τὸν φερωνύμως χάρισι βρύοντα. δικαιότατον γὰρ εὐεργετεῖσθαι παρ' ἡμῖν καὶ μεγάλων ἀμοιβῶν ἀξιοῦσθαι, οὐχ ὅτι μόνον ἐστὶν οἷος δέδεικται καὶ φορτὸν δυσχερῶν σὺν ἡμῖν ὑπὲρ ἡμῶν μάλα ἀσμένως ὑπήνεγκεν· ἀλλ' ὅτι καὶ διὰ πάντων τῶν αὐτῷ πεπραγμένων τρανῶς ἐπαγγέλλεται συνοίσειν, ὅ,τι βέλτιον τῷ κοινῷ, καὶ νίκας ἄρασθαι κατ' ἐχθρῶν τὰ Ῥωμαίων νεμομένων ἀναίδην. διά τοι τοῦτο καὶ χάριτας ἀποχρώσας ἡ βασιλεία μου τῷδε βουλομένη ἀεί, ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει νῦν καὶ τὸν παρόντα χρυσόβουλλον λόγον, δι' οὗ προστάσσει καὶ θεσπίζει καὶ διορίζεται εἶναι τὸν διαληφθέντα περιπόθητον αὐτάδελφον τῆς βασιλείας μου κύριον Ἰωάννην τὸν Ἄγγελον εἰς κεφαλὴν τῶν κάστρων καὶ χωρῶν Βλαχίας ἐφ' ὅρῳ τῆς ζωῆς αὐτοῦ, καὶ ἐπιμελεῖσθαι καὶ σπεύδειν καὶ φροντίζειν τῆς ἐπὶ τὸ κρεῖττον ἐπιδόσεως καὶ βελτιώσεως αὐτῶν, ὀφείλοντα διατηρεῖν ἀπαρασάλευτα καὶ ἅπερ ἐνόρκως ὑπεσχέθη τῇ βασιλείᾳ μου· ἃ περιττὸν μὲν ἴσως ἂν δόξειε κατὰ μέρος δηλούμενα καὶ ἀνοίκεια τάχα τῷ τούτου τρόπῳ ἀγαθῷ γε ὄντι καὶ περὶ ἡμᾶς εὐνουστάτῳ. ἐπεὶ δ' ἐπαινετόν τι χρῆμα πολλῶν ἕνεκα τὸ τρίβον ἀσφαλῆ καὶ λείαν πορεύεσθαι μηδὲν προσιστάμενον ἔχουσαν, ἤτοι γε ἀπειλοῦσαν τὰ παρ' ἡμῖν μὲν ἐκτεθέντα, ὅρκοις δὲ παρὰ τούτου βεβαιωθέντα, κατὰ μέρος ταῦτα καὶ λεχθήτω διὰ τὸ ἀσφαλέστερον. ἔστι δὲ τάδε. ἵνα ᾖ ὁ περιπόθητος αὐτάδελφος τῆς βασιλείας μου κύριος Ἰωάννης ὁ Ἄγγελος φίλος τοῦ φίλου αὐτῆς, καὶ τοῦ ἐχθροῦ αὐτῆς ἐχθρός· ἤγουν κἂν ὁποῖον ἄρα πρόσωπον εἴη, εἰ μὲν ἔχει φιλίαν καὶ ἀγάπην ἡ βασιλεία μου μετ' ἐκεῖνον, ἔχῃ καὶ αὐτὸς οὕτως· εἰ δ' οὖν, διατίθηται ἀναμφιβόλως καὶ ἀπολυπραγμονήτως εἰς αὐτό, ὡς καὶ ἡ βασιλεία μου. ἵνα μὲν τὸ τοιοῦτο τῆς Βλαχίας κεφαλαττίκιον ἐφ' ὅρῳ παντὶ τῆς ζωῆς αὐτοῦ ἔχῃ, οὐ μὴν δὲ ἔχῃ ἐπ' ἀδείας οὗτος τοῦτο δοῦναι καὶ

---

[239] Йоан V Палеолог.

на Всевишния, пропускам да кажа как се пресели заедно с мен при трибалите и бе готов и душата си да даде заради мен, когато потрябва, и как бе всичко за мен, какви и колко трудности е преживял с мен. Наистина желая да изложа по-нашироко делата му. А понеже това, което бихме казали, във всеки случай ще бъде по-слабо от истината, то човек може от твърде мимоходом споменатото напълно да разбере делата му. Наистина подробностите нека останат за ония, за които това е единствено занимание, да ги отбележат писмено и да ги украсят със слова. А ние, вместо това, ще се погрижим да възнаградим и с дела този уважаван брат на царството им, който съответно на името си е богато награден, най-справедливо да го облагодетелстваме и да го удостоим с високи награди, защото той е не само такъв, какъвто го посочихме, и заради нас заедно с нас понесе много трудности, но и защото делата му дават всички гаранции, че ще извърши това, което е по-полезно за държавата, и че ще спечели победи срещу неприятелите, които безсрамно унищожават ромейските земи. Поради това и царството ми, което винаги желае да му даде достойни награди, сега дава и предоставя настоящия хрисовул, който нарежда, известява и определя прелюбезния брат на Царството ми господин Йоан Ангел да бъде начело на крепостите и земите на Влахия[248] до края на живота си и да се старае и да залага за преуспяването и подобряването им, тъй като той е длъжен да пази неприкосновено това, което обеща с клетва пред царството ми. Ако изложим това отчасти, би изглеждало наистина излишно и може би неподходящо за доброто му и благосклонно към нас отношение. А понеже поради много причини е похвално, че върви по сигурен и гладък път, но който няма препятствия, нито пък заплашва изложеното от нас и потвърдено от него с клетва, затова тия неща за по-сигурно трябва да се кажат. А те са следните. Нека прежеланият брат на Царството ми Йоан Ангел да бъде приятел на приятелите на властта и неприятел на нейните неприятели. И каквото и положение да заема, щом Царството ми го обича и е благоразположено към него, и сам той да проявява същото. А иначе да се чувствува сигурен и безгрижен, както Царството ми. Нека по такъв начин да управлява областта Влахия до края на живота си, но да няма право да отстъпи управлеπρὸς παιδίον αὐτοῦ, εἰ μή πως τάξῃ τοῦτο καὶ στέρξῃ ἡ βασιλεία μου, ὡς ἐξ ἄλλης ἀρχῆς. ἵνα οὐ μόνον χρεωστῇ τοιαύτην δουλοσύνην εἰς τὴν βασιλείαν μου, ἀλλὰ καὶ εἰς τὸν βασιλέα κύριον Ἰωάννην τὸν Παλαιολόγον, ἐὰν καταστήσῃ αὐτὴ τοῦτον διάδοχον τῆς βασιλείας· ἐὰν δὲ παραχωρήσει θεοῦ ἀποθάνῃ ὁ βασιλεὺς ὁ Παλαιολόγος, χρεωστῇ τὴν τοιαύτην ὑποταγὴν εἰς ὃν ἂν καταστήσῃ ἡ βασιλεία μου σὺν θεῷ διάδοχον καὶ κληρονόμον τῆς τῶν Ῥωμαίων ἀρχῆς. φημίζηται δὲ καὶ μνημονεύηται ἐν πάσῃ τῇ χώρᾳ τῆς Βλαχίας καὶ ἡ δέσποινα Ἄννα ἡ Παλαιολογίνα καὶ βασιλεὺς ὁ υἱὸς αὐτῆς κατὰ τὴν ἐνεργουμένην συνήθειαν ἔν τε τῷ θεοφρουρήτῳ παλατίῳ τῆς βασιλείας μου καὶ ἐν αὐτῇ τῇ χώρᾳ. ἵνα καὶ ἐκεῖσε εἴτε μητροπόλεις εἶεν, εἴτε ἐπισκοπαί, εἴτε μοναστήρια, εἴτε ἐκκλησιαστικὰ δίκαια, ὦσιν ὑποκείμενα ὡς ἀρχῆθεν τῇ ἁγιωτάτῃ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ, νέμωνταί τε ἀναφαιρέτως καὶ τὰ προσόντα αὐτοῖς διὰ διαφόρων δικαιωμάτων. ἵνα, ἐὰν ἀποσταλῇ παρὰ τῆς βασιλείας μου εἰς τὸ δεσποτάτον ἢ ὁ περιπόθητος γαμβρὸς αὐτῆς κύριος Νικηφόρος ὁ δούκας, ἢ ἕτερος, ἔχῃ φιλίαν μετ' ἐκείνου καὶ χωρῆται ἑκάτερος εἰς τὰ δίκαια αὐτοῦ. εἰ δ' ἴσως συμβαίη διαφορά τις καὶ διένεξις ἀνὰ μέσον ἀμφοτέρων, ἀκουμβίζῃ τὰ περὶ τούτου εἰς τὴν βασιλείαν μου καὶ διορθοῖτο τοῦτο αὐτή, καθάπερ ἂν χορηγήσῃ ὁ θεὸς τῇ ταύτης γνώσει. περισώζηται δὲ καὶ τὰ σύνορα τῆς Βλαχίας καὶ τοῦ δεσποτάτου, ὡς τὸ πρότερον διὰ τὸ ἀσκανδάλιστον, ἵνα, ἐὰν παραλάβῃ τὰ ἐν τῷ περιορισμῷ τῆς Βλαχίας κάστρα, ἔχῃ καὶ ταῦτα εἰς τὸ κεφαλαττίκιον αὐτοῦ ὡς καὶ τὴν λοιπὴν Βλαχίαν, καθὰ δεδήλωται. εἰς δὲ τὰ ἄλλα κάστρα τὰ μετὰ τὴν Πάτραν διακείμενα, εἰ μὲν ἔχει ἀγάπην ἡ βασιλεία μου μετὰ τῶν Κατελάνων, ἔχῃ καὶ αὐτός, εἰ δὲ μάχην, μάχηται καὶ αὐτός· καὶ ὅσα ἂν προσέλθῃ εἰς τὴν δουλοσύνην τῆς βασιλείας μου, εἴτε ἀλλοτρόπως, εἴτε καὶ δι' αὐτοῦ τούτου τοῦ αὐταδέλφου τῆς βασιλείας μου, ἔχῃ ἄδειαν αὐτὴ τάττειν εἰς κεφαλὴν ἰδιορρύθμως, ὃν ἂν ἐθελήσειεν. ἵνα, ἐὰν θέλωσί τινες τῶν ἐν τῇ Βλαχίᾳ ἀρχόντων τυγχάνειν ὀφφικίων παρὰ τῆς βασιλείας μου ἔρχεσθαί τε καὶ εἰς προσκύνησιν αὐτῆς, ἔχωσι τοῦτο ἐπ' ἀδείας καὶ οὐδὲν κωλύωνται παρ' αὐτοῦ. ἵνα ἐπὶ μὲν ἅπασι τοῖς δυτικοῖς μέρεσιν, ἔνθα ἂν χρήζῃ αὐτῶν ἡ βασιλεία μου, δουλεύῃ μεθ' ἑαυτοῦ τε καὶ παντὸς τοῦ φωσσάτου Ῥωμαϊκοῦ τε καὶ Ἀλβανιτικοῦ· ἀνωτέρω δὲ τῆς Χριστουπόλεως

---

[248] Влахия, т.е. земите на днешна Тесалия.

нието дори и на сина си, освен ако някак Царството ми не пожелае и отново не нареди това. Нека проявява това покорство не само към Царството ми, но и към императора Йоан Палеолог, ако бъде поставен за приемник на царството. А ако по божия воля императорът Палеолог умре, да се подчинява по същия начин на този, когото Царството ми постави с божия помощ за наследник и приемник на ромейската власт. Според съществуващия обичай в богохранимия дворец на Царството ми и в тази страна да се казват имената и споменават в цяла Влахия и господарката Ана Палеолог, и императорът, нейният син. И нека тамошните митрополии или епископии, или монастири, или църковни права, да бъдат под властта на пресветата божия Велика църква, да бъдат неотнимаеми доходите, които получават въз основа на различни привилегии. Ако прелюбезният зет на Царството ми господин Никифор Дука[241] или някой друг бъде изпратен от Царството ми в деспотството, да бъде приятел с него и всеки един да пази правата си. А ако също се появи някакво недоразумение и разногласие между двамата, да се донесе за това до Царството ми, и то да оправи това, според както бог му внуши. И да се запазят, както по-рано, границите на Влахия и на деспотството му, та когато получи крепостите в пределите на Влахия, да ги включи в тях, както и останалата Влахия, в управлението си, както бе изяснено. А относно останалите крепости, разположени след Патра[242], ако моето Царство е в добри отношения с каталаните[243], и сам той да има (такива отношения с тях), а ако (моето Царство) воюва, и той да воюва. И които се подчинят на Царството ми било по някакъв друг начин, било и чрез самия този брат на Царството ми, то Царството ми да може да поставя управител по своя воля, когото пожелае. И ако някои от архонтите във Влахия пожелаят да получат служби от Царството ми и да дойдат да ми се молят, да могат (да правят) това свободно и да не бъдат възпрепятствувани от него. Нека служат в западните предели лично и с цялата ромейска и албанска войска, където Царството ми има нужда от тях. А ако Царството ми има нужда (от тях) по-нагоре от Христопол, нека ἐὰν χρήζῃ ἡ βασιλεία μου, δουλεύῃ μὲν μεθ' ἑαυτοῦ, φωσσάτου δὲ ὅσου ἂν δύνηται." Ἀγγέλῳ μὲν οὖν τῷ Ἰωάννῃ ἐπὶ τοιαύταις συνθήκαις παρεδίδου Θετταλίας τὴν ἀρχὴν ὁ βασιλεύς. Θετταλοί τε τόν τε Ἄγγελον ἐδέχοντο προθύμως, ὡς παρὰ βασιλέως ἥκοντα, καὶ τὰ προστεταγμένα πάντα ἐπηγγέλλοντο ποιεῖν.

---

[241] Става дума за епирския деспот Никифор II, зет на Кантакузин. Вж. Острогорски, пос. съч., с. 535. [242] Патрас, пристанищен град в Коринтския провлак, Северозападен Пелопонес.

[243] Каталани, испански наемници, които в края на 1303 г. начело със своя вожд Роже де Флор предложили услугите си на византийския император Андроник II Палеолог. Последният ги използувал за борба срещу турците. Но верни на своя грабителски нрав, каталаните причинили неописуеми бедствия на империята, разграбвайки и опустошавайки редица области от нея. За това вж. у Острогорски, пос. съч., с. 460—463.

III, 54. Οἱ ἐν Διδυμοτείχῳ δὲ ἐπεὶ πανταχόθεν αὐτοὺς ὁ πόλεμος περιειστήκει καὶ οὐδεμία τις ἐφαίνετο ἀνακωχή, εἰ μὴ πρὸς αὐτοὺς ταχέως ἐπανέλθοι βασιλεύς, τὸν Ταρχανειώτην Μανουὴλ πέμπουσι πρὸς αὐτὸν, τοῦτο μὲν καὶ τὰ κατ' αὐτοὺς διδάξοντα ὡς εἶχε, τοῦτο δὲ καὶ μᾶλλον ἐξορμήσοντα πρὸς τὴν ἐπάνοδον, ὡς τῶν κατὰ Διδυμότειχον πραγματων. ἐκείνου πάνυ δεομένων. βασιλεὺς δὲ καὶ πρότερον μὲν ἐν μεγάλῃ ἐτίθετο φροντίδι τὸ πρὸς Διδυμότειχον ἀπαίρειν, καὶ τότε δὲ ὑπὸ τοῦ Ταρχανειώτου παρακληθεὶς, μᾶλλον τὴν ἐπάνοδον ἐπέσπευδε καὶ Κράλην ἐπὶ τὰ ἴσα παρεκάλει. καὶ παρεσκεύαστο ἤδη ἡ στρατιὰ ἡ μέλλουσα συναίρεσθαι τῷ βασιλεῖ πρὸς τὴν ἐπάνοδον. καὶ Ταρχανειώτης μὲν βασιλέα τε καὶ τοὺς περὶ αὐτὸν πολλῆς ἐμπλήσας ἡδονῆς καὶ προθυμίας, (οὐδὲ γὰρ ἐξ ὅτου βασιλεὺς εἰς Τριβαλοὺς ἧκεν, ἀξιόχρεώς τις οἴκοθεν ἀφῖκτο πρὸς αὐτὸν δέει τῶν κατεχόντων τὰς ὁδοὺς,) αὖθις ἐπανῆκε πρὸς Διδυμότειχον διαλαθὼν τοὺς πολεμίους, καὶ ἀπήγγελλε σαφέστερον τὰ περὶ βασιλέως καὶ ὡς εἴη παρεσκευασμένος ἐπανήκειν ἅμα στρατιᾷ ὀλίγῳ ὕστερον. Ἀπόκαυκος δὲ ὁ μέγας δοὺξ πρὸς Κράλην πέμψας, ἐδήλου τε ὅτι ἥξει ναυσὶ πρὸς τὴν Μακεδονίαν καὶ ὡς βούλοιτο συντυχεῖν αὐτῷ, συνθήκας ποιησόμενος, αἳ μάλιστα ἔσονται αὐτῷ καθ' ἡδονήν. Κράλης δὲ περὶ τῆς συντυχίας πρότερον ἐρόμενος, εἰ ἐπιτρέπει, βασιλέα, ὡς οὐκ ἐκώλυεν, ἀλλὰ μᾶλλον ἐνεδίδου, πρὸς Ἀμφίπολιν συντέθειτο ἀλλήλοις συντυχεῖν, ὁ μὲν ναυσὶν ἐκ τῆς θαλάττης, ἵππῳ δὲ ὁ Κράλης ἐξ ἠπείρου. σκοπὸς δὲ ἦν τῆς συντυχίας ἀμφοτέροις, Κράλῃ μὲν, εἰ δύναιτο Ἀπόκαυκον τὸν μέγαν δοῦκα ζωγρεῖν, ἀμυνομένῳ τοῦ πρὸς βασιλέα ἕνεκα πολέμου· Ἀποκαύκῳ δὲ, ὥστε Κράλην πείθειν, πόλεμόν τε μὴ πρὸς αὐτὸν κινεῖν, Παλαιολόγον Ἀνδρόνικον τὸν γαμβρὸν βουλόμενον βασιλέα Ῥωμαίων ἀποφαίνειν, καὶ βασιλέα εἴργειν Καντακουζηνὸν καὶ μὴ ἐᾷν εἰς τὴν Ῥωμαίων ἐπανήκειν, κώλυμα ἐσόμενον γαμβρῷ πρὸς τὴν ἀρχήν· τῶν ἄλλων γὰρ οὐδένα ἐποιεῖτο λόγον. τοῦτο μὲν οὖν, εἴτε ἀληθῶς ἐβούλετο ὁ μέγας δοὺξ, εἴτε μὴ, φανερὸν οὐκ ἐξεγένετο, τοῦ περὶ ταῦτα διακονουμένου καὶ τὰ ἀπόῤῥητα συνειδότος Χρέλη πρότερον ἀποθανόντος. πρὸς γὰρ τὸν

служи лично с колкото може войска." При такива условия императорът предаде управлението на Тесалия на Йоан Ангел. Тесалийците приеха на драго сърце Ангел, като идващ (от името) на императора, и обещаха да изпълнят всичко, което бе наредено.

III, 54. А жителите на Димотика, понеже бяха притиснати отвсякъде от войната,[244] която нямаше изгледи да спре, освен ако императорът не би се върнал бързо при тях, изпращат при него Михаил Тарханиот, който, от една страна, да го осведоми какво е положението при тях, а, от друга, да го подканят да се върне по-бързо, понеже положението около Димотика налагаше извънредно много неговото присъствие. А императорът и по-рано мислеше много да се отправи към Димотика и тогава, подтикнат от Тарханиот, още повече забърза да се върне и призоваваше краля към същото. И войската, която щеше да потегли заедно с императора, вече се бе приготвила за тръгване. И Тарханиот, като предизвика у императора и хората около него голяма радост и готовност (защото, откакто императорът бе отишъл при трибалите, никой по-знатен не бе идвал при него от дома поради страх от тия, които държаха пътищата), отново се върна в Димотика тайно от неприятелите и описа ясно положението около императора и че се бил приготвил да се върне след малко с войска. А великият дук Апокавк проводи пратеници при краля и съобщи, че ще пристигне в Македония с кораби и че би желал да се срещне с него, за да уговори споразумението, което ще бъде за него най-изгодно. А кралят попита преди това императора[245] дали одобрява срещата. Но тъй като императорът не възрази, но се съгласи, споразумели се двамата да се срещнат при Амфипол, като единият дойде с кораби откъм морето, а кралят с конница откъм сушата. А намерението и на двамата относно срещата бе следното: на краля, ако може да залови великия дук Апокавк и да отмъсти, задето воюва срещу императора. А на Апокавк да убеди краля да не вдига война против него, тъй като желае да обяви тъста си Андроник Палеолог за ромейски император, да прогони императора Кантакузин и да не допусне да се върне в земята на ромеите, тъй като ще попречи на тъста му да вземе властта. Той никак не се интересуваше за друго. Дали великият дук наистина желаеше това или не, не стана ясно, понеже Хрельо,

---

[244] Става дума за обсадата на Димотика от противниците на Кантакузин през 1342 г.

[245] Императора, т.е. Йоан Кантакузин.

Ἀνδρονίκου τοῦ γαμβροῦ πατέρα ἐν Φεραῖς ὁ μέγας δοὺξ τὰ τοιαῦτα διά τινων τῶν μάλιστα εὐνουστάτων ἀπαγγέλλων, κἀκείνου Χρέλῃ διαλεγομένου περὶ Μελενίκον διατρίβοντι καὶ δι᾽ ἐκείνου τὰς Κράλη λαμβάνοντος ἀπολογίας, αὖθις ὁ μέγας δοὺξ ἐπυνθάνετό τε περὶ ὧν ἐδεῖτο, καὶ ὅσα ἦν κατὰ γνώμην αὖθις ἀπεκρίνετο. Κράλης δὲ ὡς ἀληθῶς τοιαύτην διεβεβαιοῦτο πρὸς Καντακουζηνὸν τὸν βασιλέα τὴν μεγάλου δουκὸς ἀξίωσιν εἶναι, καὶ ἐβουλεύετο, ὅ,τι δέοι πρὸς ταῦτα ἀποκρίνεσθαι, βασιλεύς τε μὴ κωλύειν συνεβούλευεν, ἀλλὰ μᾶλλον καὶ συμπράττειν, ἵνα μᾶλλον ὁ περὶ αὐτὸν Ἀποκαύκου φθόνος γίνοιτο φανερὸς, καὶ ὡς οὐκ εὐνοίᾳ τῇ πρὸς βασιλίδα καὶ βασιλέα τὸν υἱὸν τὸν ἐμφύλιον κινοίη πόλεμον, ἀλλ᾽ αὐτῷ τὴν Ῥωμαίων ἐκ παντὸς τρόπου περιποιούμενος ἡγεμονίαν. Κράλης μὲν οὖν ἅμα βασιλεῖ τῷ Καντακουζηνῷ, ἐν τοῖς Ἀλμυροῖς προσαγορευομένοις λάκκοις ἐστρατοπεδεύετο ἐλθὼν καὶ περιέμενε τὸν εἰς Ἀμφίπολιν τοῦ μεγάλου δουκὸς κατάπλουν ὡς ἐκεῖσε συνεσόμενος. ἐν Βυζαντίῳ δὲ οἱ μὲν ἄλλοι τῶν εὐγενεστέρων καὶ μάλιστα ἐν λόγῳ, Καντακουζηνισμὸν ὑπὸ μεγάλου δουκὸς ἐπικληθέντες, δεσμωτήριά τε ᾤκουν καὶ οὐδεμιᾶς ἀπείρατοι κακοπραγίας ἦσαν. τῶν δὲ αὐτῷ συναραμένων πρὸς τὸν πόλεμον καὶ πεπεικότων βασιλίδα, ὡς ἐπιβουλεύοιτο παρὰ Καντακουζηνοῦ τοῦ βασιλέως, τῶν μὲν ἤδη παρήπτετο μετρίως καὶ καθῄρει τῶν ἀρχῶν, ἀφορμὴν παρέχων τῆς πρὸς αὐτὸν διαφορᾶς, ἵν᾽, εἰ διαφθείρειε, μηδεμίαν μέμψιν ἔχοι, ὡς οὐ δικαίως ἀμύνοιτο αὐτοὺς, κακοὺς περὶ αὐτὸν γεγενημένους· τῶν δὲ ἔμελλεν. ἃ συνορῶντες καὶ αὐτοὶ καὶ πονηρὰν περὶ τῶν μελλόντων ἤδη ἔχοντες ἐλπίδα, ᾐσθάνοντο μὲν, ὡς σφίσι τε αὐτοῖς καὶ τοῖς ἄλλοις αἴτιοι κατέστησαν μεγάλων συμφορῶν, βοηθεῖν δὲ οὐκ εἶχον ἑαυτοῖς, πάντα ἤδη μεγάλου δουκὸς ὑφ᾽ ἑαυτῷ πεποιημένου. Χοῦμνος δὲ Γεώργιος ὁ μέγας στρατοπεδάρχης, εἷς ὢν τῶν τὸν πόλεμον κεκινηκότων, βασιλίδι προσελθὼν, ἠρέμα κατεμέμφετο μεγάλῳ δουκὶ, ὡς εἰς οὐδὲν δέον τὰ κοινὰ καταναλίσκοντι καὶ πρὸς πόλεμον ἠπειρώτην στόλους ἐξαρτυομένῳ μηδὲν ὀνήσοντας. πρὸς τί γὰρ ὁ στόλος ἐναντιώσεται Καντακουζηνῷ, αὐτῷ τε παρὰ Τριβαλοῖς ὄντι καὶ Διδυμότειχον κατέχοντι πόλιν μακρὰν θαλάσσης ᾠκισμένην; συνεβούλευέ τε μᾶλλον τῶν τοιούτων ἀπέχεσθαι ἀνονήτων δαπανῶν, πρὸς τινα δὲ χωρεῖν ἐπίνοιαν τοῖς ὅλοις πράγμασι

който му служеше в тия неща и бе съучастник в тайните му, преди това бе умрял. Наистина великият дук чрез неколцина свои най-приближени съобщи тия неща на бащата на тъста си Андроник във Фере. Последният бе разговарял с пребиваващия в Мелник Хрельо и чрез него бе получил отговора на краля. Великият дук искаше отново да узнае това, от което имаше нужда, и оня отново отговаряше, каквото мислеше. А когато кралят наистина потвърди, че такова е било искането на великия дук към императора Кантакузин, и обмисляше какво трябва да отговори на това, императорът посъветва да не пречи, но повече да съдействува, за да стане по-ясна завистта на Апокавк по отношение на него, и че не от благоразположение към императрицата и към сина-император е вдигнал гражданската война, но че той си е присвоил ромейската власт. Прочее кралят заедно с императора Кантакузин, като пристигаше до така наречените блата Алмири,[246] разположи се на лагер и очакваше великият дук да пристигне с флотата в Амфипол, за да се срещнат там. А останалите по-знатни и първенците във Византион, обвинени от великия дук като привърженици на Кантакузин, стояха в затвора и бяха подложени на всякакви страдания. А от тия, които заедно с него почнаха войната и убеждаваха императрицата, че император Кантакузин заговорничи срещу нея, от тях една част укоряваше умерено и ги лишаваше от постовете им, като взимаше повод от враждата им срещу него, та ако ги погуби, да не бъде укоряван, че несправедливо ги е наказал, след като са станали негови врагове, а за други се колебаеше. Това долавяха и самите те и като имаха лошо предчувствие за бъдещето си, разбраха, че са причинили големи нещастия на себе си и на другите, а не можеха да си помогнат, понеже великият дук си бе подчинил всичко. А великият стратопедарх Георги Хумн, един от инициаторите на войната, дойде при императрицата и спокойно укори великия дук, че е изразходвал държавните средства напразно, като е подготвил кораби, които ще бъдат безполезни за война по суша. Защото как флотата ще се противопостави на Кантакузин, който се намира при трибалите и държи града Димотика, разположен далеч от морето? Даде съвет, че е по-добре да се откажат от такива непосилни разходи, а да измислят нещо друго, което ще принесе полза на цялата държава.

---

[246] Вероятно пресушеното днес езеро Тахино на Долна Струма.

συνοίσουσαν. τοῦτο δὲ εἶναι, εἰρήνην τίθεσθαι πρὸς Καντακουζηνὸν καὶ σπονδάς, αἳ μάλιστα δόξειεν λυσιτελεῖν. τὸ γὰρ τοσούτου πολέμου πρὸς αὐτὸν κεκινημένου καὶ πάσης σπουδῆς εἰσενηνεγμένης, μηδὲν ἡμᾶς δυνηθῆναι πλέον, ἀλλ' ἐκεῖνόν τε ἀπαθῆ κακῶν καὶ πολλῆς εὐνοίας ἀπολαύοντα παρὰ τῷ Τριβαλῶν δυνάστῃ ἔτι διαμένειν, παρασκευαζόμενόν τι, ὡς ἀκούομεν, εἰς Διδυμότειχον ἐπανήκειν μετὰ στρατιᾶς, τούς τε ἐν Διδυμοτείχῳ μηδὲν ὑφεῖναι τῆς εἰς αὐτὸν εὐνοίας, μηδ' ὑπὸ τοῦ περιεστηκότος πολέμου πιεσθῆναι, ἀλλὰ μᾶλλον αὐτοὺς ταῖς κατὰ Θρᾴκην πάσαις πόλεσι κερβέρων εἶναι χαλεπωτέρους, πάντα διαφθείροντας ἄρδην καὶ ληϊζομένους, οὐ πρὸς ἡμῶν ἔμοιγε εἶναι φαίνεται οὐδὲ πρός τι τέλος λήξειν ἀγαθόν. διό μοι καὶ παραινεῖν ἐπῆλθε, τίθεσθαι τὴν πρὸς αὐτὸν εἰρήνην. νῦν μὲν γὰρ ὑπερόριος ἐν ἀλλοτρίᾳ διατρίβων καὶ τῆς παρ' ἑτέρων δεόμενος ἐπικουρίας, ἑτοίμως ἂν ὑπακούσειε πρὸς τὴν εἰρήνην, εἰ μέτρια αἰτοίημεν. εἰ δ' οἴκοι τε γένοιτο καί τινος εὐπορήσειε δυνάμεως, δέδοικα, μὴ δεομένων ἡμῶν ἀπαναίνοιτο αὐτός, οἷα δὴ βεβαίας ἤδη τοῦ περιγενήσεσθαι ἡμῶν ἐλπίδας ἔχων. βασιλὶς δὲ λόγον μὲν ἔχοντα εἶπε παραινεῖν, καὶ ὕστερον ὅ,τι ἂν δοκῇ λυσιτελεῖν κοινῇ σκεψαμένους πράττειν· τὸ δὲ νῦν ἔχον, τῆς δαπάνης ἤδη γεγενημένης καὶ τὸν μισθὸν ἐχόντων τῶν τριηριτῶν, δίκαιον ποιεῖσθαι τὸν ἀπόπλουν. ταῦτα δὲ αὐτῇ εἴρηται, ὅτι τε ἐπηγγέλετο ὁ μέγας δοὺξ, εἰ πρὸς Μακεδονίαν ἀποπλεύσειε, Καντακουζηνὸν ἄξειν δεσμώτην, ὡς παραδώσειν ἐπαγγελομένου Κράλη, εἰ πρὸς αὐτὸν ἀφίκοιτο αὐτός· καὶ ὅτι πολλῶν ἤδη τῶν πρὸς βασιλέα Καντακουζηνὸν ὑπὸ τῷ τοῦ πολέμου χρόνῳ γεγενημένων δυσχερῶν, καὶ τῆς τε μητρὸς δεσμωτηρίῳ ἐναποθανούσης, καὶ Ἀνδρονίκου τοῦ υἱοῦ πολὺν ἤδη χρόνον δεσμοῖς προσταλαιπωρήσαντος, καὶ ἄλλῃ κακώσει χρημάτων τε ἀπείρων ἡρπασμένων, καὶ πολλῶν ἀτόπων ἄλλων ἐφ' ὕβρει ἐκείνου εἰργασμένων, καὶ τῶν ἐπιτηδείων μάλιστα καὶ συγγενῶν τῶν μὲν αὐταῖς οὐσίαις συναπολωλότων, τῶν δ' ἐκ περιφανεστάτων καὶ πλουσίων ἀπόρων καὶ δεσμωτῶν κατεχομένων, οὐ ῥᾳδίως ἤλπιζε Καντακουζηνὸν τὸν βασιλέα πεισθήσεσθαι πρὸς τὴν εἰρήνην, ἀλλ' ἀμυνεῖσθαι παντὶ τρόπῳ, καὶ ἴσ' ἀντ' ἴσων ἀποδώσειν. ἃ ναρκᾷν αὐτὴν ἐποίει καὶ ἀποκνεῖν πρὸς τὸ βουλεύεσθαι περὶ εἰρήνης οἰομένην ἀνήνυτα πονεῖν. ἐπεὶ ὅτι γε πρὶν εἰς τοσοῦτον ἀτοπίας ἐξεληλακέναι καὶ πᾶσαν ὠμότητα καὶ ὕβριν τοὺς περὶ αὐτὴν ἐνδείξασθαι πρὸς βασιλέα, τῶν ἄλλων αὐτὴ μᾶλ-

А това значи да се сключи мир и споразумение с Кантакузин, по възможност най-изгодни. „Защото почнатата срещу него толкова голяма война и проявеното голямо старание нямат никаква полза повече за нас. Той е незасегнат от злото и още стои при господаря на трибалите, използувайки цялото му благоразположение, като се готви, както чуваме, да се върне в Димотика с войска. А жителите на Димотика не са се отказали от благоразположението си към него, нито са притеснени от бушуващата наоколо война. Нещо повече, те са станали още по-страшни от цербери по всички градове на Тракия, унищожавайки и опустошавайки напълно всичко, и струва ми се, това не е добро за нас и не ще свърши добре. Затова и аз дойдох да (ви) подканя да сключим мир с него. Защото сега, пребивавайки като изгнаник в чужда страна и като търси помощ от други, той на драго сърце би приел мира, ако ние бихме предложили умерени условия. А ако се намери у дома си и се снабди с някаква сила, страхувам се да не би да отхвърли нашите искания, понеже би имал изгледи да ни надвие." А императрицата каза, че разумно съветва и че после, като обмислят, ще извършат това, което намерят, че би било полезно за държавата. А в настоящия момент, понеже са изразходвали средствата и възнаграждението на моряците, редно било да отплуват. Тя бе казала, че великият дук ѝ съобщил, че ако отплува за Македония, щял да доведе Кантакузин окован, понеже кралят обещал, че ще го предаде, ако сам отиде при него. Тя беше казала още, че по време на войната император Кантакузин бе изпитал много трудности: майка му била умряла в затвора, а синът му Андроник вече дълго време страдал окован. [347] Били му разграбени неизчислими богатства, били извършени много неприлични неща от злоба към него, и от най-близките и роднините му едни били погубени с богатствата си, а други от най-знатни и богати станали бедни и затворници. Затова тя не се надяваше, че император Кантакузин лесно ще бъде склонен към мир, но че ще се брани по всякакъв начин и ще отвърне на удара с удар. Това я сковаваше и я правеше да се колебае да вземе решение относно мира, понеже смяташе, че е безполезно. Защото, преди да се стигне до тази толкова голяма безмислица и хората около нея да пока-

---

[247] След като Йоан Кантакузин се провъзгласил за император на 15 юни 1341 г., неговите противници хвърлили в затвора в Цариград майка му и сина му Андроник.

λον ᾑρεῖτο τὴν εἰρήνην, πολλὰ δείγματα ἐξενήνοχεν αὐτῇ· πεισθεῖσα ἀκριβῶς, ὡς φθόνῳ τῷ πρὸς βασιλέα ὁ πόλεμος ἐκινήθη τὴν ἀρχήν, ἀλλ' οὐκ ἐκεῖνος ἐπεβούλευεν αὐτῇ καὶ τοῖς παισίν, ὡς οἱ συκοφάνται κατηγόρουν. τότε δ' οὖν ὅμως τὴν περὶ τῆς εἰρήνης ὑπερέθετο διάσκεψιν. Ἀπόκαυκος δὲ ὁ μέγας δοὺξ, ἐπεὶ ἐφωπλισμέναι ἦσαν αἱ τριήρεις, ἀπέπλευσεν εἰς Ἀμφίπολιν, τὸ μὲν δοκεῖν, ὡς κατὰ βασιλέως Καντακουζηνοῦ τῷ Κράλῃ διαλεξόμενος καὶ πείσων προδιδόναι. ὡς δὲ διισχυρίζετο ὁ Κράλης, ἵνα μὴ πολεμοίη τῷ γαμβρῷ βασιλεῖ μέλλοντι Ῥωμαίων ἀναδείκνυσθαι. τοῦτο μὲν οὖν εἴς τι προφανὲς οὐκ ἠδυνήθη προελθεῖν· μεταξὺ γὰρ τοῦ χρόνου τριβομένου ἐτελεύτησεν ὁ Χρέλης, ὃς αὐτοῖς τῶν ἀποῤῥήτων ἐκοινώνει, καὶ ὁ μέγας τε δοὺξ εἰς Βυζάντιον ἐξ Ἀμφιπόλεως ἀπῆρε, μηδενὶ θαῤῥήσας ἑτέρῳ τὰ ἀπόῤῥητα. καὶ ὁ Κράλης περὶ τῶν πόλεων ἠσχόλητο τὴν ἐπιμέλειαν, ἃς Χρέλη κατέχοντος ἐλάμβανεν αὐτὸς μετὰ τὴν τελευτήν· καὶ ἐκ τῶν πρὸς ἐπικουρίαν βασιλέως τεταγμένων τοὺς βελτίστους ἀπολεγόμενος, κατέλιπεν αὐταῖς φρουράν. αὐτὸς δὲ τοὺς ἐπιλοίπους ἔχων, μετὰ βασιλέως ἧκον εἰς Φεράς.

(II, pp. 309_{20}—312_{14}; 318_{7}—328_{11})

жат цялата си жестокост и обидно отношение към императора, самата тя повече от другите желаеше мира. С пълно убеждение тя даваше много доказателства, че войната срещу императора е вдигната отначало от завист, но че той не е заговорничел срещу нея и децата ѝ, както твърдяха клеветниците. Но все пак тогава тя отлагаше обсъждането на въпроса за мира. А великият дук Апокавк, след като военните кораби бяха съоръжени, отплува за Амфипол уж за да разговаря с краля срещу императора Кантакузин и да го убеди да го предаде. Защото кралят твърдеше, че не би воювал срещу зетя-император, който щял да бъде обявен за владетел на ромеите. Наистина това не можеше да се каже открито, защото междувременно умря Хрельо, който участвуваше в тайните, и великият дук отплува от Амфипол за Византион, без да довери комуто и да било другиму тайната. Кралят пое грижата за градовете, които той завзе след смъртта на Хрельо. И като избра най-добрите от тия, които се намираха под императорско разпореждане, остави ги за гарнизон на градовете. А самият той с останалите пристигна във Фере с императора.

38. *Serborum Crales Pheras expugnat*

III, 55. Καὶ πρίν τι κακοῦν τὴν χώραν, πρεσβείαν πρὸς Φεραίους πέμψας, παρῄνει βασιλεῖ τὴν πόλιν ἐγχειρίζειν. ὅρκους γὰρ αὐτοῖς πρὸς ἀλλήλους γεγενῆσθαι, σύμμαχον καὶ αὐτὸν καὶ φίλον εἶναι τῶν πόλεων, αἳ προσχωρήσουσι βασιλεῖ, πολέμιον δὲ ταῖς ᾑρημέναις πολεμεῖν. εἰ μὲν οὖν καὶ αὐτοὶ πειθόμενοι προσχωρήσουσιν ἑκόντες βασιλεῖ, νῦν τε ὡς τάχιστα ἀναχωρεῖν αὐτῶν, καὶ ὕστερον μηδέποτε κακώσειν ἐπηγγέλετο· εἰ δ' ἀγνωμονοῖεν καὶ μὴ πείθοιντο, τεμεῖν αὐτοῖς τὴν γῆν ἠπείλει καὶ τὰ ἔσχατα διαθήσειν. Φεραῖοι δὲ τὴν πρεσβείαν ἀπεπέμψαντο, πάντα οἴσειν πρότερον εἰπόντες, ἢ Καντακουζηνῷ δουλεύσειν. ἐνῆγε δὲ αὐτοὺς πρὸς τοῦτο οὐχ ἧττον μὲν καὶ ἡ ἀλογία καὶ ἡ ἀκρισία, διὰ τὸ πρὸς βασιλέα ἔχθος τὰ ἔσχατα αἱρουμένους ὑπομένειν, ἐνὸν ἀποθεμένους σώζεσθαι· μάλιστα δὲ ὁ Παλαιολόγος Κωνσταντῖνος, ὃς ἦγε τὴν πόλιν τότε, Ἀποκαύκῳ τε ἐς τὰ μάλιστα φίλος

38. *Сръбският крал обсажда Фере*

III, 55. Преди да опустоши околността, той проводи пратеничество приферейците и ги подкани да предадат града на императора[248]. Защото си бяха дали клетва (краля) да бъде съюзник и приятел на градовете, които минат на страната на императора, а ще воюва като неприятел срещу тия, които се противопоставят. И тъй той им обещаваше, ако сега те доброволно се съгласят да минат на страната на императора, веднага да се оттегли от тях и след това никога да не им навреждa. А ако действуват необмислено и не се съгласят, заплашваше ги, че ще опустоши земята им и ще ги третира по най-лош начин. А ферейците отпратиха пратеничеството, като казаха, че по-скоро ще понесат всичко, отколкото да робуват на Кантакузин. Пък безумието и смущението не по-малко ги подтикваха към това, (а именно) поради омразата към императора да предпочитат да понесат най-лошото, пренебрегвайки възможността да се спасят. Най-голям инициатор за това бе Константин Палеолог, който тогава управляваше града, бидейки най-голям приятел на Апокавк и съучаὢν καὶ τῶν ἀποῤῥήτων κοινωνὸς καὶ τὴν πίστιν ἀκραιφνῆ καὶ τὴν εὔνοιαν αὐτῷ τηρῶν ὄντι κηδεστῇ Ἀνδρονίκῳ τῷ υἱῷ, καὶ ὁ μητροπολίτης, πόλεμον ἄσπονδον πρὸς βασιλέα ἐξαρχῆς εὐθὺς ἀνῃρημένος ἐξ οὐδεμιᾶς αἰτίας. βασιλεὺς δὲ, ἐπεὶ ἐκεῖνοι τὴν πρεσβείαν ἀπεπέμψαντο, συνορῶν οἷ κακῶν ὑπ' ἀναισθησίας συνελαύνονται, καὶ ὡς Ῥωμαίων τῆς ἀρχῆς πόλις μεγάλη καὶ καλὴ μέλλει ἀφαιρεῖσθαι ὑπὸ τῆς πολιορκίας ἀνάγκῃ Τριβαλοῖς δουλεύσουσα, τῶν οἰκείων πέμψας ἕνα, παρεκάλει φείδεσθαι αὐτῶν καὶ μὴ μίσει τῷ εἰς ἐκεῖνον τὰ ἀνήκεστα σφᾶς αὐτοὺς διατιθέναι, ἀλλὰ νῦν μὲν πρόνοιάν τινα αὐτῶν ποιεῖσθαι καὶ μήτε δέχεσθαι εἰς τὴν πόλιν μήτ' αὐτὸν, μήτε φρουρὰν, μήτε ἡγεμόνα, ἀλλὰ μόνον τῆς βασιλίδος Ἄννης καὶ βασιλέως τοῦ υἱοῦ φημιζομένων, εὐφημίας καὶ αὐτὸν ἅμα ἐκείνοις ἀξιοῦν καὶ μνημονεύειν ἐν τελεταῖς ταῖς ἱεραῖς, καὶ τοῦτον τὸν τρόπον τῶν ἐκ τῆς πολιορκίας ἀπαλλάττεσθαι κακῶν. οὐκέτι γὰρ ἀδικήσουσιν οὐδὲν αὐτοὺς οἱ Τριβαλοὶ διὰ τοὺς ὅρκους καὶ σπονδὰς τὰς πρὸς αὐτόν. ἀναχωρήσαντος δὲ αὐτοῦ πρὸς Θρᾴκην, ἂν μὲν καὶ τῆς ἄλλης ἀρχῆς φαίνοιτο Ῥωμαίων ἐγκρατὴς, ὑπείκειν καὶ αὐτούς. εἰ δέ τι περὶ αὐτοῦ ὕστερον βουλεύσαιτο ὁ θεὸς καὶ ἀπόλοιτο ἐξ ἀνθρώπων, τότ' ἤδη ἢ τῷ βασιλεύοντι Ῥωμαίων προσέχειν, ἂν δύνηται ἐλευθεροῦν ἀπὸ τῶν πολεμίων, ἢ σῖτον ἔχοντας καὶ ἄλλην ἀφθονίαν, ὑπομένειν τὴν πολιορκίαν. νυνὶ δὲ μὴ οὕτω κακῶς περὶ σφῶν αὐτῶν βουλεύσασθαι, ὥστε ἑκόντι ἑλέσθαι τὰ δεινὰ καὶ τὸν πόλεμον ἑλκῦσαι κατ' αὐτῶν, ἐνὸν συνέσει καὶ ἀγχινοίᾳ διασώζεσθαι. βασιλεὺς μὲν οὖν τοιαῦτα Φεραίοις συνεβούλευε καὶ πείθεσθαι ἐδεῖτο ὡς συνοίσουσι μεγάλως. ἐκεῖνοι δὲ ἐπεὶ ἀκούσειαν, βασιλέως μὲν πολλὰς ὕβρεις κατέχεον καὶ λοιδορίας καὶ μᾶλλον ἔφασαν ἐκείνῳ περὶ ἑαυτοῦ καὶ τῶν συνόντων βουλευτέον ἂν εἴη ὅπῃ σωθήσεται, ἢ περὶ ἡμῶν. τὸν δὲ πρεσβευτὴν ἀποσφάξαντες καὶ διελόντες τετραχῇ θηριωδῶς καὶ ἀπανθρώπως, τὰ τμήματα ἀνῆψαν καλλωδίοις ἐν τοῖς πύργοις. ἃ βασιλεὺς μὲν δεινὰ ἡγεῖτο καὶ πολλὴν τῶν ἀνδρῶν ἀπανθρωπίαν κατεγίνωσκε καὶ ἀβουλίαν, ἔπεμπε δὲ καὶ γράμματα αὐτοῖς διά τινος Γεωργίου ἔξω συλληφθέντος, τήν τε ὠμότητα καὶ τὴν κακοβουλίαν ὀνειδίζοντα καὶ πολλῶν προαναφωνοῦντα δεινῶν ἐπαγωγήν· καὶ ὡς τότε τῆς παρ' αὐτοῦ δεήσονται ἐπικουρίας, ἡνίκα μηδ' αὐτῷ τοῦ ὑπὲρ αὐτῶν ἀνιᾶσθαι πλέον τι ἐξέσται. οἱ δὲ συνόντες Ῥωμαῖοι ἐν πάσῃ ἤδη καθέστασαν ἀμηχανίᾳ καὶ ἄπορον παντάπασιν ἡγοῦντο πόλιν βασιλεῖ ἑτέραν προσελθεῖν, Φεραίων τοιαῦτα τετολμηκότων. ὅθεν καὶ ἐδέοντο βασιλέως

---

[248] На императора, т.е. на Йоан Кантакузин.

стник в тайната. Той пазеше чисто доверието и благоразположението си към него, който бе тъст на сина му Андроник, а също така и митрополитът, който отначало веднага без никаква причина почна непримирима война против императора. А императорът, след като върнаха пратеничеството, виждаше до какви злини са докарани от безумие и че голям и хубав град на ромейската империя ще бъде унищожен от обсадата и ще бъде принуден да се подчини на трибалите. Затова той проводи един от приближените си и ги призова да се пощадят и да не отиват до крайност поради омраза към него, но сега да се погрижат някак за себе си и да не приемат в града нито него, нито гарнизон, нито началник, но само когато споменават императрица Ана и сина ѝ императора, да славят и него заедно с тях и да го споменават на тържествените си служби. По този начин те ще се отърват от злините на обсадата. Защото трибалите не ще им навредят поради клетвения си договор с него. А когато той се върне в Тракия и стане ясно, че е завладял цялата ромейска власт, те сами ще (му) се подчинят. Ако пък след това бог реши нещо друго за него и му отнеме живота, тогава вече или да минат на страната на ромейския император, ако би могъл да ги освободи от неприятелите, или да издържат обсадата, ако разполагат с храни и друго продоволствие. Сега да не злоумишляват срещу себе си, като че ли нарочно търсят нещастието и привличат войната срещу себе си, след като е възможно да се запазят с разум и съобразителност. Прочее императорът това съветваше ферейците и молеше да го послушат, за да извлекат голяма полза. Когато те чуха тия неща, избълваха много хули и ругатни срещу императора и казаха, че по-скоро той трябва да помисли не за тях, а за самия себе си и съмишлениците си как биха се спасили. Те убиха пратеника и го насякоха животински и нечовешки на четири и окачиха частите на колове върху стените. Императорът се ужаси от това и осъди голямата безчовечност и безразсъдство на гражданите, изпрати и писмо до тях чрез някой си Георги, хванат извън (града), осъждайки жестокостта и зломислието им и предричайки идването на големи злини. Те щели да молят закрила от негова страна тогава, но той повече не щял да се грижи за тях. А съмишлениците му ромеи вече бяха в пълна безизходица и смятаха, че за императора е напълно невъзможно да отиде в друг град, след като ферейците бяха проявили

συνελθόντες μηκέτι μέλλειν, μηδὲ κατατρίβειν τὸν καιρὸν ἀνήνυτα πονοῦντας, ἀλλ' εἰς Διδυμότειχον ἐπείγεσθαι, ὡς ἅμα τοῖς οἰκείοις ἢ τινος τυγχάνειν ἀγαθοῦ, εἰ πρὸς τὸ βέλτιον αὐτοῖς τὰ πράγματα χωροίη, ἢ ἀποθνήσκειν, εἰ δεήσειεν. ἐδόκει μὲν οὖν καὶ βασιλεῖ τοῖς ἐκείνων πείθεσθαι βουλεύμασιν, οὕτω περὶ πλείστου ποιουμένων τὴν ἐπάνοδον. καὶ συνταξάμενος Κράλῃ, παραλαβών τε τὴν στρατιὰν, ὅσην αὐτὸς παρείχετο συνέπεσθαι, εἴχοντο ὁδοῦ. Κράλης δὲ ἐν Φεραῖς ὑπολειπόμενος, ἔτεμνε τὴν γῆν καὶ ἐδῄου πάντα ἄρδην διαφθείρων. βασιλεὺς δὲ ἐπεὶ γένοιτο μακρὰν Φερῶν, συνιδὼν ὡς ἡ ἑπομένη στρατιὰ τῶν Τριβαλῶν ὄχλος μόνον ἀνόνητός εἰσι, (τοὺς ἀρίστους γὰρ αὐτῶν ἀπολεξάμενος πρότερον ὁ Κράλης, φρουρὰν κατέλιπε ταῖς πόλεσιν, ἃς Χρέλη ἔχοντος μετὰ τὴν ἐκείνου τελευτὴν ἔλαβεν αὐτὸς,) ἄλλως τε καὶ τῶν ὑπολειφθέντων χρονίῳ τε στρατείᾳ τεταλαιπωρηκότων, (ἦσαν γὰρ πλέον ἢ δυσὶ πρότερον μησὶ Κράλῃ ἑπόμενοι στρατευομένῳ,) ἄλλως τε καὶ δέει ἀσχέτῳ κατεχομένων καὶ νομιζόντων, οὐκ εἰς Θρᾴκην, ἀλλ' εἰς Πάρθους ἢ Ἰνδοὺς στρατεύεσθαι, ὅθεν οὐκ ἐξέσται μηχανῇ οὐδεμιᾷ οἴκαδε ἐπανελθεῖν, καὶ διὰ τοῦτο καὶ ἵππους πολεμιστηρίους καὶ ὅπλα καὶ εἴ τι ἐπεφέροντο χρήσιμον πρὸς τὸν πόλεμον, οἴκαδε ἀποπεμπόντων, ἵνα ταῦτα γοῦν τοῖς παισὶν ὑπολειφθείη, ὡς ἐκείνων ἀπολουμένων πάντως· ταῦτα δὴ συνορῶν ὁ βασιλεὺς καὶ βουλόμενος εἰς Διδυμότειχον μὴ οὕτως ἀφικέσθαι ἀσθενὴς, ὥσθ' ὑπὸ Βυζαντίων καὶ αὐτὸς πολιορκεῖσθαι, (οὔτ' αὐτῷ γὰρ οὔτε τοῖς συνοῦσι τοῦτο μάλιστα συνοίσειν,) ἐσκέψατο εἰς Κράλην ἀναστρέφειν καὶ στρατιὰν ἀξιόχρεων αἰτεῖν, ὥστε εἰς Διδυμότειχον φοβερὸν τοῖς πολεμίοις ἐλθόντα εἶναι, ἀλλὰ μὴ καταφρονεῖσθαι διὰ τὴν ἀδυναμίαν. ἐπεὶ δὲ καὶ τοῖς συνοῦσι Ῥωμαίοις ἐκοινοῦτο τὴν βουλὴν, πάντες ὥσπερ ἐκ συνθήματος πάντα μᾶλλον ἔφασαν αἱρεῖσθαι ὑπομένειν καὶ μυρίων θανάτων κατατολμᾶν, ἢ εἰς τὴν γῆν αὖθις ἀναστρέφειν Τριβαλῶν. οὐ γὰρ ἐνόμιζον εἰς γῆν πορεύσεσθαι ἡλίῳ περιλαμπομένην καὶ ὑπὸ ἀνθρώπων οἰκουμένην, ἀλλ' εἰς ᾅδου κευθμῶνας καὶ νεκρῶν διατριβὰς καὶ ἄλλο εἴ τι δυσχερέστερον. πολλὰ δὲ βασιλέως παραινοῦντος, ὡς βελτίω καὶ λυσιτελέστερα βουλεύοιτο, καὶ δεομένου πείθεσθαι, οὐδ' ἄκροις παρεδέχοντο ὠσὶν, ἀλλὰ πάνθ' ὅσα ἄν τις εἴποι δεινὰ φορητότερα ἡγοῦντο, ἢ εἰς Τριβαλοὺς αὖθις ἀναστρέφειν. βασιλεὺς δὲ τόν τε κίνδυνον ὁρῶν, ὡς οὐ μικρὸς ἐκ τοῦ πείθεσθαι τοῖς συνοῦσιν, οὕτως ἀλυσιτελῆ καὶ βουλευομένοις καὶ πράττειν ἤδη ὡρμημένοις

такова нещо. И затова те се събраха и молиха императора да не се бави и да не губи време в празни работи, а да побърза към Димотика, та заедно с близките си или да постигнат успех, ако нещата вземат по-благоприятен обрат за тях, или да умрат, ако се наложи. И тъй и императорът реши да се вслуша в съветите им, понеже те извънредно много желаеха да се върнат. И по споразумение с краля той взе войска, колкото можеше да го следва. И поеха. А кралят остана при Фере, разоряваше и опустошаваше земята, като унищожаваше напълно всичко. Императорът пък, когато се отдалечи много от Фере, виждаше, че следващата го войска от трибали е само безполезна тълпа. Защото, от една страна, кралят беше избрал преди това най-добрите от тях и ги остави за гарнизон в градовете, които сам бе завзел след смъртта на Хрельо, който ги владееше. От друга страна, те бяха изтощени и измъчени от дългия поход (защото повече от два месеца преди това следваха краля в похода му.). И освен това бяха обхванати от непреодолим страх и смятаха, че са се отправили на поход не в Тракия, а срещу партите или индийците, откъдето по никакъв начин не било възможно да се върнат у дома си. Затова те изпращаха у дома си и военни коне, и оръжие и ако носеха някои други полезни неща за войната, та поне това да остане за децата им след тяхната смърт. Като видя това и като не желаеше да отиде в Димотика неподготвен, та и сам да бъде обсаден от византийците, защото това никак не било полезно нито за него, нито за съмишлениците му, императорът реши да се върне при краля и да иска достатъчно войска, за да се покаже страшен за неприятелите, когато отиде към Димотика, а не да бъде презиран поради слабостта си. А когато се посъветва със съмишлениците си ромеи, всички като по даден сигнал казаха, че предпочитат по-скоро да останат и да се изложат хиляди пъти на смърт, отколкото да се върнат в земята на трибалите. Наистина те не смятаха, че ще се отправят в страна, осветена от слънце и населена от хора, но в бездните на ада и жилищата на мъртвите и даже нещо по-лошо. Императорът много ги уговаряше, че желае най-доброто и най-полезното, и молеше да се съгласят, но те не искаха дори да чуят, но смятаха за по-приемливи всички ужаси, които някой би споменал, отколкото отново да се върнат при трибалите. А императорът виждаше, че опасността не е малка, ако се съгласи със съмишлениците си, които даваха безполезни съвети и се насочваха

ἀλογίστως, ὅ,τι τε χρήσαιτο τοῖς πράγμασιν οὐκ ἔχων, τῶν συνόντων πείθεσθαι μὴ δυναμένων, πρότερον αὐτοῖς πολλὰ διαλεχθεὶς καὶ φανερὸν ποιήσας, ὡς διὰ τὴν αὐτῶν μικροψυχίαν καὶ ἀβουλίαν ἀνάξια ἑαυτοῦ καὶ τῆς στρατηγίας καὶ τῆς πείρας πράττει, ἐπείθετό τε ἄκων αὐτοῖς πρὸς τὴν βουλὴν καὶ παρεκελεύετο θαῤῥεῖν, ὡς τοῦ θεοῦ προστησομένου, ὥσπερ δὴ καὶ ἄλλοτε πολλάκις ἐν κινδύνοις οὐ μικροῖς, καὶ εἴχοντο ὁδοῦ. ἐπεὶ δὲ ἦσαν Χριστουπόλεως οὐ μακρὰν, πεζῷ περιτυγχάνουσι Ῥακοδυτοῦντι ἐκ Διδυμοτείχου ἀφιγμένῳ, ὃς παρεῖχε γράμματα βασιλεῖ παρὰ βασιλίδος τῆς γυναικὸς καὶ τῶν ἄλλων τῶν ἐν Διδυμοτείχῳ, φυλάττεσθαι παραινοῦντα καὶ μὴ ἀπερισκέπτως πρὸς αὐτοὺς χωρεῖν, εἰ μὴ δύναμιν ἄγοι μεγάλην καὶ πρὸς τοιούτους ἀξιόχρεων πολεμίους. πρωτοστράτωρ γὰρ ὁ Παλαιολόγος πολλὴν ἄγων στρατιὰν πεζήν τε καὶ ἱππικὴν ἐν Περιθεωρίῳ στρατοπεδευόμενος, τὴν αὐτοῦ ἄφιξιν περιμένει ὡς μαχούμενος. Ἀπόκαυκός τε ὁ παρακοιμώμενος ἔχων ἑβδομήκοντα τριήρεις, ἐν αἷς κατέπλευσεν εἰς Ἀμφίπολιν, ἐνταῦθα καὶ αὐτὸς ἐφορμεῖ· περὶ ὧν δέον βουλευσάμενον αὐτὸν, πράττειν ὅ,τι ἂν δοκῇ συμφέρειν. συμβέβηκε δέ τι περὶ τὰ γράμματα ἐκεῖνα θαυμαστὸν καὶ τῆς θεοῦ περὶ τὸν βασιλέα κηδεμονίας φανερῶς. ὡς γὰρ ἐν Βυζαντίῳ ἐμηνύθη, ὡς στρατιὰν ἔχων ἐκ Τριβαλῶν βασιλεὺς ὁ Καντακουζηνὸς αὖθις ἐπανέρχοιτο εἰς Διδυμότειχον, πρωτοστράτωρ τε συμπάσης πεζῆς καὶ ἱππικῆς δυνάμεως στρατηγῶν, πολλὴν ἔχων δύναμιν, εἰς Περιθεώριον ἀφῖκτο, καὶ Ἀπόκαυκος ὁ μέγας δοὺξ ἐξ Ἀμφιπόλεως ταῖς ἑβδομήκοντα ναυσὶν ἀναστρέφων τῆς αὐτῆς ἕνεκα αἰτίας, ἔγνω δεῖν περιμένειν καὶ αὐτὸς μετὰ τῆς ἄλλης στρατιᾶς καὶ βασιλεῖ τὴν ἐπάνοδον κωλύειν. τῶν ὁδῶν δὲ, ὡς ἔθος, φυλαττομένων, ἵνα μὴ λανθάνοιεν ἐκ Διδυμοτείχου ἢ βασιλέως πρὸς ἀλλήλους ἀφικνούμενοί τινες, ὁ τὰ γράμματα κατέχων ταῦτα συνελήφθη καὶ ἤχθη πρὸς πρωτοστράτορα· ἀνερευνώμενος δὲ περὶ γραμμάτων, ὡμολόγει ἔχειν καὶ παρείχετο εὐθύς. τὰ δὲ ἐδεῖτο βασιλέως τάχιστα ἥκειν πρὸς αὐτοὺς καὶ μὴ ῥᾳθυμεῖν. τῶν γὰρ ἐν Διδυμοτείχῳ τὸ μὲν στρατιωτικὸν ἱππεῖς τε καὶ πεζοὶ τὰ κατὰ Θράκην χωρία ληϊζόμενοι ἀφορμὰς τοῦ βίου ἐποιοῦντο. ὁμοίως δὲ καὶ χειροτέχναι καὶ ἄλλοι, ὅσοις ὁ βίος ἦν ἐκ τῶν χειρῶν, πονοῦντες καὶ ἐργαζόμενοι, διέζων τῶν ἀναγκαίων εὐποροῦντες. οἱ μέσοι δὲ τῶν πολιτῶν πάνυ κραταιῶς ἐπιέζοντο ὑπὸ ἐνδείας μηδεμίαν οὐδαμόθεν εὐπορίαν ἔχοντες. διὰ ταῦτα οὖν ἐδέοντο βασιλέως βασιλίς τε ἡ γυνὴ ὁμοίως καὶ οἱ ἄλλοι, τάχι-

вече към безразсъдни действия. И не знаеше как да постъпи в момента, понеже не можеше да убеди придружаващите го. Той много им говори преди това и заяви открито, че поради тяхното малодушие и нерешителност върши недостойни неща по отношение на себе си, на военното командуване и на делото. Той се съгласяваше против волята си с желанието им и ги подканяше да бъдат смели, понеже бог щял да се застъпи, както и друг път често е било в големи опасности, и така тръгнаха. А когато бяха недалеч от Христопол, те срещнаха пристигналия от Димотика пехотинец Ракодитунт, който даде писмо на императора от неговата жена-императрица и от другите граждани в Димотика. С писмото го подканяха да се пази и да се отправи към тях предпазливо, ако не води голяма и достатъчна войска против такива неприятели. Наистина протостраторът Палеолог с голяма войска от пехота и конница се бе разположил на лагер в Перитеорион и чакаше пристигането му, за да се сражават. И самият паракимомен Апокавк със седемдесетте триери, с които беше отплувал към Амфипол, остана на котва там. За тях той трябваше да вземе решение и да направи това, което би сметнал полезно. Около това писмо се случи нещо необикновено и очевидно имаше божия намеса в полза на императора. Когато бе съобщено във Византион, че императорът Кантакузин отново отива в Димотика с войска от трибали и че протостраторът начело на цялата пехота и конница, с голяма сила, е пристигнал в Перитеорион, и великият дук Апокавк поради същата причина, връщайки се от Амфипол със седемдесет кораба, разбра, че трябва да остане и сам той с цялата си войска и да попречи на императора да се върне. Понеже според обичая пътищата се пазеха, за да не се срещнат тайно помежду си тия, които идват от Димотика или от страна на императора, този, който носеше това писмо, бе заловен и доведен при протостратора. Като го разпита за писмото, той призна и веднага го даде. (В писмото) молеха императора по най-бърз начин да дойде при тях и да не проявява нехайство. Защото конници и пехотинци от войската в Димотика плячкосвали селищата в Тракия и си набавяли средства за живот. А също така и занаятчии и други, които се препитаваха с ръцете си, като залягаха и се трудеха, живеели охолно. Средните слоеве от гражданите страдали твърде много от оскъдицата, без да могат да получат отникъде средства за живот. Поради това жена му императрицата, както и другите молеха στα ἐπανήκειν, ὡς τῆς αὐτοῦ ἐπιδημίας τοῖς πολίταις ἐσομένης μεγάλων συμφορῶν ἀπαλλαγῆς. πρωτοστράτωρ δὲ ἐπεὶ τὰ γράμματα ἀνέγνω, περίεργόν τι δῆθεν ποιῶν καὶ ἀγχινοίας ἄξιον, ἔπειθε τὸν ἄγοντα, χρυσίον παρασχόμενος καὶ αὐτὸν ἐπαγγειλάμενος καὶ οἰκείους εὖ ποιήσειν, (Σηλυβριανὸς γὰρ ἦν,) ὥστε τὰ γράμματα μεταγραφέντα ᾗ αὐτῷ ἐδόκει, Καντακουζηνῷ ἀγαγόντα παρασχεῖν, μηδὲν ἀπαγγείλαντα τῶν εἰργασμένων, ἀλλ' ὡς ὄντα βασιλίδος τῆς γυναικός. ὁ μὲν οὖν ἐποίει κατὰ τὰ κεκελευσμένα καὶ πρωτοστράτωρ ἄκων ὠφέλησε βασιλέα τε καὶ τοὺς περὶ αὐτόν. ὡς γὰρ τά τε γράμματα ἀνεγινώσκετο καὶ ἤκουον περὶ τῆς ἐνεδρευούσης στρατιᾶς οἱ περὶ βασιλέα, ὡς πολλαπλασίων τε αὐτῶν εἴη καὶ τοῖς πᾶσιν ἐῤῥωμένη, οἷα δὴ οὔπω χθὲς καὶ πρώην τῶν οἰκιῶν εἰς τὴν στρατείαν ἐξελθόντες, θεῷ τε πολλὰς ὡμολόγουν χάριτας τῆς εἰς αὐτοὺς προνοίας καὶ τῶν κινδύνων τῆς ἀπαλλαγῆς, καὶ βασιλίδι τῆς σπουδῆς καὶ τῆς φροντίδος τῆς περὶ αὐτούς, καὶ ἄσμενοι ὑπέστρεφον, τοῦ μείζονος κινδύνου τὰ δυσχερῆ πρότερον καὶ δυσάρεστα ῥᾷστα καὶ λυσιτελέστατα φαίνεσθαι ποιοῦντος. οὕτω μὲν οὖν βασιλεύς τε καὶ οἱ ἀμφ' αὐτὸν ἀπροσδοκήτων ἐῤῥύοντο κινδύνων ἐκ τῆς παρὰ τῶν πολεμίων πονηρίας μέγιστα ὠφεληθέντες. ὁ μέγας δὲ δοὺξ πυθόμενος, ὡς πάνυ φαύλην ἄγων στρατιὰν καὶ ἐς τὰ μάλιστα εὐεπιχείρητος ὢν, ἀναστρέψειεν ἐκ τῶν γραμμάτων, ἃ μεταποιήσειεν ὁ γαμβρὸς, πολλὴν αὐτῷ ἐπῆγε μέμψιν καὶ ὠργίζετο φανερῶς, ὅτι τὸν ἐχθρὸν ἐξ ἀβουλίας ὠφελήσειε. πολλοὶ δὲ καὶ τῶν τὰ ἴσα ᾑρημένων Ἀποκαύκῳ καὶ ἀπιστίας πρωτοστράτορα ἐγράφοντο, ὡς ἑκὼν εἶναι Καντακουζηνὸν ὠφελήσειεν ἰσχυριζόμενοι κρύφα τὰ ἐκείνου ᾑρημένος. ὁ δ' ὅρκοις διεβεβαιοῦτο, ὡς οὐδὲν αὐτῷ τοιοῦτον συνειδείη, ἀλλ ὥσπερ ὑπό τινος ἀγόμενος δυνάμεως κρείττονος εἰς τοῦτο προαχθείη, νομίζων σφάλλειν Καντακουζηνὸν μετὰ βαρείας ἥκοντα δυνάμεως, εἰ πείσειεν ἀναστρέφειν ἐκφοβήσας. ταῦτα μὲν οὖν τοῦτον ἐπέπρακτο τὸν τρόπον, καὶ Καντακουζηνὸς ὁ βασιλεὺς αὖθις εἰς Κράλην ἐπανῆκεν. Ἀπόκαυκος δὲ ὁ μέγας δοὺξ εἰς Βυζάντιον ἀπέπλευσε, καὶ ὑπεδέχοντο αὐτὸν οἱ ἐν Βυζαντίῳ μετὰ κρότων πολλῶν καὶ θαυμασίων τῶν ἐγκωμίων, σωτῆρα καὶ πρόμαχον καὶ ἐλευθερωτὴν ἀποκαλοῦντες. περιηγγέλλετό τε πανταχόθεν, ὡς Καντακουζηνὸς οὐδ' ἀντιβλέψαι δυνηθεὶς πρὸς μέγαν δοῦκα, ὑπέστρεψε τῆς οἰκείας σωτηρίας ἀπογνοὺς καὶ ἐπὶ τὸ ἱερὸν ὄρος ἀφίξεται ὄντως μοναχῶν σχῆμα ἐνδυσόμενος· ἄλλως γὰρ οὐκ ἂν ἐξέσται πε-

императора веднага да се върне, понеже идването му щяло да избави гражданите от големи нещастия. А когато протостраторът прочел писмото, той наистина се престарал и проявил съобразителност. Убедил пратеника, като му дал злато и като обещал, че ще възнагради и него, и близките му (защото беше от Силиврия), да отиде при Кантакузин и да му предаде промененото по негово усмотрение писмо, без да съобщава нищо за извършеното, но като че то е от жена му императрицата. Действително той направи, както бе заповядано, и протостраторът против волята си помогна на императора и неговите хора. Защото, когато прочете писмото, и хората около императора узнаха за поставената в засада (против тях) войска, че била по-многобройна от тях и силна във всяко отношение, те, които бяха тръгнали от домовете си на поход не от вчера и завчера, въздадоха много благодарности на бога за грижата (му) към тях и за избавлението им от опасностите, а на императрицата за грижата и вниманието към тях, и радостни се върнаха, тъй като по-голямата опасност направи вчерашните трудности и мъчнотии да изглеждат по-лесни и по-поносими. Така императорът и хората около него избягнаха неочакваните опасности и извлякоха твърде голяма полза от коварството на неприятелите. А великият дук, като узнал, че той води твърде незначителна войска и лесно победима и че се бил върнал поради писмото, което тъстът бил променил, разгневил му се много и открито се разсърдил, понеже от глупост е подпомогнал неприятеля. Мнозина от привържениците на Апокавк обвинявали протостратора за вероломството му, като твърдели, че доброволно е подпомогнал Кантакузин, понеже бил негов таен привърженик. А той уверявал с клетви, че нищо такова не е желал, но като че ли каран от някаква по-могъща сила, е бил доведен до това положение, смятайки да излъже дошлия с голяма войска Кантакузин, и като го изплаши, да го накара да се върне. Наистина по такъв начин стана всичко това и императорътКантакузин отново се върна при краля. А великият дук Апокавк отплува за Византион и жителите на Византион го приеха много шумно и с необикновени почести, наричайки го спасител, защитник и освободител. Навсякъде се говореше, че Кантакузин не могъл да се опълчи срещу великия дук и затова се върнал, загубвайки надежда за собственото си спасение, и отишъл в Света гора, за да облече наистина монашеско облекло: защото иначе той не би могъл *ρεῖναι. καὶ ἑορταὶ πανταχοῦ συνεκροτοῦντο τῶν εὐαγγελίων ἕνεκα. ὁ μέγας δὲ δοὺξ ὀλίγῳ ὕστερον μεγάλῳ στρατοπεδάρχῃ τῷ Χούμνῳ τὴν πρὸς Καντακουζηνὸν βασιλέα βουλευθεῖσαν εἰρήνην ὥς τι ἔγκλημα ἐπικαλέσας, (οὐ γὰρ διέλαθεν αὐτὸν, ἃ πρὸς βασιλίδα πρότερον εἰρήκει περὶ τῆς εἰρήνης,) κατέκλεισεν αὐτόν τε καὶ τὸν υἱὸν ἀπρόϊτον εἰς τὴν οἰκίαν· μετ' ἐκεῖνον δὲ καὶ Ἀσάνην τὸν Κωνσταντῖνον καὶ τὸν υἱὸν, καὶ ἀξίας ἀπετίννυεν αὐτοῖς ἀντιμισθίας τοῦ πρὸς τὴν τοσαύτην τῶν Ῥωμαίων φθορὰν αὐτῷ συνάρασθαι. εἶτα καὶ τοὺς ἄλλους ἐπῄει, ὥσπερ φλὸξ ἀεὶ τῶν προσαπτομένων ἐπιλαμβανομένη.*

(II, pp. 328_{12}—336_{16})

39. *Irene imperatrix ad Alexandrum Bulgarorum regem legatos mittit. Bulgarorum rex Alexander Didymotichum obsidet*

III, 56. *Οἱ ἐν Διδυμοτείχῳ δὲ πυθόμενοι, ὡς αὖθις ὑποστρέψειεν ὁ βασιλεὺς εἰς Τριβαλοὺς, δεινὰ ἐποιοῦντο καὶ θορύβου ἦσαν μεστοὶ καὶ ταραχῆς. αἰσθομένη δὲ ἡ βασιλὶς Εἰρήνη, καὶ μεῖζον ἐπιδειξαμένη ἢ κατὰ γυναικεῖον φρόνημα, συνεκάλει πάντας καὶ παρῄνει, μὴ τὰ πραττόμενα ἡγεῖσθαι τῶν ἄγαν δεινοτάτων· ἴσως γάρ τοι μᾶλλον ἂν οὕτω λυσιτελεῖν δόξειε θεῷ· ἐκέλευέ τε διανίστασθαι καὶ μὴ καταπίπτειν, ὡς πολλῶν καὶ μεγάλων ἐλπίδων ἔτι ὑπολειπομένων. βασιλέα γὰρ πρὸς τὴν ἐπάνοδον οὐκ ἀπαγορεύσειν, ἀλλ' ἥξειν τε μετὰ μικρὸν, καὶ τῆς εἰς αὐτὸν εὐνοίας καὶ τῆς ἀνδρίας καὶ τῆς καρτερίας ἀμείψεσθαι ἀξίως. καὶ τούτοις τοῖς λόγοις ἀνεκτᾶτό τε οὐ μετρίως καὶ χρηστότερα ἐλπίζειν ἔπειθεν. ἐδόκει δὲ δεῖν κοινῇ βουλευομένοις, καὶ πρεσβείαν πρὸς Ἀλέξανδρον τὸν βασιλέα Μυσῶν ποιεῖσθαι καὶ συνθήκας τίθεσθαι ἐπὶ τούτοις πρὸς αὐτὸν, ὥστε σύμμαχον αὐτοῖς εἶναι καὶ φίλον καὶ βοηθεῖν ἐπὶ τοὺς πολεμίους καὶ μηδενὸς ἀμελεῖν ὧν προσήκει φίλῳ πρὸς αὐτούς. κἂν μὲν ἐπανέλθῃ βασιλεὺς ὁ Καντακουζηνὸς, αὐτὸν αὐτῷ τῆς συμμαχίας καὶ τῆς φιλίας τὰς χάριτας ἐκτίνειν· εἰ δὲ συμβαίη, ἢ πολέμῳ ἢ ἑτέρῳ τρόπῳ πρὶν ἐπανήκειν τελευτῆν, αὐτῷ τὴν πόλιν παραδιδόναι καὶ τῆς ἀρχῆς ἀφίστασθαι Ῥωμαίων. τοῦτο δὲ οὐχ οὕτω καὶ ἀληθῶς αὐτοῖς ἐδέδοκτο ποιεῖν, ἀλλὰ φενακίζειν ἐπειρῶντο τὸν Μυσὸν ἕνεκα δυοῖν, τοῦ τε αὐτὸν*

да оцелее. И поради приятните вести навсякъде бяха устроени веселби. А малко по-късно великият дук обвини някак великия стратопедарх Хуми затова, че дал съвет да се сключи мир с императора Кантакузин (защото от него не останало скрито това, което по-рано бе казал пред императрицата за мира).[249] Затова той затвори него и сина му в собствения им дом в пълна изолация. След него (затвори) и Константин Асен[250] и сина му. Те получиха заслуженото възмездие, задето му съдействуваха за толкова голямото унищожение на ромеите. И след това, както пожарът винаги поглъща това, до което се докосне, той нападна и другите.

39. Императрица Ирина провожда пратеници при българския цар Александър. Българския цар Александър обсажда Димотика

III, 56. Гражданите на Димотика, когато узнали, че императорът отново се е върнал при трибалите, се изплашиха и изпълниха със страх и смущение. А императрица Ирина[251], като разбра това, се показа по-силна, отколкото подобава на жена, свика всички и им напомни да не смятат, че положението е много тежко: може би така е било угодно на бога. Тя заповяда да не се отпускат и да не падат духом, понеже имат още твърде много и големи надежди. Наистина те нямало да попречат на императора да се върне, който след известно време щял да дойде и достойно щял да се отплати за тяхното благоразположение към него, за храбростта и твърдостта им. С тия думи тя до голяма степен ги спечели и ги убеди да се надяват на по-добро. Решиха, че трябва общо да се посъветват и да проводят пратеничество при Александър, царя на мизите, а освен това да сключат договор с него, за да им стане съюзник и приятел и да им помага срещу неприятелите[252] и да се грижи за всичко, което подобава на приятел към приятели. И ако императорът Кантакузин се върне, той щял да му благодари за съюза и за приятелството, а ако се случи да умре във война или по някакъв друг начин, преди да се върне, градът щял да му се предаде, като се отдели от ромейската власт. Но те решиха да не направят това така в действителност, а се опитваха да измамят мизиеца по две причини: или τῆς ἐλπίδος ἕνεκα αὐτοῖς ὠφέλειάν τινα παρέχειν, καὶ τοῦ βασιλίδα τὴν Ἄνναν καὶ Ῥωμαίους τοὺς αὐτοὺς πολιορκοῦντας πυθομένους, ὡς συμβάσεις περὶ παραδόσεως ποιοῦνται πρὸς Μυσοὺς, μὴ λίαν ἐπιτίθεσθαι, ἀλλ' ἀνακωχήν τινα παρέχειν, δεδιότας μὴ δι' ὀργὴν σφᾶς τε αὐτοὺς Μυσοῖς καὶ τὴν πόλιν παραδῶσιν. οἱ μὲν οὖν τοιαύτῃ γνώμῃ τὰς συνθήκας ἐποιοῦντο, ἀσμένως καὶ τοῦ Μυσῶν βασιλέως δεξαμένου καὶ παντὶ τρόπῳ συμμαχήσειν ἀπαγγελλομένου. τὸ δ' ἀπέβαινεν ἐναντίως, ἢ ᾠήθησαν αὐτοί. Ἀλέξανδρος γάρ, ἐπεὶ οἱ ἐν Διδυμοτείχῳ τὰς συνθήκας ἐποιήσαντο, ὡς, εἰ μὴ Καντακουζηνὸς ὁ βασιλεὺς ἐπανήξει, παραδώσειν αὐτῷ τὴν πόλιν, νομίσας, εἰ τρόπῳ δή τινι ἐκεῖνον διαφθείρειε, βεβαίως τὴν πόλιν ἤδη ἔχειν, πάντα κάλων ἐκίνει κωλύειν τὴν ἐπάνοδον αὐτῷ ἢ, εἰ δύναιτο, καὶ διαφθείρειν· καὶ πρεσβείας πρὸς Κράλην πέμπων συχνὰς καὶ Ἑλένην τὴν ἀδελφὴν Κράλῃ συνοικοῦσαν, παρῄνει Καντακουζηνὸν τὸν βασιλέα μὴ ἀνιέναι, ἀλλὰ δήσαντας ἐν δεσμωτηρίῳ φρουρεῖν ἢ καὶ ἀποκτείνειν· οὕτω γὰρ ἂν ἐξέσται τὴν Ῥωμαίων ἔχειν ἀρχὴν ἀπονητί. Κράλης μὲν οὖν αὐτοῦ τὰς παραινέσεις φαύλας ἡγούμενος, οὐ παρεδέξατο, μάλιστα εἰς τοῦτο ἐναγούσης καὶ τῆς γυναικός. ἐκεῖνος δὲ καὶ στρατιὰν πέμψας, ὅσην ᾤετο ἀρκεῖν τοῖς ἐν Διδυμοτείχῳ πρὸς πολιορκίαν, ἐκέλευσε φυλάττειν παραστρατοπεδευσαμένους, πρόφασιν μὲν, ὡς βοηθήσοντας ἐπὶ Ῥωμαίους τοὺς πολιορκοῦντας, τῇ δ' ἀληθείᾳ, ἵν' αὐτοὶ μᾶλλον ἀκριβέστερον πολιορκοῖεν. ὅπερ δὴ καὶ κατὰ τὴν ἐκείνου γνώμην ἐτελεῖτο. τῶν γὰρ Ῥωμαίων συχνὰς μὲν ποιουμένων τὰς καταδρομὰς, τάχιστα δὲ ἀναχωρούντων, ἀδείας οἱ ἐν Διδυμοτείχῳ τυγχάνοντες, τὰς κατὰ Θρᾴκην ἐληΐζοντο πόλεις καὶ νύκτωρ καὶ μεθ' ἡμέραν καὶ ἐκ τῆς ἁρπαγῆς καὶ λεηλασίας ἐποιοῦντο τὰς τοῦ βίου ἀφορμάς. τῶν Μυσῶν δὲ ἐπελθόντων καὶ συνεχῶς ἐπικειμένων ἐφ' ἡμέραις πλείσταις, εἰς στενὸν κομιδῇ περιέστη τὰ πράγματα αὐτοῖς, πάντων ἤδη κινδυνευόντων ὑπὸ τοῦ λιμοῦ διαφθαρῆναι. Μυσοὶ γὰρ ὁμοίως Ῥωμαίους τε ἐκώλυον τοῖς ἐν Διδυμοτείχῳ ἐπιέναι καὶ αὐτοὺς τῆς πόλεως μὴ ἐξιέναι. εἰ γάρ τινες ἐξίοιεν ἐφ' ἁρπαγὴν, ὥσπερ εἰώθεσαν, (οὗτος γὰρ ἦν αὐτοῖς ἀναγκαιότατος πόρος πρὸς τὸ ζῆν,) προστυγχάνοντες οἱ Μυσοὶ, (πάντως δὲ οὐκ ἐνῆν διαλαθεῖν πολλὴν πρόνοιαν τούτου καὶ φροντίδα ποιουμένους,) ἵππους τε ἀπεστέρουν καὶ ὅπλα καὶ γυμνοὺς ἠφίεσαν ἐπανήκειν πρὸς τὴν πό-

---

[249] Става дума за настоятелното искане на Хуми императрица Ана да сключи мир с Йоан Кантакузин и по този начин да се сложи край на гражданските междуособици във Византия. [250] Константин Асен, син на българския цар Иван Асен III. [251] Императрица Ирина, т.е. съпругата на Йоан Кантакузин. [252] Срещу неприятелите, т.е. срещу противниците на Йоан Кантакузин.

той, обладан от надежда, ще им окаже някаква помощ, или императрица Ана и ромеите, които ги обсаждаха, като се научат, че те се споразумяват с мизите да се предадат, не ще усилват нападението, но ще поспрат някак, уплашени, да не би от гняв да предадат себе си и града на мизите. Наистина те с такова намерение сключваха договора, тъй като и царят на мизите прие на драго сърце (това) и обещаваше, че ще помага по всякакъв начин. Но стана обратното на това, което те мислеха. Защото, когато жителите на Димотика сключиха договора, че ще предадат на Александър града, ако император Кантакузин не се върне, той сметна, че ще завладее сигурно града, ако по някакъв начин би могъл да погуби (императора).[253] И употреби всички средства, за да възпрепятствува завръщането му или пък, ако може, и да го погуби. И провождайки често пратеничества при краля и при сестра си Елена, жена на краля, той ги подканяше да не пускат император Кантакузин, но вързан да го пазят в затвора или дори да го убият, защото така би било възможно без усилие да завладее ромейската империя. Но кралят сметна внушенията му за неразумни и не ги прие, още повече, че и жена му го подтикваше към същото. А Александър изпрати войска, колкото смяташе, че е достатъчна за обсадата на жителите на Димотика, и ѝ заповяда да пази разположилите се наоколо на лагер под предлог, че ще помага срещу ромеите, които обсаждат града, а в същност за да затегнат сами още повече обсадата. И всичко бе извършено според желанието му. Понеже ромеите вършеха чести нападения, но твърде бързо се оттегляха, жителите в Димотика използуваха случая и опустошаваха тракийските градове и през нощта и през деня и чрез грабеж и плячка си набавяха необходимото за живот. А мизите нападаха и непрекъснато напираха в продължение на много дни и, разбира се, положението се влоши, тъй като всички рискуваха да погинат от глад. Наистина мизите пречеха еднакво и на ромеите да нападат жителите на Димотика, и на жителите да излизат от града. Защото ако някои биха излезли за грабеж, както бяха свикнали (този начин за тях беше крайно необходим, за да могат да живеят), мизите, които ги нападаха (защото не бе възможно те да се скрият, макар че проявяваха голяма съобразителност и грижа за това), отнемаха им и конете и оръжието и ги пускаха да λιν. εἰ δὲ προσαγγέλοιεν τοὺς ταῦτα πράττοντας οἱ ἐκ Διδυμοτείχου πρὸς τῆς στρατιᾶς τοὺς ἡγουμένους, οἱ δὲ μηδὲν εἰδέναι διετείνοντο, μηδὲ τῆς σφετέρας εἶναι στρατιᾶς τοὺς τολμῶντας τὰ τοιαῦτα, ἀλλὰ Ῥωμαίους, καὶ αὐτοὺς ἐπὶ ληστείᾳ περιιόντας· ἐκέλευόν τε τὸ στρατόπεδον περιιέναι, εἴ τι γένοιτο γνώρισμα λαβεῖν ἐκ τῶν ἀπολομένων, καὶ τὰ ἔσχατα ἠπείλουν διαθήσειν, εἴ τινα τοιοῦτον λάβοιεν. τὰ δὲ ἦσαν οὐδαμοῦ· πρότερον γὰρ ἐξέπεμπον αὐτοὶ πρὸς Μυσίαν τοὺς τοιαῦτα εἰργασμένους. τοῦτον μὲν οὖν τὸν τρόπον ἐν στενῷ κατέστησαν κομιδῇ τοὺς ἐν Διδυμοτείχῳ· πάνυ γὰρ ὑπὸ ἐνδείας ἐπιέσθησαν. συνορῶσα δὲ ἤδη τὸν κίνδυνον ἡ βασιλὶς Εἰρήνη, ἀπανίστασθαι ἐκέλευε τῆς πόλεως, ὡς οὐκέτι δεομένης τῆς παρ᾽ αὐτῶν ἐπικουρίας, ἀρκούσης ἤδη γεγενημένης· δι᾽ ἣν οὐ βασιλεῖ μόνον τῷ αὐτῶν, ἀλλὰ καὶ αὐτοῖς χάριν ὁμολογεῖν πολλήν. οἱ δὲ οὐδενὶ τρόπῳ ἔφασαν ἀναστήσεσθαι, ἀλλὰ διηνεκῶς αὐτόθι μενεῖν ἐπικουροῦντας. οὕτω γὰρ αὐτοῖς εἶναι προστεταγμένον παρὰ βασιλέως τοῦ σφετέρου. ἡ τοιαύτη δὲ ἀπολογία πολλὴν ἐνέβαλε ταραχὴν καὶ πτοίαν τοῖς ἐν Διδυμοτείχῳ. ἤδη γὰρ αὐτοῖς ἐφαίνετο ὁ ὄλεθρος ἐλλείπων κατ᾽ οὐδέν. ὁ δὲ τῆς πόλεως ἀρχιερεὺς ὁρῶν ἤδη κλονουμένους καὶ πρὸς τὴν ὑπερβολὴν τῆς δυσπραγίας ἐνδιδόντας, παρελθὼν εἰς μέσους, παρεθάῤῥυνε καὶ οὐκ εἴα καταπίπτειν, κατὰ γνώμην θεῷ πάντα τὰ τῇδε πράττεσθαι εἰπὼν, καὶ τὰς τοιαύτας ἐπηρείας ὑπ᾽ ἐκείνου παραχωρεῖσθαι, ἵνα τὸ πρὸς βασιλέα φίλτρον ὑμῶν δοκιμασθῇ· ὃς ἥξει τε μετὰ μικρὸν καὶ πάντας ἀμείψεται ταῖς προσηκούσαις εὐεργεσίαις. μηδὲ γὰρ οἴεσθε ἐκεῖνον μὴ κατὰ γνώμην βασιλεύειν θεῷ. τοῦτο γὰρ αὐτὸς σαφέστατα εἰδέναι. ἀμφισβητῶν γὰρ, ἔφασκεν, ἐν ἀρχῇ περὶ ἐκείνου, εἰ μὴ κατ᾽ εὐδοκίαν, ἀλλὰ μᾶλλον κατὰ παραχώρησιν θεοῦ εἰς τοῦτο ἦλθε σχήματος ἰδίᾳ πειθόμενος ἐπιθυμίᾳ καὶ ὁρμῇ, καὶ δεδοικὼς μὴ καὶ αὐτὸς συναπόλοιτο, τοῖς θεῷ συνῳὰν βουλευσαμένοις ἐναντία, εὐχαῖς προσανέχειν καὶ δεήσεσι τὸ θεῖον ἐκκαλεῖσθαι, ὥστε διδαχθῆναι περὶ αὐτοῦ, εἰ μὴ ὀργίζοιτο περὶ τῶν γινομένων. ἐκκαλυφθῆναι δὲ αὐτῷ παρὰ τοῦ πνεύματος, ὅτι κατ᾽ εὐδοκίαν μᾶλλον εἴη τὸ βασιλεύειν Καντακουζηνόν. ᾧ καὶ πεισθέντα καὶ πᾶσαν ἀμφιβολίαν ἀποθέμενον ἐν Διδυμοτείχῳ μένειν τῇ βουλήσει τοῦ θεοῦ συναιρόμενον τὰ δυνατά. οὐ γὰρ ἄν τις αὐτοῦ κατηγοροίη, ὅτι τῶν ἐν τῷ παρόντι βίῳ τινὸς δέοιτο παρὰ βασιλέως. οὔτε γὰρ πρότερον, οὔτε μέχρι νῦν τοιούτου τινὸς παρά τινος ἐδεήθη. καὶ αὐτοῖς παραινεῖν

---

[253] Императора, т.е. Йоан Кантакузин.

се върнат в града с празни ръце. А ако жителите на Димотика обвиняваха пред началниците на войската тия, които вършеха това, те твърдяха, че нищо не знаят и че одързостилите се да извършат това не са от тяхната войска, а ромеи, които също обикаляли за плячка. Те им заповядаха да обикалят лагера и да вземат загубените неща, ако ги познаят Те заплашваха с найстрашно наказание, ако открият някой грабител. А никъде нямаше такива неща, защото предварително те изпращаха в Мизия тия, които бяха извършили подобни работи. Разбира се, по такъв начин те поставиха жителите на Димотика в тежко положение, защото бяха извънредно много притеснени от оскъдицата. Императрица Ирина видя опасността и затова заповяда (мизите) да се оттеглят от града, понеже нямало нужда вече от тяхната помощ. тъй като те достатъчно помогнали. Заради тази помощ те изказаха голяма благодарност не само на техния цар, но и на самите тях. А те казаха, че по никакъв начин не щели да се оттеглят, но оставали твърдо там, за да помагат, защото техният цар им бил наредил така. Този отговор предизвика голямо смущение и страх сред жителите на Димотика. Защото гибелта им изглеждаше неминуема. Архиереят на града, като видя, че съвсем са се изплашили и са се помирили с голямото нещастие, излезе сред тях, окуражаваше ги и не допусна да паднат духом, като каза, че всичко там се извършвало по божия воля и тия злини са пратени от него, за да провери привързаността им към императора. Той щял да дойде след известно време и щял да се отплати на всички със съответните благодеяния. „И не мислете, че той царува не по божия воля.“ Наистина той знаел това твърде ясно. Той казваше, че отначало се съмнявал да не би той да е достигнал до тези царски одежди не по божие благоволение, а по негово снизхождение, подчинявайки се на собственото си желание и стремеж и затова се боел да не погине и сам той заедно с тия, които са взели решения, противни на бога. Той отправял молитви и призовавал бога с молби да бъде просветен от него дали не се гневи за станалото. Нему било открито от (светия) дух, че Кантакузин щял да царува напълно по (божие) благоволение. Убеден от това и отхвърлил всяко съмнение, той останал в Димотика по божие съизволение, за да помогне, каквото може. Защото никой не би могъл да го обвини, че той би поискал от императора някаква житейска облага. Защото нито по-рано, нито досега той е молел такова нещо от νυνὶ γενναίως ἵστασθαι πρὸς τῶν δεινῶν τὰς ἐπαγωγάς, ὡς οὐ μέχρι πολλοῦ τινος ἐσομένας, ἀλλ' ὀλίγῳ ὕστερον λυθησομένας, ἵλεων αὐτοῖς ἐπιβλέψαντος θεοῦ. τοὺς γὰρ πολιορκοῦντας τούτοις Μυσοὺς, ἐν προσχήματι φιλίας καὶ τὴν παροῦσαν ἔνδειαν ἐπαγαγόντας, ἐν ἑπτὰ ταῖς ἐσομέναις μάλιστα ἡμέραις συμπατοῦντας ὄψεσθε ἀλλήλους καὶ φυγῇ τὴν σωτηρίαν ποριζομένους καὶ τῶν περισχόντων ἀπαλλάξεσθε δεινῶν. ὁ μὲν οὖν μετροπολίτης τοιαῦτα εἶπε· πᾶσι δὲ εὐθὺς ἐπῆλθε βελτίω προσδοκᾷν καὶ τῆς ἀθυμίας ἀπηλλάττοντο· ᾔδεσαν γὰρ αὐτὸν τὰ μέλλοντα εἰδέναι μᾶλλον, ἢ τὰ παρεληλυθότα ἕτερον· καὶ ὡς προφητεύοντι προσεῖχον φανερῶς. διηπόρουν δὲ ὅ, τι ἂν εἴη τὸ Μυσοῖς αἴτιον ἐσόμενον φυγῆς. ὁ δ' αὐτὸς ἀρχιερεὺς καὶ Ἀποκαύκῳ τῷ μεγάλῳ δουκὶ ἔγραψε τοιαῦτα, ὡς ἀποροίη, ὅτου ἕνεκα πεῖραν αὐτοῦ πολλάκις ἐν πολλοῖς πρότερον ἐσχηκώς, καὶ τῶν εἰρημένων τὴν ἔκβασιν οὐκ εἰς μακρὰν, οὐδ' εἰς ἕτερόν τινα, ἀλλ' εἰς ἑαυτὸν ἰδὼν σαφέστατα γεγενημένην, νῦν ἀπιστοίη παντάπασι καὶ λόγους οἴοιτο εἰκῇ λεγομένους τὰ εἰρημένα ὑπ' αὐτοῦ. αὐτὸς δὲ καίτοι μὴ βουλομένῳ πείθεσθαι, οὐδὲν ἧττον συμβουλεύσειν, ἃ αὐτῷ τε καὶ Ῥωμαίοις ἅπασι λυσιτελήσειν οἴεται. ἐκκαλυφθῆναι γὰρ αὐτῷ παρὰ θεοῦ, ὡς οὐκ ἐκείνῳ μᾶλλον, ἀλλὰ Καντακουζηνῷ, τῷ πρὶν μὲν μεγάλῳ δομεστίκῳ, νυνὶ δὲ βασιλεῖ γεγενημένῳ, τὸ τοῖς βασιλέως παισὶν ἐπιτροπεύειν καὶ συμβασιλεύειν προσήκει. διὸ καὶ δεδόσθαι παρὰ θεοῦ· ἐκείνῳ δὲ ὑπ' ἐκεῖνον εἶναι καὶ περὶ ναῦς ἀσχολεῖσθαι καὶ θαλασσοκρατεῖν. συνεβούλευέ τε ἔχεσθαι τῶν δεδομένων καὶ μὴ ὑπὲρ τὰ ἐσκαμμένα πηδᾷν, καὶ ἐδεῖτο πείθεσθαι· μηδὲ γὰρ ἂν εἰς τέλος ἥξειν ἀγαθὸν αὐτῷ τὸ τοῖς βεβουλευμένοις ἀνθίστασθαι θεῷ. καὶ αὐτὸς γὰρ ἐν ἀρχῇ μάλιστα ἔφασκε τῆς ἀναῤῥήσεως Καντακουζηνοῦ τοῦ βασιλέως περὶ τῶν πραττομένων δυσχεραίνων καὶ ἀναλογιζόμενος, εἰ μὴ κατὰ γνώμην εἴη θεῷ τὰ εἰργασμένα, καὶ διὰ τοῦτο δεήσεσι προσκείμενος καὶ ἱκεσίαις, ἐκδιδαχθῆναι παρὰ θεοῦ αὐταῖς λέξεσιν· ὡς θέλω, εὐδοκῶ, ὁρίζω βασιλεύειν Ἰωάννην τὸν Καντακουζηνὸν, καὶ γενέσθω. ἃ τοίνυν ὁ θεὸς εὐδόκησεν, οὐδένα δίκαιον ἀνθρώπων πειρᾶσθαι καταλύειν, ὅτι μηδὲ δυνατόν. ἠξίου τε μὴ κόμπον τὰ τοιαῦτα οἴεσθαι καὶ ἄλλως ἐπίδειξιν ἀρετῆς· μηδὲ γὰρ ἂν εἰς τοσοῦτον ἀπονοίας βάραθρον ἐληλακέναι, ὡς τοιαῦτα καταψεύδεσθαι θεοῦ. ἀλλὰ τῆς τε ὠφελείας τῶν πολλῶν, ἀδίκως οὕτω καὶ παρὰ πάντα τοῦ δικαίου νόμον ἀπολλυμένων ὑπὸ τοῦ

някого и сега ги насърчава храбро да се противопоставят на появилите се трудности, понеже не щели да траят дълго, но малко по-късно щели да изчезнат под благосклонния поглед на бога. „Защото в най-близките седем дни ще видите мизите, които ви обсаждат, и под предлог, че са приятели, причиниха настоящото тежко положение, да се тъпчат помежду си и да търсят спасение в бягството. И така ще се отървете от заобикалящите ви злини." Прочее архиереят каза това и всички се обнадеждиха и се освободили от отчаянието. Защото знаеха, че той вижда бъдещето повече, отколкото друг миналото. И открито му повярваха като на пророк. Недоумяваха каква ли ще е причината за бягството на мизите. Архиереят писа и на великия дук Апокавк, че недоумявал, защо по-рано, като го е проверявал често в много неща и като е виждал твърде ясно, че резултатът от думите му не се забавял много, и то не по отношение на някой друг, а към самия него, сега изобщо не бил вярвал и смятал, че казаните от него неща са празни приказки. И той, макар че (Апокавк) не желаел да му повярва, все пак би го посъветвал това, което смята, че ще бъде от полза нему и на всички ромеи. Наистина бог му бил открил, че подобава не нему, но по-скоро на Кантакузин предишния велик доместик, а сега станал император, за да управлява заедно с императорските деца и да им бъде настойник. И затова бог е отредил той (Апокавк) да му се подчинява, да се занимава с флотата и да бъде висш морски началник. Същевременно го съветваше да се задоволява с даденото и да не прекрачва границата. И го молеше да се подчинява. Наистина нямало да свърши добре, ако се противопоставя на божието решение. Действително той казваше, че и сам най-вече в началото на провъзгласяването на Кантакузин за император негодувал от извършеното и обмислял дали стореното не е против божията воля и поради това, като се отдал на молби и молитви, бил поучен от бога със следните слова: „Искам, благоволявам и определям да управлява Йоан Кантакузин и (така) да бъде." Това е решението на бога и никой от хората да не се опитва да го наруши несправедливо, понеже е невъзможно. И моля това да не се смята за самохвалство или като признак на добродетел, защото не съм дошъл до такава степен на безумие, че да приписвам лъжливо такива работи на бога. Тия неща били казани в полза на мнозина, неспрадведливо и против всякакъв закон на справедливостта поπολέμου, καὶ τοῦ αὐτὸν ἐξελέσθαι ὑφ' ἧς κατέχεται ἀπάτης, οἰόμενον Καντακουζηνοῦ τοῦ βασιλέως περιγενήσεσθαι, εἰρῆσθαι τὰ τοιαῦτα· οἷς εἰ πεισθείη, εἴσεται τὴν ὠφέλειαν οὐκ ἐν μακρῷ, εἰ δ' οὐ πεισθείη, πάντως εἴσεται ὡς ἀληθείας φίλος αὐτὸς καὶ παρ' ἐκείνης τὰ τοιαῦτα δεδιδαγμένος. τοιαῦτα μὲν ὁ Διδυμοτείχου ἔγραφε πρὸς μέγαν δοῦκα διαῤῥήδην περὶ Καντακουζηνοῦ τοῦ βασιλέως προλέγων, ὡς τῶν ἀδικούντων περιέσται. ἐκεῖνος δὲ ἐπεὶ τὰ γράμματα ἀνέγνω, οὐδὲν πλέον ἀπεκρίνατο. οὐ περὶ βασιλέως δὲ μόνον ἐκεῖνος πολλὰ τοιαῦτα προηγόρευεν, ἀλλὰ καὶ περὶ ἰδιωτῶν τινων οὐκ ὀλίγα. Βρυεννίου γὰρ τοῦ Μιχαὴλ, Παμφίλου ἄρχοντος, ἐπιβουλευθέντος τε ὑπὸ τοῦ δήμου καὶ δεσμώτου εἰς Βυζάντιον ἀπαχθέντος, δεσμωτήριόν τε ὑπὸ τῶν ἀρχόντων οἰκεῖν κατεψηφισμένου, ἐπεὶ χρόνῳ ὕστερον μικρᾶς τινος ἕνεκα αἰτίας ὁ τῆς φρουρᾶς ἄρχων ὑπὸ μανίας ἀλόγου καὶ θυμοῦ εἰς τοσοῦτον ᾐκίσατο σφοδρῶς, ὡς νομισθῆναι καὶ ἀποθανεῖν, πρὸς τοὺς οἰκείους ἐν Διδυμοτείχῳ τῆς φήμης διαδραμούσης, κἀκείνων τοῦ ἀρχιερέως δεομένων ἀπαγγέλλειν τῇ γυναικὶ τοῦ ἀνδρὸς τὴν τελευτὴν, ἵν' ὑπὸ τῆς πρὸς ἐκεῖνον αἰδοῦς κατεχομένη, μὴ τὴν ψυχὴν ἀποῤῥήξῃ πρὸς τὴν ἀγγελίαν, ἐκεῖνος οὐ τετελευτηκέναι ἔφασκε Βρυέννιον, ἀλλὰ ζῆν· τετύφθαι μέντοι εἰς τοσοῦτον ἀπανθρωπίας, ὡς καὶ ἁλῶν δεηθῆναι, τὰς σηπεδόνας καὶ φλεγμονὰς τὰς ἐκ τῶν μαστίγων καταστελούντων. μὴ μέντοι γε ἀποθανεῖν, ἀλλὰ ζῆν καὶ τὴν ἀπανθρωπίαν τῶν αἰκισαμένων ἄλλων τέ τινων ἀποῤῥητοτέρων ἕνεκα αὐτῷ ἐπενεχθῆναι, καὶ τῆς εἰς παῖδας καὶ γυναῖκα ἐπανόδου αἰτία μάλιστα ἐκείνη ἔσται. τοῦ δεσμωτηρίου γὰρ ἀπολυθεὶς ἐπὶ τῷ ἰᾶσθαι τὰς πληγὰς, διαδρὰς ἀφίξεται ἐνθάδε. χρόνῳ δὲ ὕστερον καὶ βασιλέως παρόντος, πεσεῖται μαχόμενος ὑπὲρ αὐτοῦ. ἃ πάντα ὕστερον κατὰ τὴν ἐκείνου πρόῤῥησιν ἀπέβαινεν. ἀφεθεὶς γὰρ τοῦ δεσμωτηρίου ὁ Βρυέννιος ἐπὶ τῷ προνοίας τινὸς τυχεῖν παρὰ τῶν ἰατρῶν, καιροῦ τυχὼν διεσώζετο οἴκαδε διαδρᾶναι δυνηθείς· ὕστερον δὲ ἐν τῇ πρὸς Μομιτζίλον μάχῃ ἔπεσε μαχόμενος ἐπίπροσθεν βασιλέως. τοιαύτης ἦν ἐκεῖνος χάριτος ἠξιωμένος παρὰ θεῷ, καὶ τὰ ἐσόμενα ὡς ὁρώμενα προῄδει. οἱ μέντοι Μυσοὶ οἱ περὶ Διδυμότειχον ἐστρατοπεδευμένοι μετὰ μικρὸν παρὰ τῶν σφετέρων πυθόμενοι σκοπῶν, ὡς πλῆθος Περσικῶν νεῶν τῇ τοῦ Ἕβρου προσέσχεν ἐκβολῇ, ὑπὸ τοῦ θορύβου καὶ τῆς ταραχῆς ἀλλήλους συμπατοῦντες κατὰ τὴν ἀρχιερέως πρόῤῥησιν τάχιστα ἀνεχώρουν, καὶ ὅποι γῆς κατεδύοντο ἀγνοοῦ-

губвани от войната, и за да се освободи той от обладалата го самоизмама, като смятал, че ще надвие императора Кантакузин. Ако се вслушал в тия неща, скоро щял да види ползата, а ако не се вслушал, без съмнение щял да узнае, че той бил приятел на истината и че тя го е научила на това. Това пишеше изрично архиереят на Димотика на великия дук за императора Кантакузин, предупреждавайки, че той ще надвие неприятелите си. А когато онзи прочете писмото, нищо не отвърна. Той предсказваше много такива неща не само за императора, но немалко и за някои частни лица. Когато сред народа бе устроен заговор против Михаил Вриений, управител на Памфил, той бе отведен вързан във Византион и осъден от архонтите да лежи в затвора. А когато малко по-късно началникът на стражата поради някаква малка причина го измъчил толкова тежко, че го смятали за умрял, мълвата (за това) достигнала до близките му в Димотика и те помолили архиерея да съобщи на жена му за смъртта на мъжа ѝ. За да не се уплаши тя за него и за да не умре внезапно при съобщението, архиереят казал, че Вриений не е умрял, а е жив. Наистина той бил бит толкова нечовешки, че е била необходима сол, за да се успокоят гнойните рани и подутините, причинени от ударите на камшици. Той не бил умрял, но останал жив и бил третиран нечовешки и поради някои други по-тайни причини. Това щяло да бъде причина той да се завърне при децата си и жена си. Той наистина бил освободен от затвора, за да лекува раните , и като избяга, щял да пристигне тук. А малко по-късно той в присъствието на императора ще загине, сражавайки се заради него. Всичко това се случи по-късно според неговото предсказание. Защото Вриений, пуснат от затвора, за да получи някаква помощ от лекарите, като използувал случая, можал да избяга у дома си и се спасил. И по-късно той загина в бой срещу Момчил, сражавайки се пред очите на императора. С такава способност бе надарен патриархът от бога и предвиждаше това, което ще стане, като че ли го виждаше. А мизите, които се бяха разположили на лагер около Димотика, узнаха след известно време от съгледвачите си, че множество персийски кораби са навлезли в устието на Хеброс[254], и от страх и смущение се тъпчеха помежду си, както архиереят предсказа, и веднага отстъпиха, като не знаеха къде да се скрият.

---

[254] Хеброс, река Марица.

μενοι. οἱ δὲ ἐν Διδυμοτείχῳ τὴν αἰτίαν ἀγνοοῦντες τῆς φυγῆς, ἐθαύμαζον ὅ,τι ποτ' ἂν εἴη τὸ οὕτω θορυβῆσαν τοὺς Μυσούς. μετὰ μικρὸν δὲ ἠγγέλλετο, ὡς Ἀμοὺρ ὁ τοῦ Αἰτίνη, φίλος ὢν ἐς τὰ μάλιστα Καντακουζηνῷ τῷ βασιλεῖ καὶ πολλὰς ἀποδείξεις τῆς εἰς αὐτὸν εὐνοίας καὶ πρότερον παρεσχημένος, (δι' ἐκεῖνον γὰρ καὶ βασιλεῖ τῷ νέῳ Ἀνδρονίκῳ πρὸς τὸν κατὰ Φωκαίας καὶ Λέσβου πόλεμον συνεπολέμησε,) πεπυσμένος περὶ αὐτοῦ, ὡς μεγάλαις χρήσαιτο κακοπραγίαις, κοινῇ τῶν Ῥωμαίων αὐτῷ πάντων ἐκπολεμωθέντων, καὶ αὐτὸς μὲν ᾤχετο ἐς Τριβαλοὺς φυγάς, Διδυμότειχον δὲ, ὃ μόνον καταλέλειπτο γυναικί τε καὶ τέκνοις καὶ τοῖς ἄλλοις τοῖς ὑπολειφθεῖσι φίλοις καταφυγὴ δεινῶς ὑπὸ τῆς συχνῆς πολιορκίας ὑπὸ ἐνδείας ἐπιέσθη, καὶ κινδυνεύει τὸ τοῦ φίλου σκάφος αὔτανδρον ἀπολωλέναι, ὀγδοήκοντα καὶ τριακοσίας ναῦς τὰς συμπάσας ὁμοῦ παραλαβὼν, καὶ μείζους καὶ ἐλάσσους, ἐν αἷς ἐννακισχίλιοι πρὸς δισμυρίοις ἐπιβάται κατελέγοντο, παρὰ τὸ τοῦ Ἕβρου στόμα προσέσχε. πέμψας δὲ καὶ ἐκεῖνος πρέσβεις πρὸς Εἰρήνην τὴν βασιλίδα, ἀπήγγελλε τὰ ἴσα· ἐδήλου τε ὅτι ἥξει καὶ αὐτὸς μετὰ μικρόν. Εἰρήνη δὲ ἡ βασιλὶς τούς τε στρατιώτας ἔπεμπεν, ὅσοι ἦσαν, καὶ τοὺς ἄλλους τῶν εὐγενεστέρων εἰς ὑπάντησιν ἐκείνου, καὶ ἵππους ἑκατὸν, ὡς ἂν αὐτός τε χρήσαιτο καὶ μὴ πεζῇ βαδίζῃ, καὶ τοῖς ἄλλοις διαδῷ. ἀπήγγελλόν τε οἱ κεκομικότες, μὴ μέμφεσθαι τῆς ὀλιγότητος, ὡς διὰ τὸν περισχόντα πόλεμον αὐτῶν μᾶλλον ἵππων δεομένων καὶ διὰ τοῦτο τῶν παρόντων οὐ πλείους παρέχεσθαι δεδυνημένων. τοὺς μὲν οὖν ἵππους ἐδέξατο ἀσμένως καὶ βασιλίδι χάριτας τῆς εὐεργεσίας ὡμολόγει· διέδωκε δὲ τοῖς εὐγενεστέροις τῶν Περσῶν καὶ μάλιστα προήκουσι καθ' ἡλικίαν. ἐρόμενος δὲ περὶ τοῦ φίλου βασιλέως εἰ ζῇ, πολλὰ στενάζων καὶ δάκρυα τῶν ὀφθαλμῶν ὑπὸ συμπαθείας ἀφιεὶς, ἐπεὶ ἐπύθετο ζῆν θεοῦ βουλομένου, πρῶτα μὲν ὡμολόγει χάριτας θεῷ, πολλὴν αὐτοῖς τὴν πρόνοιαν καὶ τόλμαν ὑπὲρ βασιλέως παρεσχημένῳ, ἔπειτα δὲ καὶ αὐτοῖς τῶν αὐτῶν ἕνεκα καὶ χάριτας ὡμολόγει καὶ πολλῶν καὶ μεγάλων ὀφειλέτην ἑαυτὸν ἀπέφαινεν, ὡς κινδύνους μεγάλους καὶ πολλοὺς ὑπὲρ ἐκείνου ἐνεγκοῦσι. τὴν στρατιάν τε παραλαβὼν, πεζὸς ἐχώρει καὶ αὐτὸς εἰς Διδυμότειχον, δισχιλίους λογάδας ἔχων περὶ ἑαυτόν. δεομένων δὲ τῶν ἐκ Διδυμοτείχου ἵππῳ χρῆσθαι, καὶ παρεχομένων καὶ ἑτέρους πρὸς τοῖς ἑκατὸν, οὐκ ἐπείθετο αὐτὸς, δισχιλίους εἶναι φάμενος τοὺς εὐγενεστέρους καὶ μάλιστα ἀξίους ἵπποις χρῆσθαι. ἐπεὶ δὲ μὴ εὐποροίη πᾶσι διαδοῦναι, βέλτιον πεζεύειν καὶ αὐτὸν, ἐν τῷ

А гражданите на Димотика, като не знаеха причината на бягството, се учудваха какво ли е смутило толкова мизите. Наскоро бе съобщено, че Омур, син на Айдин, който бе голям приятел на император Кантакузин, а и по-рано бе проявил голямо благоразположение към него (защото заедно с него и с младия император Андроник водил войната срещу Фокея и Лесбос), узнал за Кантакузин, че е изпаднал в голямо затруднение, понеже всички ромеи общо воювали с него, и че самият той бил избягал при трибалите. Димотика пък, която останала като единствено убежище за жена му и останалите му приятели, била измъчвана страшно от недоимък поради непрекъснатата обсада и имало опасност корабът на приятеля му да потъне. Затова взел всички триста и осемдесет кораба, по-големи и по-малки, в които се били разположили двадесет и девет хиляди моряци, и достигнал до устието на Хеброс. И той проводи пратеници при императрица Ирина и съобщи същото: известяваше, че и сам ще дойде след малко. А императрица Ирина изпрати колкото войници имаше и други от познатите да го посрещнат, а освен това и сто коня, та сам да си послужи с тях и да не върви пеша, а и на други да даде. Тия, които доведоха (войниците), казали да не се сърди за малкия брой, тъй като поради избухналата наоколо война сами повече се нуждаели от коне и поради това не били в състояние да оставят повече от тези. Той прие на драго сърце конете и благодари на императрицата за услугата. Разпредели ги измежду най-знатните перси и най-вече между по-възрастните. Питайки за своя приятел императора, дали е жив, той започна да въздиша много и да пролива сълзи от съчувствие, когато научи, че по божия воля е жив. Той най-напред въздаде благодарности богу, който им дал възможност да проявят голяма грижа и смелост по отношение на императора. А след това за същото благодари и на тях и заявяваше, че им е задължен за многото и големи (услуги), понеже понасяли много и големи опасности заради него. Като взе войската и той сам тръгна пеша към Димотика с две хиляди отбрани войници около себе си. А гражданите на Димотика настояваха да си послужи с кон и към стоте коне прибавиха други, но той не се съгласи, като каза, че има две хиляди войници по-благородни и напълно достойни да яздят коне. А понеже нямаше възможности да даде на всички (коне), по-добре и сам да върви пеша, та като понася с тях трудностите, да направи συμπονεῖν αὐτοῖς ῥᾴω καὶ φορητοτέραν τὴν ἐκ τῆς ὁδοῦ ποιοῦντα ταλαιπωρίαν. οὕτω μὲν οὖν μέχρι καὶ Διδυμοτείχου ἦλθεν. ἡμέρας δὲ περιμείνας οὐ πολλάς, ἐν αἷς ἔδει τοὺς εἰς Διδυμότειχον τὰς κατὰ Θρᾴκην πορθοῦντας κώμας σῖτον πορίζειν ἑαυτοῖς, ἐπεὶ ἐπράττετο αὐτοῖς τὰ κατὰ γνώμην καὶ σῖτον εἰσεκομίζοντο πολὺν καὶ τὰ ἄλλα ἐπιτήδεια καὶ βοσκήματα, ἐκέλευεν, ὅσα ἦσαν ἐν τῷ στρατοπέδῳ τῷ σφετέρῳ ἐκ τῆς λείας τοῖς ἐν Διδυμοτείχῳ παρέχειν· καὶ ἐπράττετο, ᾗ προσέταττεν ἐκεῖνος. πεντακοσίους τε ἐκ δισχιλίων ἐκείνων λογάδων ἀπολεξάμενος καὶ ἐννακισχιλίους ἐκ τῆς ἄλλης στρατιᾶς, ἔπεμπεν εἰς τὰς ναῦς, φρουρήσοντας ἄχρις ἐπανήξει· τὸ δὲ λοιπὸν στρατόπεδον εἰς δισμυρίους ὄντας ἐπὶ πεντακοσίοις καὶ χιλίοις τοῖς λογάσιν, ἕπεσθαι ἐκέλευεν, ὡς ἐκεῖσε ἀφιξόμενος, ἔνθα διατρίβει βασιλεύς. ᾔεσαν οὖν ἅπαντες καὶ αὐτὸς πεζῇ, πλὴν τῶν ἑκατὸν ἐκείνων, ἀδυνάτων ὄντων πεζεύειν διὰ τὸ γῆρας. καὶ γενόμενοι παρὰ τὸ ἐν Χριστουπόλει τείχισμα, ἐπεὶ ἀντέχειν οὐχ οἷοί τε ἦσαν οἱ φρουροῦντες πρὸς τοσαύτην δύναμιν, πολλαχοῦ διατεμόντες, ἐκείνων ἐκλιπόντων, διέβησάν τε καὶ ηὐλίσαντο ἐγγὺς τὴν νύκτα.

(II, pp. 336_{17}—346_{23})

по-леки и поносими незгодите на пътя. И така пристигнал до Димотика. Той остана немного дни, през които димотичани трябваше да си набавят храна, като оплячкосат селата в Тракия, и след като бе направено всичко според желанието им и се снабдиха с много жито, други припаси и с добитък, той заповяда да им предадат всичко, каквото имаше в лагера от плячката. И бе направено така, както нареди. Той отдели петстотин от двете хиляди отбрани войници и девет хиляди от останалата войска и ги изпрати при корабите, за да (ги) пазят, докато се върне. А на останалата войска от двадесет хиляди и петстотин души и на 1500-те отбрани войници заповяда да го следват, за да отиде там, където беше императорът. Прочее сам той и всички останали тръгнаха пеша освен онези сто, които не можеха да вървят пеша поради старост. И като пристигнаха до укрепленията на Христопол, понеже стражите не можеха да се противопоставят на толкова голяма войска, те пробиха на много места, след като стражите напуснаха (местата си), преминаха и прекараха нощта наблизо.

40. *Cantacuzenus imperator Berrhoeam obsidet. Serborum exercitus ad flumen Axium venit*

III, 57. Φεραῖοι δὲ πυθόμενοι περὶ τῆς στρατιᾶς τῆς Περσικῆς, ὅτι μέλλει διιέναι κατ' αὐτούς, καὶ τήν τε βλάβην δείσαντες, ἣν κακώσειν ἔμελλεν αὐτοῖς τὴν χώραν, ἄλλως τε καὶ μίσει τῷ πρὸς βασιλέα δυσχεραίνοντες, μὴ ὑπὸ τῶν Περσῶν ὠφεληθείη, ἔγνωσαν δεῖν παράγειν τὸν ἄρχοντα τῆς στρατιᾶς, καὶ γράμματα πλασάμενοι ὡς ἐκ βασιλέως ἔπεμπον πρὸς αὐτόν. ἃ μετὰ τὸ προσαγορεύειν πολλὴν ὁμολογοῦντα χάριν τῆς εἰς αὐτὸν εὐνοίας, ὅτι πολλὴν ὑπέμεινε καὶ πόνον καὶ δαπάνην δι' αὐτόν, ἔπειτα ἐκέλευεν ἀναστρέφειν, ἐξ οὗπερ ἂν ἐγγένοιτο τοῖς γράμμασι τόπου περιτυχεῖν, μὴ καὶ ἄκων βλάψῃ νομίζων ὠφελεῖν. ἐκεῖνον γὰρ ἐν ἐσχατιαῖς τῆς Τριβαλῶν διατρίβειν γῆς, ὅθεν οὐ ῥᾴδιον ἐπανελθεῖν νυνί. εἰ δ' αὐτοὶ χωροῖεν πρὸς ἐκεῖνον διὰ μέσης τῆς γῆς τῶν Τριβαλῶν, δέος μὴ αὐτῶν ὁ ἄρχων ἀντὶ φιλίας, ἣν ἐνδείκνυται πρὸς αὐτὸν νυνί, πρὸς ἔχθραν καὶ ὀργὴν μεταστραφῇ καὶ διάθηται κακῶς, ὡς αἴτιον πολέμου βαρβαρικοῦ καὶ φθορᾶς αὐτῷ γεγενημένον. τοιαῦτα μὲν οὖν τὰ γράμματα ἐκέλευεν. Ἀμοὺρ δὲ ἐπεὶ ἀνέγνω, τῶν μὲν συν-

40. *Император Кантакузин обсажда Вероя. Сръбска войска пристига до река Аксиос*

III, 57. А когато ферейците узнаха, че персийската войска възнамерявала да премине през тях, те се уплашиха от опустошението, което щеше да сполети земята им. Освен това, обхванати от омраза към императора, да не би той да бъде подпомогнат от персите, решиха, че трябва да измамят началника на войската. Те съчиниха писмо и му го изпратиха като че ли бе от императора. След поздрава (в писмото) се изказваше голяма благодарност за благоразположението му към него, понеже се е изложил на много трудности и мъки заради него. По-нататък той му нареждаше да се върне от мястото, където получи писмото, за да не би, без да иска, да навреди в желанието си да помогне. Защото той се намирал в най-отдалечените краища в земята на трибалите, откъдето сега не било лесно да се върне. А ако те тръгнат към него през земята на трибалите, (имало) опасност да не би техният владетел да смени сегашното си приятелство към него с гняв и омраза и да се държи зле, като че ли той е виновен за войната на варварите и за неговите загуби. Това се нареждаше в писмото. А когато Омур го прочете, никак не подозираше измамата, понеже сметна, че то наиσκευασμένων ὑπώπτευεν οὐδὲν, νομίσας δὲ ἐκ βασιλέως εἶναι ἀληθῶς, ἀμφιβόλοις λογισμοῖς ἐπάλαιεν, εἰ δεῖ ἀναστρέφειν κατὰ τὰ κεκελευσμένα, ἢ ἥκειν πρὸς αὐτὸν, ὡς δυσχερὲς ὂν αὖθις εἰς ἀναζήτησιν ἐκείνου μετὰ τοσαύτης στρατιᾶς ἐλθεῖν. τοιαῦτα δὲ αὐτῷ λογιζομένῳ τῆς νυκτὸς, χειμὼν ἐξαίσιος ἐπιγενόμενος, ὡς καὶ διακοσίους τῷ στρατοπέδῳ ὑπὸ κρύους ἐναποθανεῖν, ἠνάγκασεν ἀναστρέφειν, πολλὰ καὶ τῶν γραμμάτων πρὸς τὴν ἐπάνοδον συναραμένων. ἐλθὼν δὲ εἰς Βήραν, ἔνθα αὐτῷ ὡρμίζοντο αἱ νῆες κατὰ τὸν Ἕβρον ποταμὸν, εὗρε κατ' ἐκείνην τὴν νύκτα καὶ τῶν ἐν ταῖς ναυσὶ τριακοσίους ἀποθανόντας· αἰχμαλώτων δὲ πλὴν ὀλίγων πάντας, ὀλίγους ὄντας καὶ αὐτοὺς διὰ τὸ μὴ τὴν στρατιὰν πρὸς λείαν ἐπιπλέον διασκεδασθῆναι τῆς προκειμένης ἕνεκα στρατείας Ἀμοὺρ τὸν σατράπην οὐκ ἐᾷν. εἰς Διδυμότειχον δὲ πρὸς βασιλίδα τὴν Εἰρήνην γράμμασι δηλώσας τῆς ἐπανόδου τὴν ἀνάγκην καὶ παραιτησάμενος, ὡς διὰ τὸν χειμῶνα μὴ πρὸς αὐτὴν ἐπανήκει προσκυνήσων, ἀπέπλευσεν εἰς τὴν οἰκείαν. μετὰ δὲ τοῦτο, ἐπεὶ ὁ χειμὼν ἐπεκράτει σφοδρότατος κατ' ἐκεῖνο τοῦ ἔτους, οἵ τε ἐκ Βυζαντίου καὶ τῆς ἄλλης Θρᾴκης ἡσύχαζον καὶ οὐκ ἐπῄεσαν τοῖς ἐν Διδυμοτείχῳ, ἀλλ' ἀναγκαίως διεχείμαζον ἐν ταῖς οἰκίαις. ἐκεῖνοι δὲ ὑπ' ἐνδείας ἀναγκαζόμενοι καὶ τῶν ἄλλοις φοβερωτάτων κατατολμᾷν, πεζοί τε ὀλίγῳ πλείους διακόσιοι καὶ ἱππεῖς ἐλάττους τούτων πρὸς ἁρπαγὴν τῆς πόλεως ἐξελθόντες, οὕτως ὑπὸ σφοδροῦ κατελήφθησαν χειμῶνος, ὡς ἀναγκασθῆναι αὐτόμολοι πρὸς τοὺς πολεμίους ἀφικέσθαι, ἐκλείποντες ἤδη ὑπὸ κρύους. οἱ μὲν οὖν πεζοὶ πάντες ὁμοῦ πρὸς Λίτιτζαν πολίχνην ἐλθόντες, ἐπεὶ ὁ τῆς πόλεως ἄρχων τὰ βασιλέως κρύφα ᾑρημένος ἦν, ἐν μιᾷ οἰκίᾳ τοὺς ἄνδρας κατακλείσας, ὡς φρουρεῖσθαι δῆθεν, πυρί τε ἀνακτησάμενος καὶ τῇ ἄλλῃ τῶν ἀναγκαίων χορηγίᾳ, μετὰ τρίτην ἡμέραν, ἑκὼν εἶναι, ἐνεδίδου αὐτοῖς πρὸς τὸν δρασμόν· καὶ διαδράντες ὁμοῦ πάντες αὖθις εἰς Διδυμότειχον ἐπανῆκον. ὅθεν καὶ αἰτίαν ἔσχε παρὰ τοῖς πολεμοῦσι βασιλεῖ. οἱ μέντοι γε ἱππεῖς ἄλλοι ἄλλοσε διασκεδασθέντες, οἱ μὲν καὶ φιλανθρώπου τινὸς ἐπέτυχον ξενίας καὶ ἀπαθεῖς κακῶν πρὸς τὰς οἰκίας ἐπανῆκον, τῶν βασιλέως φίλων πρὸς τὴν σωτηρίαν συναραμένων· οἱ πλείους δὲ αὐτῶν ὀλίγῳ προσηνέστερον ἐξενίσθησαν παρὰ τῶν ὑποδεξαμένων, ἢ οἱ περὶ Ὀδυσσέα παρὰ Κύκλωπος. ἀπέθανε μέντοι ἐξ αὐτῶν οὐδεὶς, ἀλλὰ χρόνῳ ὕστερον κατ' ὀλίγους εἰς Διδυμότειχον αὖθις ἐπανῆκον γυμνοὶ μετὰ πεῖραν ἀλγεινῶν πολλῶν. ἔαρος δὲ ἤδη ἀρχομένου, οἵ τε ἐκ Διδυμο-

стина е от императора. Той бе обладан от противоречиви мисли — дали трябва да се върне според нареждането или да отиде при него, понеже му бе трудно да тръгне отново да го търси с толкова голяма войска. Докато обмисляше това през нощта, внезапно настъпилата зима го принуди да се върне, защото в лагера умряха двеста души от студ, а и писмото много го потикваше да се върне. Той пристигна във Вира, където корабите му стояха на котва в р. Хеброс, и там разбра, че през онази нощ са умрели триста души от тези в корабите. Почти всички пленници умряха. Наистина те бяха малцина, понеже началникът Омур не позволяваше войската да се пръска повече за плячка поради предстоящия поход. Като обясни с писмо на императрица Ирина в Димотика необходимостта да се върне и се извини, че поради настъпилата зима не се е върнал при нея, за да ѝ се поклони, той отплува за родината си. А след това понеже през оная година зимата стана много тежка, цариградчаните и тези от цяла Тракия кротуваха и не нападаха димотичани, но по необходимост презимуваха по домовете си. А димотичани, притеснени от оскъдицата, се осмелили да извършат други твърде страшни неща: малко повече от двеста пехотинци и около двеста конника излезли от града за плячка. Но суровата зима така връхлетяла върху тях, че те се принудили сами да отидат при неприятелите, понеже изнемогвали вече от студ. Наистина, когато всички пехотинци пристигнали вкупом в градчето Литица[255], началникът на града, който тайно принадлежал към партията на императора[256], заключил войниците в една къща уж под стража. Той ги стоплил и ги подкрепил с други необходими неща, а след третия ден доброволно ги пуснал да избягат. И те, като избягали всички вкупом, веднага се върнали в Димотика. И поради това той се провини пред воюващите с императора. Останалите конници се пръснали на различни места: едни получили любезно гостоприемство и невредими се върнали по домовете си, понеже приятелите на императора помогнали за бягството им. А повечето от тях били приети малко по-любезно от домакините, отколкото хората на Одисей от Циклопа.[257] Наистина никой от тях не загина, но малко по-късно на малки групи се върнаха отново в Димотика голи, след като понесли много страдания. С настъпването на пролетта димоτείχου ἐπῄεσαν ταῖς κατὰ Θρᾴκην πόλεσι καὶ κακῶς ἐποίουν ληϊζόμενοι, ὡς καὶ πολλὰς αὐτῶν, πρὸς τὰς συνεχεῖς ἐφόδους καὶ τὰς λῃστείας ἀπειρηκυίας, τῇ βασιλίδι Εἰρήνῃ ἐθέλειν προσχωρεῖν, κἂν οἱ ἐν Διδυμοτείχῳ μὴ ἐδέχοντο, ἀπολεῖσθαι φάσκοντες, εἰ πείθοιντο. οὔτε γὰρ εὐπορεῖν φρουρῶν, οἳ αὐτὰς φυλάξουσιν, αὐτοί τε λιμῷ ταλαιπωρήσειν, εἰ μὴ ληΐζεσθαι ἐξέσται τοὺς περιοίκους· ἑτέρα γὰρ αὐτοῖς πρὸς τὸ ζῆν εὐπορία οὐδεμία ἦν. οἵ τε ἐκ Βυζαντίου Διδυμότειχον ἐκάκουν ὅσα δυνατά. βασιλεύς τε ὁ Καντακουζηνὸς παρεσκευάζετο αὖθις, ὡς εἰς Διδυμότειχον ἐπανήξων, καὶ ὁ Κράλης παρείχετο μὲν στρατιὰν ἐπικουρήσουσαν, ὀλίγην δὲ καὶ φαύλην. καὶ διὰ τοῦτο βασιλεὺς πολλοῖς ἐστρέφετο λογισμοῖς καὶ φροντίδων ἦν ἀνάπλεως, εἰ δεήσει πάλιν ἢ τὴν Ῥωμαίων δείσαντας δύναμιν αὖθις ἀναστρέφειν εἰς Τριβαλούς, ἢ μετὰ τοσούτων καὶ οὕτω φαύλων πρὸς πᾶσαν τὴν ἀρχὴν Ῥωμαίων διακινδυνεύειν. μεγίστη δὲ ἦν αὐτῷ τῶν δυσχερειῶν, ὅτι τῶν χρημάτων, ἃ οἴκοθεν ἦλθεν ἔχων, ἀναλωθέντων πρός τε τοὺς συνόντας ὄντας τοσούτους, (πάντες γὰρ διετρέφοντο ἐκ τῶν βασιλικῶν ἐπὶ δυσὶν ἔτεσιν, ἐν οἷς τῆς Ῥωμαίων γῆς ἀπελαθέντες ἦσαν ὑπερόριοι,) καὶ πρὸς Τριβαλοὺς τοὺς τῶν στρατοπέδων ἡγουμένους διὰ φιλοτιμίαν, ἐν ἀπόρῳ εἴχετο τοῦ τί χρὴ δρᾷν, εἰ μὴ ἐξέσται τὴν πολεμίαν διελθόντας εἰς Διδυμότειχον ἐλθεῖν. οὔτε γὰρ ἐξῆν ἐκεῖθεν χρήματα μεταπέμπεσθαι, οὔτε παρὰ Τριβαλῶν δανείζεσθαι, τῶν μὲν πάντῃ δεδουλωμένων καὶ συζώντων ἐσχάτῃ ἀπορίᾳ, τῶν ἐχόντων δὲ δανείζειν οὐ βουλομένων διὰ τὸ βασιλέα ὁρᾷν μείζοσιν ἀεὶ ταῖς δυσπραγίαις κεχρημένον καὶ ὑποπτεύειν, μὴ καὶ παντάπασι διαφθαρείη πρὶν οἴκαδε ἐπανήκειν. οὗ δὴ ἕνεκα πολλῇ μὲν ἐκυμαίνετο τρικυμίᾳ λογισμῶν τὴν ἔνδειαν ἐννοῶν, ὑφ᾽ ἧς περισχεθήσεται, καὶ τὸν ἄφυκτον κίνδυνον, αὐτὸς καὶ οἱ περὶ αὐτόν. ἐξέφαινε δὲ πρὸς οὐδένα τὰ ἀπόῤῥητα καὶ μόνου θεοῦ ἐδεῖτο, τοῦ λύειν τὰ τοιαῦτα δυναμένου. αὐτίκα δέ τις προσελθὼν Ἄρμπενος ὠνομασμένος, ἐκ Χλερηνοῦ πρότερον Ῥωμαίοις ὑπηκόου πόλεως, πατρῴαν τε ὡμολόγει εὔνοιαν τῷ βασιλεῖ, καὶ αὐτὸς οὐδὲν ἧττον ἔφασκε βούλεσθαι νυνὶ χρήσιμον ἑαυτὸν αὐτῷ παρέχειν καὶ βοηθεῖν τρόπῳ ὁποίῳ ἂν δύναιτο δυνατωτάτῳ· θαυμαστὸν δὲ οὐδὲν, εἰ τηλικούτῳ ὄντι καὶ θαυμασίῳ καὶ μεγάλῳ οὐδενὸς ἄξιος

---

[255] Литица, вероятно средновековната епископия Лютица при с. Лъджа, Ивайловградско. [256] На императора, т.е. на Йоан Кантакузин. [257] Сиреч не били посрещнати, както трябва.

тичани нападнаха градовете в Тракия и ги опустошаваха, като ги оплячкосваха така, че много от тях поради постоянните нападения и плячкосвания се изтощили и желаели да минат на страната на императрица Ирина, макар че димотичани не ги приемали, казвайки, че ще се погубят, ако се съгласят. Защото нямали достатъчно стражи, които да пазят градовете, и сами щели да се измъчват от глад, ако нямали възможност да плячкосват съседите си. Защото за тях не съществувала никаква друга възможност за прехрана. Цариградчани[258] опустошаваха Димотика колкото, можеха. Император Кантакузин се приготви отново да се върне в Димотика, и кралят му предостави малка и незначителна войска, за да (му) помага. И поради това императорът бе налегнат от много мисли и бе изпълнен с безпокойство, дали трябва отново да се върнат при трибалите от страх пред ромейската мощ или с толкова и така слаби сили да рискуват срещу цялата ромейска империя. А най-голямата трудност за него бе, че парите, с които дойде от дома си, бяха изразходвани за многобройните му съмишленици (защото всички живееха от императорските средства около две години, през което време бяха изгнаници, прогонени от ромейската земя) и за военачалниците на трибалите в знак на щедрост. Той бе в безизходност, какво трябва да прави, ако нямат възможност да отидат в Димотика, като преминат през вражеската страна. Наистина не бе възможно да се изпратят пари оттам, нито да вземат на заем от трибалите, защото едни бяха напълно заробени и живееха в голяма нищета, а други, които можеха да дадат пари на заем, не желаеха, понеже виждаха, че императорът затъва във все по-големи затруднения, и подозираха де не би да пропадне напълно, преди да се върне у дома си. Поради това той се вълнуваше извънредно много, представяйки си оскъдицата, в която ще изпадне сам той и тия около него, и неизбежния риск. А не разкриваше пред никого тайните си и молеше само бога, който единствен бе в състояние да спаси положението. Внезапно дойде някой си, на име Арбен, от град Хлерин[259], по-рано подвластен на ромеите, който споделяше благоразположението на баща си към императора и сам казваше, че не по-малко желае сега да му бъде полезен и да помага по всякакъв начин с каквото може. И нищо чудно, ако сам той, недостоен и живеещ в пълна неизвестὧν αὐτὸς καὶ ἀφανείᾳ πολλῇ συζῶν ἐπαγγέλλεται βοηθεῖν, εἰ καὶ μῦς ποτε κατὰ τὸν μῦθον λέοντα ἐῤῥύσατο πολλῶν καὶ χαλεπῶν δεσμῶν. συνεβούλευέ τε, ὡς, εἰ βούλοιτο, ἐπεὶ πρὸς Κράλη προσπεμφθείη Βεῤῥοιώταις, διαλεξόμενος αὐτοῖς περὶ παραδόσεως τῆς πόλεως καὶ πείσων ὑποσχέσεσι πολλαῖς, γράφειν καὶ αὐτὸν τοῖς φίλοις καὶ δι' ἐκείνων καὶ τοὺς ἄλλους πείθειν δέχεσθαι εἰς τὴν πόλιν, ἣ μεγάλη τε οὖσα καὶ πολυάνθρωπος καὶ στρατιᾷ καὶ τοῖς ἄλλοις ἅπασιν ἐῤῥωμένη, οὐ μετρία γένοιτ' ἂν παραψυχὴ πρὸς τὰς περισχούσας δυσπραγίας. αὐτὸς γὰρ, καίτοι ὑπὸ Κράλην τελῶν, μᾶλλον βούλοιτο Βέῤῥοιάν τε καὶ τὰς ἄλλας ἑσπερίους πόλεις αὐτῷ μᾶλλον ἢ Κράλῃ προσχωρεῖν· ἐκείνῳ γὰρ ἀνάγκῃ δουλεύειν, βασιλεῖ δὲ μᾶλλον εὐνοεῖν. βασιλεὺς δὲ ἀκούσας, ὑπερήσθη μὲν ἐπὶ τοῖς εἰρημένοις καὶ τῶν πολλῶν ἀνέπνευσε φροντίδων, τὸ θεῖον αὐτοῦ πρόνοιάν τινα πεποιῆσθαι οἰηθεὶς καὶ τὸν ἄνδρα πρὸς τοιαῦτα κεκινηκέναι. ἤρετό τε, εἰ τοὺς ἐν λόγῳ μάλιστα εἰδείη Βεῤῥοιωτῶν καὶ πρὸς οὕστινας αὐτῶν συμβουλεύει γράφειν. τοῦ δὲ, πάντας μὲν εἰδέναι, εἰρηκότος, τοὺς ἀρίστους δὲ ἐκλεξαμένου, ἐπείθετό τε ὁ βασιλεὺς, ὡς καλῶς βεβουλευμένῳ, καὶ ἔγραφεν αὐτίκα. Ἄρμπενος δὲ συνεβούλευεν, εἰ δύναιτο, καὶ Κράλην πείθειν ἐνδοῦναι αὐτῷ καὶ φανερῶς ὑπὲρ αὐτοῦ διαλεχθῆναι Βεῤῥοιώταις· βασιλεῖ τε γὰρ τὰ μέγιστα λυσιτελήσειν τὸ τοιοῦτο καὶ αὐτῷ τὴν συντυχίαν μηδένα κίνδυνον ὕστερον ἂν ἐπαγαγεῖν, εἰ ἡ πόλις προσχωροίη βασιλεῖ. ἐπείθετό τε ὁ βασιλεὺς αὐτίκα καὶ πρὸς Κράλην ἐλθὼν ἐπυνθάνετο, εἰ βούλοιτο πρὸς Βέῤῥοιαν πέμπειν Ἄρμπενον. τοῦ δὲ συνθεμένου, „ἐβουλόμην" εἶπε „γράφειν καὶ αὐτὸς αὐτοῖς καὶ παραινεῖν εἰς τὴν πόλιν δέχεσθαι. ἐννοῶν δὲ, οἷα δράσειαν Φεραῖοι τὸν πρεσβεύοντα ἀπεκτονότες, πρὸς τὴν ἐπιχείρησιν ἀμβλύνεσθαι, δεδοικὼς μὴ καὶ ἄλλῳ τῳ κακῶν ὁμοίων αἴτιος καταστῇ. συνεβούλευέ τε μᾶλλον γράφειν αὐτὸς ὑπὲρ αὐτοῦ· ἅμα δὲ καὶ Ἀρμπένῳ ἐπιτρέπειν Βεῤῥοιώταις τὰς πρὸς ἀλλήλους αὐτῶν συνθήκας καὶ τοὺς ὅρκους φανεροὺς ποιεῖν, καὶ ὡς εἴη καὶ σοὶ πρὸς ἡδονὴν τὸ προσχωρεῖν αὐτοὺς αὐτῷ. ὁ δὲ τὰ μὲν γράμματα ἐπέτρεπεν αὐτὸν ὑπαγορεύοντα γράφεσθαι, οἷ ἂν δοκῇ αὐτῷ συμφέρειν. Ἄρμπενον δὲ ἐκέλευεν ὑπὲρ βασιλέως Βεῤῥοιώταις διαλέγεσθαι καὶ φανερὸν αὐτοῖς ποιεῖν, ὡς οὐδὲν ἡγοῖτο διαφέρειν αὐτῷ τε προσχωρεῖν καὶ βασιλεῖ. οὕτω μὲν οὖν ἡ ἐπίνοια αὐτοῖς εἰς τέλος ἧκει. Ἄρμπενος δὲ εἰς Βέῤῥοιαν ἐλθὼν, τά τε Κράλη γράμματα παρείχετο ἀναγινώσκεσθαι

---

[258] Цариградчани, сиреч противниците на Йоан Кантакузин. [259] Хлерин, днешния Лерин в Македония.

ност, обещава да помогне (нему), толкова знатен, почитан и велик, тъй като и мишката според мита освободила лъва от много и тежки окови. Той го съветваше, тъй като щял да бъде изпратен от краля при жителите на Верия, за да разговаря с тях за предаване на града и да ги убеди с много обещания, ако би желал и сам той (Кантакузин) да пише на приятелите си и чрез тях да убеди и другите да го приемат в града. Понеже този град бе голям, многолюден и защитен с войска и други (средства), той би бил голямо облекчение при заобикалящите го трудности. Защото сам той, макар подчинен на краля, повече желаел Вероя и другите градове на Запад да минат на негова страна, отколкото на страната на краля, тъй като те са подчинени нему по необходимост, но повече са благоразположени към императора. А императорът, като чу (това), много се зарадва на казаното и си отдъхна от многото грижи, смятайки, че бог се е погрижил за него и е подтикнал човека към това. (Императорът) питаше дали той познава знатните верийци и на кои от тях го съветва да пише. А когато той каза, че познава всички, и изброи най-знатните, императорът се убеди, че добре го е посъветвал, и веднага писа писмо. Арбен го съветваше, ако би могъл да убеди и краля да му отстъпи града и открито да говори с веройците в негова полза. Защото това щяло да принесе най-голяма полза на императора и за самия него това обстоятелство по-късно не би му създало никаква опасност, ако градът мине на страната на императора. Императорът веднага се съгласи, отиде при краля и го попита дали той желае да проводи Арбен във Вероя. А когато този се съгласи, (императорът) каза: „Исках и сам да им пиша и да ги подканя да (ме) приемат благосклонно в града." Но спомняйки си как постъпиха ферейците[260], които убиха пратеника, той се отказа от намерението си, уплашен, да не би да стане виновник за други подобни злини. Съветваше по-скоро сам (краля) да пише вместо него и същевременно да възложи на Арбен да обяви на веройците споразуменията помежду им и клетвите и че и той би се радвал, ако минат на негова страна. И той му възложи да напише писмо по негово усмотрение, каквото му се стори, че е полезно. И заповяда на Арбен да разговаря с веройците за императора и да им заяви открито, че не го интересува дали ще минат на негова страна или ἐπ᾽ ἐκκλησίας καὶ τὰ βασιλέως τοῖς ἐπιτηδείοις κρύφα διεδίδου. Βεῤῥοιῶται δὲ καὶ πρότερον μὲν τὰ βασιλέως ᾑρημένοι οἵ τε ἄριστοι ὁμοίως καὶ ὁ δῆμος ἦσαν, καὶ τότε δὲ ὑπὸ τοῦ Τριβαλῶν πολέμου πιεζόμενοι, (πολλὰς γὰρ αὐτοῖς καὶ συνεχεῖς ἐποιοῦντο τὰς ἐφόδους, καὶ κακῶς ἐποίουν τὴν χώραν ληϊζόμενοι,) καὶ συνορῶντες ἤδη, ὡς ἐν χρῷ κινδύνου καθεστᾶσι δουλεύειν Τριβαλοῖς ἀναγκαζόμενοι, ἄλλως τε καὶ ὑπὸ τῶν ἀρίστων ἐναγόμενοι, (πλὴν γὰρ ὀλίγων τὰ βασιλέως ἦσαν πάντες ᾑρημένοι,) ἐψηφίσαντο τὴν βασιλέως κάθοδον· αὐτίκα τε ᾑροῦντο πρέσβεις, ἐκ μὲν τῶν ἀρίστων Ἀστραπήρην, τοῦ δήμου δὲ Ἀλληλούϊαν, ἐκ τῶν κατειλεγμένων δὲ τῷ κλήρῳ τῆς ἐκκλησίας Σῦρον ὠνομασμένον, καὶ ἔπεμπον πρὸς βασιλέα, τάχιστα δεόμενοι ἥκειν πρὸς αὐτούς. οἱ πρέσβεις δὲ ἐπεὶ ἧκον, τήν τε ἀρχαίαν εὔνοιαν τῆς πόλεως ἐδήλουν βασιλεῖ καὶ ὡς, τοῦ πολέμου τοῦδε τοῦ συγγενικοῦ Ῥωμαίοις κεκινημένου, μετέωροι αὐτοὶ ἦσαν καὶ τὴν αὐτοῦ ἐπιδημίαν ἦγον δι᾽ εὐχῆς καὶ πρόθυμοι ἦσαν αὐτῷ προσνέμειν ἑαυτοὺς καὶ τὸν πόλεμον συγκατεργάζεσθαι. ἐπεὶ δὲ ἐκ προδοσίας τῶν συνόντων συμβαίη περὶ αὐτὸν τὰ δυσχερῆ καὶ ἔλθοι ὑπερόριος πρὸς Τριβαλούς, μάλιστα μὲν βεβουλῆσθαι εὐθὺς ἐξαρχῆς εἰς τὴν πόλιν προσκαλεῖσθαι· δεδοικότας δὲ μὴ διὰ ταῦτα μειζόνων αὐτῷ συμφορῶν αἴτιοι καταστῶσι, τοῦ Κράλη διὰ φθόνον καὶ τὸ λαβεῖν αὐτὸν τὴν πόλιν ἐπιβουλεύσαντος, τῆς πείρας ἀποσχέσθαι ἄχρι νῦν. καιροῦ δὲ ἥκοντος νυνὶ καὶ Κράλη μὴ δοκοῦντος δυσχεραίνειν, ἥκειν καὶ αὐτοὺς σὺν ἡδονῇ πολλῇ καὶ προθυμίᾳ παραληψομένους. συνεβούλευόν τε μὴ μέλλειν, μηδὲ ὑπερτίθεσθαι τὸν καιρόν, μή τι συμβὰν ἕτερον λυμήνηται τῇ πράξει. βασιλεὺς μὲν οὖν τῇ τε πόλει πολλὰς ὡμολόγει τῆς εὐνοίας χάριτας καὶ τοῖς πρέσβεσι τῆς εἰς αὐτὸν σπουδῆς· Κράλη δὲ ἀπήγγελλεν, ὅσα οἱ ἐκ Βεῤῥοίας πρέσβεις εἴποιεν. θαυμάσας δὲ ἐκεῖνος, ὅτι μὴ τοὺς περὶ βασιλέως λόγους, ὡς καὶ αἱ λοιπαὶ τῶν πόλεων, ἀπαγορεύοιεν, ἐπέκρινε καὶ αὐτὸς εἰς πέρας ἄγεσθαι τὸ ἔργον. Ἑλένη δὲ ἡ τούτου γαμετὴ καὶ πολλὴν εἰσῆγε τὴν σπουδὴν καὶ παρῄνει βασιλεῖ, μὴ τὸν καιρὸν προΐεσθαι, ἀλλὰ πάντα δεύτερα ἡγησάμενον, μόνου ἔχεσθαι τοῦ Βέῤῥοιαν ὑποποιεῖσθαι. ἀναγκαίαν μὲν γὰρ καὶ τὴν εἰς Διδυμότειχον ἐπάνοδον εἶναι. οὐχ ἧττον δὲ λυσιτελήσειν καὶ τὸ Βέῤῥοιαν κατασχεῖν, πολ-

---

[260] В случая става дума за жителите на град Фере в Източна Тракия, които, въпреки че били обсадени от Йоан Кантакузин, не се предали. Тогава последният проводил пратеник, който ги приканил да се предадат. Жителите на града обаче отказали да се предадат, като убили по най-жесток начин пратеника. Срв. тук откъс 38.

на страната на императора. Така накрая намерението му достигна до тях. А когато Арбен пристигна във Вероя, даде писмото на краля да го прочетат на събрание и тайно предаде на привържениците си заръката на императора. А веройците, и знатните и народът и по-рано държаха страната на императора, а и тогава, понеже страдаха от войната с трибалите (защото те извършваха много и непрекъснати нападения срещу тях и опустошаваха и оплячкосваха земята, и понеже виждаха вече, че се намират в опасност да робуват по неволя на трибалите, а освен това и понеже бяха подтиквани от най-знатните (защото освен малцина всички държаха страната на императора), решиха да минат на страната на императора. И те веднага избраха пратеници: от знатните — Астрапир, от народа — Алилуйя, от църковния клир някой си Сир, и ги проводиха при императора с молба да дойде при тях по най-бърз начин. Когато пратениците пристигнаха, те изразиха предишната благосклонност на града към императора и че понеже тази гражданска война бушувала сред ромеите, те били развълнувани и молели завръщането му и били готови да минат на негова страна и да му помагат във войната. Тъй като неприятностите около него се случили поради предателство на съмишлениците му и той е дошъл при трибалите като изгнаник, те решили веднага още отначало да го повикат в града. Но понеже се страхували да не му причинят с това по-големи нещастия, тъй като кралят бил устроил заговор от завист за завземане на самия град, те се въздържали досега. Но понеже сега дошъл моментът и кралят не бил недоволен и те сами дошли с голяма радост и желание, за да го вземат при себе си. Съветваха го да не се бави, нито да изпуска случая, да не би някакво друго събитие да навреди на делото. Императорът прочее благодари много на града за предаността му към него и на пратениците за грижите им към него. А на краля съобщи какво са му казали пратениците от Вероя. А онзи се учуди, че веройците не забранили, както останалите градове, да се говори в полза на императора, и сам реши да доведе работата докрай. Елена, съпругата на краля, проявяваше голямо старание и насърчаваше императора да не пропуска случая, но като сметне всичко за второстепенно, да се заеме само с подчиняването на Вероя. Защото необходимо било (императорът) да се върне в Димотика, но не по-малко щяло да бъде от полза да завземе и Вероя, която могла да му помогне много λὰ δυναμένην πρὸς τὸν πόλεμον συνάρασθαι. συνεβούλευέ τε μὴ τὴν παρασκευαζομένην αὐτῷ ἕπεσθαι περιμένειν στρατιάν, ἀλλὰ Γερμανοὺς παραλαβόντα, ὅσους Κράλης τε παρέξεται καὶ αὐτή, ἀεὶ πρὸς τὰς στρατείας παρεσκευασμένους ὄντας διὰ τὸ μισθοφορεῖν, ἅμα τοῖς οἰκείοις σπεύδειν ἐπὶ Βέῤῥοιαν. κἂν μὲν δέχωνται, ὥσπερ ἐπαγγέλλονται, εἰ δέοιτο καὶ τῆς στρατιᾶς ἐκείνης πρὸς ἐπικουρίαν, ὕστερον ἥξειν παρασκευασθεῖσαν. εἰ δὲ μεταβαλόντες ἀποπέμποιεν, ἀναστρέψαντα χρῆσθαι τῇ στρατιᾷ ἤδη παρεσκευασμένῃ καὶ ἀποπειρᾶν πρὸς τὴν ἐπάνοδον. τοιαῦτα μὲν ἡ Κράλη ὑπετίθετο γαμετὴ τῷ βασιλεῖ, καὶ αὐτή τε παρείχετο τοὺς ἰδίους μισθοφόρους Λατίνους καὶ τὸν ἄνδρα ἔπειθε.

III, 58 Βασιλεὺς δὲ Κράλῃ τε πολλὰς τῆς φιλίας χάριτας ὁμολογήσας καὶ γαμετῇ καὶ τῆς φιλίας ἅμα καὶ τῆς περὶ αὐτὸν σπουδῆς, τοὺς μισθοφόρους ἔχων ἅμα τοῖς συνοῦσι Ῥωμαίοις, ἧκεν εἰς τὴν Βέῤῥοιαν· καὶ ἐδέξαντο προθύμως ἀνοίξαντες τὰς πύλας, παρείχοντό τε ἑαυτοὺς πρὸς τὰς στρατείας ὑπὸ φιλοτιμίας προθυμοτάτους καὶ χωρὶς ἀναλωμάτων. αὐτίκα δὲ Σέρβιά τε προσεχώρουν ἑκοντὶ περὶ τὰ μεθόρια Θετταλίας κειμένη πόλις, καὶ Πλαταμὼν, ἑτέρα παραθαλασσία, καὶ φρούρια οὐκ ὀλίγα, τὸ μὲν Πέτρα προσαγορευόμενον, ἕτερον δὲ Σωσκὸς καὶ Σταρίδολα τρίτον. βασιλεὺς δὲ ὡς ἐν βραχεῖ ἐκ τῶν προσθεμένων πόλεων στρατιὰν οὐκ ὀλίγην συναγαγὼν, μεταπεμψάμενός δὲ καὶ τὸν ἀνεψιὸν Ἄγγελον Ἰωάννην, τὴν Θετταλικὴν ἵππον ἄγοντα, ἐπεστράτευσε Θεσσαλονίκῃ καὶ ἐστρατοπέδευσεν ἐν Γαλυκῷ ἐλθὼν, οὐ πολὺ ἄπωθεν τῆς πόλεως. ἤλπιζε γὰρ αὐτῷ τοὺς ἐπιτηδείως ἔχοντας καταπράξεσθαι τὴν εἰς Θεσσαλονίκην εἴσοδον· ἦσαν γὰρ αὐτῷ διειλεγμένοι περὶ τούτου. τὸ δὲ οὐκ ἀπήντα, ὥσπερ ἤλπιζεν. οἱ Ζηλωταὶ γὰρ καὶ ὁ δῆμος ὑποπτεύσαντες, μὴ ἄνευ τῶν ἐπὶ παραδόσει διαλεγομένων ἀφικέσθαι, πολλὴν ἐποιοῦντο σπουδὴν περὶ τῆς πόλεως τὴν φυλακήν· δι' ἃ οὐκ εἶχον οἱ τὰ βασιλέως ᾑρημένοι τῶν δοκούντων πράττειν τι. ἡ μὲν οὖν Θεσσαλονίκης ἅλωσις οὕτως ἐκωλύετο· βασιλεὺς δὲ παρέμενεν ἔτι ἐν τῷ στρατοπέδῳ, πρὸς τὴν πρᾶξιν οὐ παντάπασιν ἀπειρηκώς. Κράλης δὲ ἐπεὶ Βέῤῥοιά τε καὶ αἱ ἄλλαι πόλεις προσεχώρησαν βασιλεῖ καὶ ἤδη ἑαυτῷ ἀμύνειν ἑώρα δυνατὸν, ἐξ οὐδεμιᾶς μεταβαλὼν αἰτίας, τὴν προτέραν φιλίαν εἰς πικρίαν μεταμείψας, ἑαυτῷ τε ἐμέμφετο τοῦ μὴ βασιλέα

във войната. Тя го съветваше да не чака готвещата се войска да го последва, но да вземе германци, колкото кралят и тя биха му дали, и които винаги са готови за походи срещу заплащане, и заедно със своите хора да побърза за Верoя. И ако го приемат, както обещавали, ако имал нужда от онази войска да му помага, тя щяла, като се подготви, да дойде по-късно. А ако се отметнат и не го приемат, да си послужел на връщане с готовата войска и да се опита да се върне. Съпругата на краля това внушаваше на императора и сама предостави собствените си наемници латинци и го убеди.

III, 58. А императорът благодари много на краля и едновременно и на съпругата му за приятелството и за грижите за него и заедно с наемниците и със съмишлениците си ромеи пристигна във Верoя. И жителите отвориха вратите и го приеха на драго сърце и с най-голяма готовност се поставиха на негово разположение за походите. Веднага доброволно му се подчиниха Сервия[261], град, разположен в пограничните области на Тесалия, и Платамон[262], друг крайбрежен град, и немалко крепости, като първата бе така наречената Петра[263], втората Соск[264] и третата Старидол[265]. Императорът за кратко събра немалко войска от подчинилите се градове и проводи да повикат племеника му Йоан Ангел с тесалийската конница и след това потегли срещу Солун. И като пристигна до Галик[266], разположи се на лагер, недалече от града, тъй като се надяваше, че привържениците му ще подготвят влизането му в Солун. Защото бяха преговаряли с него за това. Но не стана така, както очакваше. Защото зилотите и народът заподозряха да не би да идва за капитулация на града, без да е имало преговори, и положиха много усилия за охраната на града. Поради това привържениците на императора не можаха да изпълнят нищо от замисленото. Така се попречи на завземането на града. А императорът продължаваше да стои още в лагера, като не се отказа напълно от намерението си. Кралят пък, когато Верoя и другите градове минаха на страната на императора, и виждаше, че може да се брани, като се отметна без никаква причина и промени предишната си благосклонност в омраза, укори се, че не е спрял императора,

---

[261] Сервия, дн.Селфидже в Югозападна Македония. [262] Платамон, град в Тесалия. [263] Крепостта Петра се намирала в Югозападна Македония. [264] Соск, крепост, дн. село Съботско, Мъгленско. [265] Старидол, крепост в Югозападна Македония. [266] Река Галик до Солун.

παρακατέχειν καὶ πάντα τρόπον τὴν δύναμιν ἐπειρᾶτο καταλύειν. καὶ πέμψας ἀνεκαλεῖτο τοὺς ἰδίους μισθοφόρους, οὐ τὴν ἀπέχθειαν ἐκφαίνων, ἀλλ' ἑτέρας τινὰς προφασιζόμενος αἰτίας· Μιχαὴλ τε Μονομάχῳ μεγάλῳ κονοσταύλῳ τὴν ἀξίαν ὄντι, Θεσσαλονίκης τότε ἄρχοντι, συνεβούλευε πέμψας κατὰ βασιλέως χωρεῖν καὶ μὴ σφόδρα δεδιέναι, ἄλλως τε ἔτι ὀλίγην κεκτημένον δύναμιν καὶ τὸ κράτιστον τῆς παρούσης ὑφαιρούμενον ὑπ' αὐτοῦ νυνὶ, (τοὺς γὰρ καταφράκτους Λατίνους, οὓς ἄγει, ἀνακεκλῆσθαι ὑπ' αὐτοῦ, ἰδίους ὄντας,) καὶ μὴ αὐξάνεσθαι ἐᾷν, ἀλλὰ προεπιχειρεῖν ἕως ἐστὶν ἀδύνατος. εἰ γὰρ μὴ κωλύοιτο ὑπ' αὐτῶν, ἀλλὰ σωζόμενοι μόνον ἀγαπῷεν, τάχιστα ἐπάξεσθαι αὐτὸν, μεγάλην περιβεβλημένον δύναμιν. Μονομάχος δὲ καὶ οἱ ἐν Θεσσαλονίκῃ τοιαῦτα πεπυσμένοι καὶ οἰόμενοι, βασιλεῖ συνεπιθήσεσθαι αὐτοῖς καὶ Κράλην, ἐσκέπτοντο εἰ χρὴ ἐπὶ μάχην ἐξιέναι. Γερμανοὶ δὲ ἐπεὶ τὰ παρὰ Κράλη ἀκούσειαν πρόστεταγμένα, πολλὴν μὲν ἐκείνου κακοήθειαν κατεγίνωσκον καὶ τρόπων εὐκολίαν, βασιλεῖ δὲ προσελθόντες, ἀπήγγελλόν τε ὅσα προσταχθεῖεν, καὶ ἐδέοιτο μὴ θορυβεῖσθαι, ἀλλὰ θαῤῥεῖν, ὡς καὶ αὐτῷ Κράλῃ, ἂν ἐπίῃ, μαχεσομένους ὑπὲρ αὐτοῦ· οὕτω γὰρ εἶναι νόμιμον αὐτοῖς καὶ εἰ πράττοιεν, οὐ κακῶς ἀκούσειν παρὰ τοῖς οἰκείοις. εἰ γὰρ ὑπὸ τοῦ τὸν μισθὸν παρέχοντος, ἔφασαν, ἑτέρῳ τῳ προσταχθείημεν ἐπικουρεῖν, οἴκοι μὲν καὶ ἐν ἀσφαλείᾳ καθεστῶτι, ῥαδίως ἀποσταίημεν ἂν, τοῦ τὸν μισθὸν παρέχοντος κελεύοντος· στρατευομένῳ δὲ καὶ πρὸς μάχην παρατεταγμένῳ, οὐχ ἡμῶν εἶναι ἀπολείπειν. προδοσίαν γὰρ ἄντικρυς τὸ πρᾶγμα εἶναι· οὗ τῶν πάντων οὐδὲν ἀτολμητότερον ἡμῖν, οὐδὲ μείζω φέρει τὴν αἰσχύνην. δι' ἃ οὐδὲ σὲ καταλείψομεν ἐνθάδε, ὥσπερ ἐκέλευσεν ἐκεῖνος, ἀλλ' ἐν ἀσφαλείᾳ οἴκοι καταστήσαντες ἀναχωρήσομεν. συνεβούλευόν τε μὴ μέλλειν, ἀλλ' εἰς Βέῤῥοιαν τάχιστα ἐπανήκειν· Κράλην γὰρ δῆλον ἤδη εἶναι ᾑρημένον πολεμεῖν. βασιλεὺς δὲ αὐτοῖς τῆς εἰς αὐτὸν εὐνοίας καὶ τῶν τρόπων τῆς εὐγενείας ἐπαινέσας, ἐπείθετό τε καὶ ἀνέστρεφεν, ᾗ ἐκεῖνοι συνεβούλευον, μηδὲν τῶν μελετωμένων πρᾶξαι δυνηθεὶς διὰ τὴν Κράλη μάλιστα μεταβολήν. ἡ δὲ ἐν Θεσσαλονίκῃ στρατιὰ, ὡς ἐπύθοντο βασιλέα ἀναστρέφοντα, τῆς πόλεως ἐξελθόντες, εἵποντο μὲν καὶ παρεῖχον δόκησιν, ὡς προσβαλοῦντες, οὐκ ἐτόλμων δὲ συμμίγνυσθαι. τῆς αὐτῆς δὲ ἡμέρας καὶ ἐκ

и по всякакъв начин се опита да унищожи войската (му). Той проводи пратеници да повикат собствените му наемници, без да показва ненавистта си, оправдавайки се с някакви други причини. Като проводи пратеници при Михаил Мономах, който имаше титлата велик конестабъл[267], и тогава беше началник на Солун, съветваше го да потегли срещу императора и да не се бои много, тъй като и без това имал малка войска, пък и самият той си бил взел главната част от намиращата се сега под негова власт войска (защото тежковъоръжените латини, които императорът водел, той си ги бил повикал, понеже били негови собствени), да не допуска да се усилва, но да нападне пръв, докато е слаб. Защото ако те (сега) не му попречат, но се задоволяват (с това), че са оцелели, той щял да ги нападне, след като добие голяма сила. А Мономах и солунчани, като чули това и предполагайки, че и кралят ще нападне императора заедно с тях, размисляха дали трябва да влязат в сражение. Когато германците чули какво е наредил кралят, порицали голямото му злонравие и лекомислието му. Като дойдоха при императора, съобщиха какво им е наредил, и помолиха да не се тревожи, но да бъде смел, и ако нападнел, щели да се сражават и срещу краля на негова страна. Защото такъв е техният обичай. И ако постъпели (така), нямало да бъдат упрекнати от сънародниците си. Ако този, който ни плаща, казваха те, ни нареди да помагаме на друг, който си стои у дома на сигурно, то ние лесно бихме изоставили господаря, който ни плаща. Не ни е присъщо да изоставяме този, който е потеглил на поход и се е приготвил за сражение. Защото това е явно предателство. За нас няма нищо по-долно от това, нито по-срамно. Поради това ние не ще те изоставим сега, както онзи заповядва, но ще си отидем, след като те оставим в безопасност у дома. Защото е ясно, че кралят е решил да воюва. А императорът, като благодари за благоразположението им към него и за благородството им, послуша ги и се върна, както онези го съветваха, без да може да направи нищо от замисленото най-вече поради измяната на краля. А войските в Солун, когато научиха, че императорът се връща, излязоха от града и тръгнаха, давайки вид, че ще нападнат, но не се осмелиха да се сразят. В същия ден и от приятелиτῶν ἐν Θεσσαλονίκῃ φίλων γράμματα πρὸς βασιλέα ἧκε, μηνύοντα ὡς τῆς αὐτῆς ἡμέρας Ἀπόκαυκος ὁ μέγας δοὺξ ναυσὶν ἑβδομήκοντα Ῥωμαίων Θεσσαλονίκῃ προσχοίη καὶ συμμαχίδας ἄγων Περσικὰς δύο καὶ τριάκοντα, καὶ τοὺς ἐκ Βυζαντίου καὶ Θρᾴκης καὶ Μακεδονίας ἱππέας οὐ πολλῷ ὕστερον προσδοκίμους εἶναι ἥξειν. τοὺς μὲν οὖν φίλους τῆς ἀγγελίας ἕνεκα ἐπῄνεσεν ὁ βασιλεύς· αὐτὸς δὲ παρὰ τὸν Ἀξειὸν ἐλθὼν καὶ πειρώμενος διαβαίνειν, οὐ συνεχωρεῖτο πλημμυροῦντος τοῦ ποταμοῦ ἐξ ὄμβρων ῥαγδαίων ἀθρόον κατενεχθέντων. ἐδόκει δὲ δεινὸν τῷ βασιλεῖ καὶ πολλῆς ἄξιον φροντίδος. τό,τε γὰρ παριέναι τὸν ποταμὸν διὰ τῆς Κράλη ὑπηκόου ῥέοντα, οὐ μικρὰν παρεῖχεν ὑποψίαν, ἐκείνου δοκοῦντος ἐκπεπολεμῶσθαι, ἄλλως τε καὶ οὐ μακρὰν, ἀλλ' ἐγγύς που μετὰ στρατιᾶς ἐστρατοπεδευμένου· καὶ τὸ μένειν ἐστρατοπεδευμένους, τῶν ὑδάτων περιμένοντας ἀμβλυνθῆναι τὴν ὁρμὴν, οὐ πρὸς αὐτῶν ἔσεσθαι ὑπώπτευεν. ἐδεδίει γὰρ, μὴ, ὥσπερ ἦν εἰκὸς, τῶν τε ἐκ Θρᾴκης καὶ Μακεδονίας ἱππέων, πολλαπλασιόνων ὄντων ἢ ὧν ἦγεν αὐτὸς, καὶ τῶν ἐκ τῶν τριηρέων ὁπλιτῶν καὶ ψιλῶν καὶ Περσῶν τῶν συμμάχων ἐπελθόντων, οὐχ οἷόστε ᾖ ἀμύνεσθαι ἐκ παρατάξεως, πολλῷ τῷ μέτρῳ καταδεεστέρους ἄγων. συμβὰν δέ τι καὶ ἕτερον μᾶλλον ἐθορύβει. πρὸς γὰρ τὴν Ἀξειοῦ περαίαν στρατιὰ ἐλθοῦσα Τριβαλῶν, πέμποντες πρὸς βασιλέα, κατὰ συμμαχίαν μὲν ἔφασκον ἥκειν τὴν αὐτοῦ, εἰ δέοιτο αὐτῶν τῆς ἐκ Θεσσαλονίκης στρατιᾶς ἐπιθεμένης. ἦσαν δὲ οὐδὲν ἐννοοῦντες δίκαιον, ἀλλ' εἴθ' ὑπὸ Κράλη λάθρα προσπεμφθέντες, εἴτε καὶ παρ' ἑαυτῶν αὐτοὶ τῆς τοῦ δεσπότου γνώμης στοχασάμενοι, ὡς πολεμεῖν ἔγνω βασιλεῖ, γνώμην ἧκον ἔχοντες, ὡς εἰ μάχῃ συναφθείη, προσθησόμενοι τοῖς ἔχουσι τὸ πλέον καὶ τοὺς νενικημένους διαρπάσοντες, ὅπερ καὶ μᾶλλον ἐδόκει τῶν δεινοτάτων βασιλεῖ, εἰ παρ' αὐτὴν τὴν συμβολὴν Ῥωμαίοις τε ὁμοῦ καὶ Τριβαλοῖς προσέχειν ἀναγκάζοιτο ἑκατέρωθεν. παρατεταγμένοις. ὅμως οὕτως ἔχοντι δυσκολίας καὶ φροντίδος περὶ τῶν πρακτέων, ἐδόκει δεῖν αὐτοῦ αὐλίσασθαι τὴν νύκτα. τοὺς ἐν τέλει δὲ μάλιστα καὶ Ἄγγελον τὸν ἀνεψιὸν, προσέτι δὲ καὶ τοὺς υἱοὺς Ματθαῖον καὶ Μανουὴλ συναγαγών· (ἦσαν γὰρ οὐδενὸς λειπόμενοι πρὸς σύνεσιν καὶ εὐβουλίαν, καίτοι μήπω τὴν μειρακικὴν ὑπερβάντες ἡλικίαν, διὰ φύσεως μέγεθος καὶ εὐφυΐαν τὴν πρὸς τὰ καλὰ, ἄλλως θ' ὅτι καὶ βασιλεῖ τῷ πατρὶ πολὺν ἤδη συστρατευόμενοι χρόνον, οὐ περὶ τὰ πολέμια μόνον ἀγαθοὶ καὶ εὐψυχίας καὶ τόλμης καὶ

---

[267] Конестабъл — началник на наемни западни конници. За него срв. А. Соловјев, Вл. Мошин, Грчке повеље српских владара, Београд, 1936 — R. Guilland, Etudes sur l'histoire administrative de l'Empire byzantin, Le Grand Conetable, Byzantion, 19, 1949, p. 99, 111.

те му в Солун пристигна писмо до императора, с което се известяваше, че в същия ден великият дук Апокавк е пристигнал в Солун със седемдесет ромейски и тридесет и два персийски съюзнически кораба и очакваха наскоро след това да пристигнат конници от Византион, Тракия и Македония. Императорът благодари на приятелите си за известието. А сам пристигна до Аксейос и се опита да я премине, но не успя, понеже реката бе придошла поради падналите внезапно проливни дъждове. Това бе страшно за императора и много го тревожеше. Защото той проявяваше немалко двоумение, дали да премине реката, която течеше през подвластната на краля земя, понеже този бе решил да започне война, а, от друга страна, войската му бе разположена не далече, а някъде наблизо. И подозираше, че не ще бъде в тяхна полза, ако останат разположени на лагер, докато изчакат да премине силата на водата. Той се страхуваше, водейки много по-незначителни сили, както бе естествено, че не ще може да се брани в редовно сражение, понеже конниците от Тракия и Македония бяха многоповече, отколкото тия, които той водеше, и понеже тежко-и лековъоръжените персийски съюзници бяха пристигнали от триерите.[268] А се случи и нещо друго, което повече го тревожеше. Защото на срещуположния бряг на Аксейос пристигна войска от трибали, които проводиха пратеничество при императора и казаха, че са му дошли на помощ, ако се нуждае от тях срещу нападналата го войска от Солун. А те съвсем не бяха откровени, но било, че бяха пратени тайно от краля, било че сами за себе си отгатнаха намерението на краля именно понеже желаел да воюва с императора дойдоха с намерение, ако избухне сражение, да се присъединят към по-силните и да ограбят победените. Това императорът смяташе за най-страшното, ако в самото сражение бъде принуден едновременно да се оглежда към наредените за сражение ромеи и трибали. Реши, че трябва да прекара нощта там. Все пак той изпитваше трудности и мъчнотии относно това, което трябваше да се направи. Той свика предимно знатните и племенника си Ангел, а освен това и синовете си Матей и Мануил (защото те на никого не отстъпваха по съобразителност и разум, макар че не бяха още преминали юношеската възраст поради голямата природна надареност и склонност към хубавото, а освен това и понеже дълго време бяха воювали заедно с бащата император). Те бяха не само опитни във военното дело и не им липсваше мъжество, храброст и твърдост в трудностите, но бяха способни да схванат нужното и в момент καρτερίας τῆς πρὸς τὰ δεινὰ οὐδὲν ἐλλείποντες, ἀλλὰ καὶ νοῆσαι τὰ δέοντα καὶ καταπράξασθαι ἐν καιρῷ κινδύνων ὀξεῖς καὶ βουλεύσασθαι ἑτέροις ἦσαν ἱκανοί· δι' ἃ καὶ ὁ πατὴρ αὐτοῖς πρὸς τῶν βουλευμάτων τὰ μάλιστα σπουδῆς δεόμενα ἐχρῆτο καὶ ἐπείθετο οὐκ ὀλιγάκις, οὐ χαριζόμενος· οὐ γὰρ εἴα τῶν πραγμάτων ἡ ἀνάγκη· ἀλλὰ νομίζων μάλιστα λυσιτελεῖν·) μετ' ἐκείνων δ' οὖν καὶ τῶν ἐπιλοίπων ἄχρι πόῤῥω βουλευόμενοι νυκτῶν, ἐδόκει βασιλεῖ τε πρῶτον, ἔπειτα καὶ τοῖς ἄλλοις ἅπασι μὴ μένειν, ἀλλὰ τὸν κουφότερον τῶν κινδύνων προτιμᾷν καὶ παριόντας τὸν Ἀξειὸν ἄχρις ἂν ἐξῇ, πόρον ζητεῖν ᾗ διαβατὸς ἔσται, βέλτιον λογισαμένους αὖθις Τριβαλοῖς περιτυχεῖν, οὓς ἴσως ἂν καὶ δύναιντο τρόπῳ δή τινι ἀποσκευάζεσθαι, ἢ Ῥωμαίοις καὶ βαρβάροις τοῖς συμμάχοις. τοῖς μὲν οὖν ἐδέδοκτο τοιαῦτα.

---

[268] Триерите, т.е. военните кораби.

III, 59. Ἔξω δὲ τῆς σκηνῆς προσελθών τις ἐκ τῆς κατὰ τὴν περαίαν Ἀξειοῦ κώμης καταντικρὺ οὗ ηὐλίζοντο, ἔνθα καὶ ἡ Τριβαλῶν διενυκτέρευε στρατιά, Γαυρόβου προσαγορευομένης, ἐδεῖτο βασιλεῖ συντυχεῖν, ὡς περί τινων ἀναγκαίων διαλεξόμενος. ἐπεὶ δὲ εἰσήγετο πρὸς βασιλέα, πρῶτα μὲν ἀρχαίας τινὸς εὐεργεσίας χάριτας ὀφείλειν ὡμολόγει βασιλεῖ, ἔπειτα ἐμήνυεν, ὡς ἡ στρατιὰ Τριβαλῶν, ἧς ἡγεῖται Μποζίκης τις προσαγορευόμενος καὶ Στέφανος δεύτερος, ἐκ πεζῶν καὶ ἱππέων ἠθροισμένη, πεμφθείη μὲν παρὰ Κράλη ἐπὶ τῷ βλάπτειν βασιλέα, ὅσα δύναιτο. αὐτοὶ δὲ οὕτως εἶναι παρεσκευασμένοι, ὥς, εἰ ἀκατίοις χρῷτο ἡ βασιλέως στρατιὰ πρὸς τὴν διάβασιν, τοῖς πρώτως διαβᾶσιν ἐπιτίθεσθαι καὶ διαφθείρειν· ἔπειτα ἀνείργοντας τοὺς ἄλλους πρὸς τὸν πόρον, αὐτοὺς μὲν διαμένειν ἀπαθεῖς κακῶν· βασιλέα δὲ μετὰ τῶν συνόντων ὑπὸ τῆς ἐκ Θεσσαλονίκης στρατιᾶς διαφθείρεσθαι ῥᾳδίως εὐεπιχείρητον γενόμενον. τὴν μὲν οὖν ἐπιβουλὴν οὕτως ἔφασκεν εἶναι συνεσκευασμένην παρὰ Τριβαλῶν, αὐτὸν δὲ εἰδέναι πόρον ἀγνοούμενον τοῖς πολλοῖς, ᾗ διαβατὸς ὁ ποταμὸς ῥᾳδίως ἔσται· ὃν ἔφασκεν ὑποδείξειν χάριν βασιλεῖ κατατιθέμενος. ἐπαινέσας δὲ ὁ βασιλεὺς τὸν ἄνθρωπον καὶ ἐπαγγειλάμενος εὖ ποιήσειν, ἐπεὶ καὶ ἡ ἡμέρα ἤδη διεφαίνετο, ἄραντες ἐκ τοῦ στρατοπέδου, διῄεσαν τοῦ ποταμοῦ τὴν ὄχθην, οἷ ὁ ἄνθρωπος ἡγεῖτο. ὁμοίως δὲ καὶ οἱ Τριβαλοὶ ἐκ τῆς περαίας ἀντιπαρήρχοντο καὶ αὐτοὶ τὸν ποταμόν. ἐπεὶ δὲ εἰς τὸν πόρον ἦλθον, Τριβαλοὶ μὲν ἐκ τῆς περαίας παρετάσσοντο ὡς κωλύσοντες καὶ βέλεσιν ἐχρῶντο πόῤῥωθεν. βασιλεὺς δὲ μετὰ τῶν ἀρίστων ὁρμῇ χρησάμενοι παραβόλῳ καὶ σωμάτων ἀφειδήσαντες, διέβαινον βαλλόμενοι καὶ κωλυόμενοι, ὡς ἐνῆν, ὑπὸ τῶν Τριβαλῶν. διαβάντας

на опасност да бъдат решителни и да се посъветват с други. Поради това и бащата се възползуваше от съветите им в най-трудни моменти и често се съгласяваше с тях не от желание да им достави удоволствие: защото състоянието на държавните работи не позволяваше това, но тъй като смяташе, че така е най-полезно. Като разсъждаваше до късно през нощта с тех и с останалите, императорът най-напред реши, а след това и всички останали решиха да не чакат, а да предпочетат по-малката опасност и като вървят покрай Аксейос, да потърсят къде има брод. Те сметнаха, че е по-добре отново да попаднат на трибалите, от които те биха могли по някакъв начин да се отърват, отколкото на ромеите и на съюзниците им варвари. Те така решиха.

III, 59. До палатката се приближи някой от едно село, наречено Габрово[269], (разположено) на другата страна на Аксейос, срещу което нощуваха. Там нощуваше и войската на трибалите. Той пожела да се срещне с императора, за да разговаря уж за нещо важно. Когато го въведоха при императора, най-напред му благодари, комуто бил задължен за някакво старо благодеяние, а след това съобщи, че войската на трибалите, която се предвождаше от някой си Божик и от друг един, Стефан, състояща се от пехотинци и конници, е изпратена от краля, за да попречи на императора, колкото може. А те така се били приготвили, че ако войската на императора си послужи при преминаването с лодки, да нападнат преминалите най-напред и да ги избият, а на останалите да попречат да преминат и да ги оставят, без да им причинят злини. Така императорът заедно със съмишлениците си ще стане лесна плячка и ще бъде погубен от солунската войска. Той казваше, че планът така е подготвен от трибалите, а сам бил сигурен, че мнозина не знаят брода, където реката е лесно проходима. Казваше, че ще го покаже, услужвайки на императора. Императорът похвали човека и обеща, че ще се отблагодари добре, и когато настъпи денят, вдигнаха се от лагера и дойдоха до брега на реката, където ги водеше човекът. Същевременно и трибалите вървяха покрай отсрещния бряг на реката. Когато дойдоха до брода, трибалите се наредиха, за да попречат (на преминаването) от отсрещния бряг и отдалеч стреляха. А императорът заедно с най-смелите нападнаха внезапно и без да се щадят, и преминаха, макар трибалите да ги обстрелваха и възпиδὲ ὑπέμειναν οὐδ' ἐπὶ μικρὸν, ἀλλ' ἔφευγον τραπόμενοι κατὰ κράτος. βασιλεὺς δὲ οὔτ' ἐπιδιώκειν εἴα, οὔτε ἀποκτείνειν, ἄγνοιαν τῆς ἐπιβουλῆς ὑποκρινάμενος. ἐβούλετο γὰρ μηδεμίαν Κράλῃ πρὸς τὸν πόλεμον πρόφασιν παρέχειν. ἡ δὲ ἄλλη στρατιὰ διέβαινε κατὰ σχολὴν μηδὲν ζημιωθεῖσα. βασιλεὺς δὲ φιλοτίμως ἀμειψάμενος τὸν ἡγησάμενον πρὸς τὸν πόρον, πρὸς Βέῤῥοιαν ἐπανῄει, πολλὰς αὐτοῦ τε καὶ τῆς στρατιᾶς τῆς σωτηρίας θεῷ χάριτας ὁμολογῶν· ἐν χρῷ γὰρ εἴπερ ποτὲ κατέστησαν κινδύνου. τῆς αὐτῆς δὲ ἡμέρας καὶ ἡ ἐκ Θρᾴκης καὶ Μακεδονίας στρατιὰ ἅμα τοῖς ἐκ τῶν τριηρέων ὁπλίταις καὶ ψιλοῖς καὶ Πέρσαις τοῖς συμμάχοις πρὸς Ἀξειὸν ἧκον ἐπὶ βασιλέα. πυθόμενοι δὲ, ὡς διαβὰς πρὸς Βέῤῥοιαν ἐπανέλθοι, ὑπέστρεφον εἰς Θεσσαλονίκην ἀνιώμενοι, ὅτι ὑστερήσειαν. βασιλεύς τε τότε μᾶλλον ἀκριβέστερον συνεώρα τὴν περὶ αὐτὸν πρόνοιαν τοῦ θεοῦ. ἐπεὶ δὲ ἐγένετο. ἐν Βεῤῥοίᾳ, Γερμανοὺς τῆς εἰς αὐτὸν εὐνοίας ἀμειψάμενος εὐεργεσίαις, ἀπέπεμπεν εἰς Κράλην καὶ τοὺς περὶ τὴν διάβασιν Ἀξειοῦ κωλύοντας προσήγγελλεν ὡς ἀδικήσαντας καὶ παρὰ τὰς σπονδὰς καὶ τοὺς ὅρκους αὐτῶν τοὺς εἰς ἀλλήλους εἰργασμένους. Κράλης δὲ οὔπω φανερῶς ἐξενηνεγμένος πρὸς τὸν πόλεμον, θέλων βασιλέα θεραπεύειν, ἐπεὶ μὴ διὰ τῆς ἐπιβουλῆς ἐξεγένετο διαφθείρειν, Μποζίκην καὶ Στέφανον τοὺς ἡγουμένους τῆς στρατιᾶς ἔπεμπε πρὸς βασιλέα, ὡς δίκας τῆς ἀγνωμοσύνης δώσοντας, ὅτι βασιλεῖ τῷ φίλῳ, αὐτοῦ μὴ συνειδότος, πολεμοῖεν, καὶ ἐπέτρεπε βασιλεῖ τὴν ψῆφον τὴν κατ' αὐτῶν, ὡς δικαίως πᾶν ὁτιοῦν καταψηφισομένῳ. βασιλεὺς δὲ αὐτοῖς τὴν ἀγνωμοσύνην ὀνειδίσας καὶ ὡς ἄδικά τε ὁμοῦ καὶ ἀνάξια τῆς Κράλη πρὸς αὐτὸν τολμήσαιεν φιλίας, ἔπειτα συγγνώμην τε παρείχετο καὶ ἀπέλυεν, εὖ ποιήσας. Ἀπόκαυκος δὲ ὁ μέγας δοὺξ, ἐπεὶ τῆς μάχης τε ὑστέρει καὶ πρὸς Βέῤῥοιαν ἐλθεῖν ἐπὶ βασιλέα ἦν ἀδύνατος, Κράλην μὲν, πολλὰ τὰ μὲν πέμπων δῶρα, τὰ δὲ ὑπισχνούμενος, ἐκπολεμοῦν ἐκείνῳ ἐπεχείρει, καὶ οἴκοθεν ἤδη πρὸς τοῦτο ὡρμημένον· πρὸς βασιλέα δὲ Συναδηνόν τινα πέμψας ὄνομα, ὅρκοις τοῖς φρικωδεστάτοις διεβεβαιοῦτο, μηδεμίαν ἔχειν πρὸς αὐτὸν ἀπέχθειαν, μηδὲ ὅ,τι φέρει πρὸς αὐτὸν φθορὰν μήτε βούλεσθαι, μήτε ζητεῖν ἐκ τρόπου παντὸς, ἀλλὰ φορᾷ τινι τῶν πραγμάτων καὶ αὐτὸν συνενεχθῆναι πρὸς τὸν πόλεμον. τῶν πραγμάτων δὲ εἰς τοῦτο νῦν ἡκόντων, μαθεῖν ἐθέλειν ὅ,τι βούλοιτο περὶ ἑαυτοῦ, ἢ πρὸς ὅ,τι τρέπεσθαι ἐσκέψατο.

---

[269] Габрово, неуточнено.

(II, pp. 354_{23}—362_{23})

раха, колкото можеха. Последните не се противопоставиха ни най-малко на преминаващите (войски), но дадоха гръб и побягнаха с все сила. Императорът не позволи да ги преследват, нито да ги убиват, преструвайки се, че не знае за засадата. Защото не желаеше да даде никакъв повод на краля за война. А останалата войска премина бавно без никакви загуби. Императорът, като възнаградил щедро превелия ги през брода, върна се във Вероя, като въздаде много благодарности на бога за собственото си и на войската спасение. Защото, както никога, се бяха изложили на опасност. В същия ден при Аксейос при императора пристигнаха войските от Тракия и Македония заедно с тежко-и лековъоръжените войници от триерите и съюзниците перси. А когато се научиха, че е преминал (реката) и се е отправил за Вероя, върнаха се в Солун натъжени, че са закъснели. Тогава императорът видя още по-ясно, че бог се грижи за него. Когато пристигна във Вероя, той отпрати германците при краля, като ги възнагради за благоразположението им към него. А тия, които бяха пречили да премине Аксейос, тях той изобличи в несправедливост и в нарушение на договора и клетвите помежду им. Кралят, който не бе започнал още войната открито и желаеше да бъде внимателен към императора, тъй като не успя да го погуби чрез засадата, проводи при императора началниците на войската Божик и Стефан, за да бъдат наказани за безразсъдството, че са воювали с приятеля император без негово знание, и предостави на императора да реши срещу тях това, което смята за най-справедливо. Императорът порица безразсъдството им, както и това, че са се одързостили да извършат несправедливи и недостойни неща за приятелството на краля към него, а след това (им) прости и (ги) пусна, отнасяйки се добре (с тях). А великият дук Апокавк, понеже дойде след сражението и не бе в състояние да тръгне към Вероя срещу императора, прати много дарове на краля, а също така обеща да започне война срещу императора. За тази цел бил потеглил вече от базата си. Като проводи при императора някой си на име Синадин, той уверяваше с най-страшни клетви, че не изпитва никаква омраза към него, че не иска гибелта му, нито търси това по какъвто и да е начин, но поради стечение на обстоятелствата и той е влязъл във войната. А понеже се стигнало до сегашното положение, той желаел да разбере какво мисли или как смята да постъпи.

41. *Cantacuzenus imperator Morrhae oppidula sibi subicit et Momitzilum castellis Meropes praeficit*

III, 65 . . .

βασιλέως δὲ Περιθεώριον πολιορκοῦντος καὶ κλίμακας καὶ μηχανὰς κατασκευάζοντος πρὸς τὴν τειχομαχίαν, τὰ ἐν τῇ Μερόπῃ φρούρια προσεχώρησαν, ἥ τε Ἁγία Εἰρήνη προσαγορευόμενον καὶ ὁ Ποβισδός. καὶ ἐλθόντες πρὸς βασιλέα, ἡγεμόνα ἐδέοντο αὐτοῖς παρασχεθῆναι· σὺν τούτοις δὲ καὶ ἕτεροι νομάδες τὸ αὐτὸ οἰκοῦντες ὄρος ἐν κώμαις ἀτειχίστοις, οἳ διὰ τὴν πρὸς βασιλέα εὔνοιαν (ἦσαν γὰρ καὶ πρότερον ὑπ' ἐκεῖνον τεταγμένοι, βασιλέως Ἀνδρονίκου ἔτι περιόντος.) τῶν ἄλλων πρῶτοι παρεγένοντο καὶ παρεῖχον ἑαυτοὺς ἑκόντες βασιλεῖ. σκεπτομένῳ δὲ περὶ αὐτῶν πρὸς ὅ,τι χρήσαιτο καὶ τίνα ἐπιστήσειεν ἄρχοντα αὐτοῖς, ἐδόκει δεῖν Μομιτζίλῳ τὴν ἀρχὴν αὐτῶν παρέχειν, οὐ μόνον διὰ τὸ ὁμόφυλον νομίσας διακείσεσθαι αὐτῷ εὐνοϊκῶς τοὺς νομάδας ἐκείνους, ἀλλ' ὅτι καὶ εὐψυχίας καὶ τόλμης πρὸς τὰς μάχας οὐδὲν ἐνέλιπε καὶ πρὸς λῃστείας καὶ ἁρπαγὰς ἄριστα ἐξήσκητο. ἦν γὰρ δὴ ὁ Μομιτζίλος οὗτος τὸ γένος μὲν Μυσὸς, διὰ δὲ λῃστείας καὶ ἁρπαγὰς ἐκεῖθεν ἐλαθεὶς, πρὸς Ῥωμαίους τε ἐγένετο καὶ ὑπὸ βασιλέως Ἀνδρονίκου τοῖς στρατιώταις κατελέχθη. χαίρων δὲ ἀεὶ λῃστείαις καὶ πολλὰ τὴν Μυσίαν κακουργῶν διὰ τὸ μάλιστα ἔμπειρον τῶν τόπων εἶναι, παρῃνεῖτο μὲν πολλὰ ὑπὸ τῶν τὰ μεθόρια τῆς Μυσῶν καὶ Ῥωμαίων ἡγεμονίας ἀρχόντων, μὴ τοιαῦτα κακουργεῖν, σπονδῶν οὐσῶν, καὶ πόλεμον κινεῖν. ὁ δὲ οὐ πάνυ πείθεσθαι ἠδύνατο, ἀλλ' ἐπί τινα χρόνον ἡσυχάζων, τοῖς ὁμοίοις πάλιν ἐπεχείρει. μέλλων δὲ ἤδη τῆς κακουργίας διδόναι δίκας, ἐπεὶ Μυσοῖς τε ἀπηχθάνετο διὰ τὰς λῃστείας καὶ Ῥωμαίοις οὐκ ἐθάῤῥει βουλομένοις συλλαμβάνειν, ἀπεχώρησεν εἰς Τριβαλοὺς καὶ διέτριψεν ἐκεῖ χρόνον τινὰ συχνόν. ἔπειτα ὡς βασιλεὺς ὁ Καντακουζηνὸς εἰς Περιθεώριον ἐκ Βεῤῥοίας ἐπανῆκε, πρότερον ὀλίγον χρόνον Κράλη ἀποστὰς, προσεχώρησε τότε βασιλεῖ. εἰδὼς δὲ αὐτὸν ὄντα ἐπιτήδειον πρὸς τοιαύτην ἡγεμονίαν, τά τε φρούρια ἐνεχείρισε καὶ τὰς κατὰ τὴν Μερόπην ἄλλας

41. *Император Кантакузин си подчинява крепости в областта Мора и поставя Момчил за управител на крепостите в областта Меропа*

III, 65...[270] Когато императорът обсаждаше Перитеорион и се приготви да го нападне със стълби и машини, крепостите Света Ирина и Повисд[271] в областта Меропа минаха на негова страна. Жителите им дойдоха при императора и го помолиха да им назначи управител. Заедно с тях в същата планина живееха в неукрепени села и други номади, които поради благоразположението си към императора (защото му бяха подчинени по-рано още докато беше жив император Андроник) от всички други първи пристигнаха и доброволно се подчиниха на императора. Като обмисли кого да им постави за началник, реши, че трябва да повери властта над тях на Момчил[272] не само поради това, че са еднородни, но и затова, че не му липсва храброст и смелост в сраженията и е твърде опитен в плячкосванията и грабежите. Този Момчил по род бе мизец, но поради плячкаджийство и грабеж избяга оттам и отиде при ромеите, където бе зачислен от императора в списъка на стратиотите.[273] Понеже винаги с удоволствие плячкосваше и опустошаваше много Мизия, понеже познаваше местата, той бе често съветван от управителите на пограничните области между мизите и ромеите да не започва война и да не върши такива опустошения, понеже бяха в договорни отношения. Той изобщо не можеше да се убеди и за известно време мируваше, но след това отново се захвана със същите работи. И той щеше да бъде наказан за злодеянията си, понеже стана омразен на мизите заради грабежите и не се доверяваше на ромеите, които искаха да го хванат. Затова избяга при трибалите и там прекара продължително време. След това император Кантакузин пристигна от Вероя в Перитеорион, а той, който малко преди това се отметна от краля на трибалите, се присъедини към императора. Като видя, че той е подходящ за тази служба, предаде му крепостите и останалите села в κώμας οὐκ ὀλίγας οὔσας. ἐξ ὧν οὐκ ὀλίγη χεὶρ συνελέγετο λῃστρική· ἦσαν γὰρ ἱππεῖς μὲν τριακοσίων ὀλίγῳ πλείους, πεζοὶ δὲ ὑπὲρ τοὺς πεντακισχιλίους· ὧν ἁπάντων αὐτῷ ἐνεχείρισε τότε τὴν ἀρχὴν καὶ προσέταττε κακοῦν τὰς πόλεις, αἳ μὴ προσχωροῖεν βασιλεῖ.

---

[270] В пропуснатия пасаж се говори за жестокото отношение на великия дук Апокавк към пратеника на Йоан Кантакузин, който пристигнал в Цариград, за да води преговори за мир с императрица Ана. [271] Крепостите Света Ирина и Повисд се намирали в горното течение на река Арда, в областта Меропа. [272] За Момчил вж. В. Гюзелев, Момчил в светлината на един нов исторически извор, Вести на Народния музей в Хасково, кн. I, 1965, с. 21—30. [273] Стратиотите, сиреч население, което било задължено да изпълнява военна служба. Те притежавали определени неотчуждаеми участъци земя, като същевременно били освободени от някои данъчни задължения. От XII в. нататък стратиотите се наричали „прониари“, т.е. лица, които получавали определени участъци земи за доживотно ползуване срещу изпълняване на военна служба. За това вж. П. Мутафчиев, Войнишки земи и войници във Византия през XIII—XIV в., Сп БАН, XXIII (1927), с. 1—114. — Г. Литаврин, Болгария и Византия XI—XII вв., Москва, 1960, с. 153—155. — Острогорски, пос. съч., с. 450.

(II, 402_9—403_{21})

42. *Bulgarorum rex Alexander ad Stilbnum castra sua ponit*

III, 66. Ἐκεῖνος δὲ ἐπεὶ Περιθεώριον οὐδὲν ἤνυε πολιορκῶν, τὰς μὲν παρεσκευασμένας μηχανὰς ἐνέπρησε πυρί, τοῦ δὲ στόλου παντὸς εἰς τὴν οἰκείαν ἀποπλεύσαντος, αὐτὸς ἅμα Ἀμοὺρ ἑξακισχιλίους ἐπιλέκτους ἄγοντες Περσῶν, ἧκον εἰς Διδυμότειχον. οἱ δὲ ἐν Διδυμοτείχῳ ἑορτὰς ἦγον δημοσίας τῆς βασιλέως ἐπανόδου καὶ παντοῖοι ἦσαν ὑφ' ἡδονῆς. ἐδόκουν γὰρ ὡς ἐξ ᾅδου τοὺς περὶ βασιλέα αὖθις εἰς τὸν βίον ὑποδέχεσθαι. ὀλίγας δὲ ἡμέρας ἐνδιατρίψας Διδυμοτείχῳ, ἐξῆλθεν εἰς Ῥοδόπην· καὶ τὰ κατὰ τὴν Μόῤῥαν πολίχνια πάντα προσεχώρησαν εὐθύς, πλὴν ἑνός, Ἐφραὶμ προσαγορευομένου. τὰ μὲν οὖν προσχωρήσαντα οὐδὲν δυσχερὲς ὑπέμενον παρὰ Περσῶν, Ἐφραὶμ δὲ ἐκάκωσαν οὐκ ὀλίγα. οἷς ἐπιστήσας ἄρχοντα τὸν γυναικὸς ἀδελφὸν Ἀσάνην τὸν Ἰωάννην, αὖθις ἀνέστρεφεν εἰς Διδυμότειχον. πρὸς δὲ τὰς ἐν τῇ Θρᾴκῃ πόλεις πέμψας στρατιὰν ἅμα Ῥωμαίων καὶ Περσῶν, ἠξίου προσχωρεῖν· ὡς δ' οὐ προσεχώρουν, ἐκάκουν ὅσα δυνατά, καὶ κῶμαι πᾶσαι ἐπορθοῦντο καὶ οἱ ἀνδραποδιζόμενοι ἐπιπράσκοντο πρὸς τοὺς οἰκείους· ἀπέθνησκον δὲ καὶ πλεῖστοι. βασιλεὺς δὲ ἠνιᾶτο μὲν πρὸς τὰ τοιαῦτα οὐκ ἀνεκτῶς, θεραπεία δὲ τοῦ κακοῦ οὐδεμία ἐξευρίσκετο. οὔτε γὰρ αἱ πόλεις προσεχώρουν, ὥστε αὐτῶν ἀποσχέσθαι τοὺς βαρβάρους, οὔτε ἀποχρῶσαν πρὸς τοὺς πολεμίους εἶχε δύναμιν ἐκ Ῥωμαίων, ὥστε ἀποπέμπεσθαι τοὺς Πέρσας, ὡς ἅμα τοῖς συνοῦσι Ῥωμαίοις τὸν πόλεμον διοίσων. διὸ καὶ ἄκων μὲν καὶ ἀχθόμενος ἐπὶ τῇ τῶν Ῥωμαίων συμφορᾷ, κατεῖχε δὲ ὅμως δι' ἀνάγκην. ἔτι δὲ ἐν Ῥοδόπῃ ἑτέρας οὔσης ἐπαρχίας Ῥωμαίοις ὑπηκόου Στενιμάχου καὶ Τζεπαίνης προσαγορευομένης, αἷς ἦσαν ἱππεῖς χιλίων οὐκ ἐλάσσους μαχιμώτατοι καὶ πλῆθος πεζῶν, ἐδόκει δεῖν στρατεύειν ἐπ' αὐτούς. καὶ ἄραντες ἐκ Διδυμοτείχου, ἦλθον ἄχρι Μόῤῥας. ἐκεῖ δὲ νοσήσαντος Ἀμοὺρ, περιέμενον εἴ πως γένοιτο ῥαΐσαι. ὡς δὲ ἐφαίνετο αὐξάνειν μᾶλλον τὸ κακόν, καὶ ἀπορία ἦν οὐκ ἰατρῶν μόνον, ἀλλὰ καὶ τῶν πρὸς τὴν νόσον ἀναγ-

Мерона, които бяха немалко. От тях Момчил събра немалко разбойническа войска. Конниците бяха малко повече от триста, а пехотинците над 5000. Тогава императорът му повери командуването над всички тях и нареди да опустошава градовете, които не биха минали на страната на императора.

42. *Иван Александър разполага своя лагер при Сливен*

III, 66. А понеже той[274] нямаше успех в обсадата на Перитеорион, изгори приготвените машини и след като цялата флота отплува за родината си, сам заедно с Омур и 6000 отбрани перси пристигнаха в Димотика. Жителите на Димотика устроиха публични тържества по повод завръщането на императора и бяха изпълнени с радост. Защото те смятаха, че посрещат хората на императора, като че ли върнали се от ада за нов живот. Той прекара малко дни в Димотика и след това замина за Родопа. И веднага всички градчета в Мора минаха на негова страна освен едно, наречено Ефрем[275]. Миналите на негова страна градчета не претърпяха нищо лошо от персите, които обаче жестоко опостушиха Ефрем. Той постави за управител на градчетата брата на жена си Йоан Асен и веднага се върна в Димотика. Като изпрати византийска и персийска войска срещу градовете в Тракия, той искаше да му се подчинят. Понеже не му се подчиняваха, опустоши ги, доколкото бе възможно, а всички села бяха разрушени и поробените се продаваха на близките им. И мнозина загинаха. Императорът се измъчваше много от това и не намираше никакъв лек за злото. Защото нито градовете минаваха на негова страна, та варварите да ги пощадят, нито разполагаше с достатъчна ромейска войска срещу неприятелите, за да отпрати персите, та да доведе войната докрай със съмишлениците си ромеи. И поради това против волята си и опечален от нещастието на ромеите той по неволя ги завладяваше. Тъй като имаше и друга област в Родопа, подчинена на ромеите, наречена Станимака и Чепино, в които градове имаше не по-малко от хиляда твърде храбри конници и много пехота, той реши, че трябва да се отправи на поход срещу тях. Те излязоха от Димотика и дойдоха до Мора. Там, понеже Омур заболя, останаха, докато оздравее. Понеже болката се увеличаваше не само поради липса на лекари, но и поради липса на лекарства, върнаха καίων, ἀνέστρεφον εἰς Διδυμότειχον. οἱ δὲ ἐν Βυζαντίῳ φανερῶς μὲν ἀντιτάττεσθαι πρὸς τὴν στρατιὰν τὴν Περσικὴν οὐκ ἦσαν δυνατοί. πέμψαντες δὲ στρατιὰν πρὸς τὴν Ἀδριανοῦ, ἐφρούρουν, ὧν ἦρχεν ὁ Σφραντζῆς, μάλιστα τῶν ἐν τῇ Θρᾴκῃ πόλεων μείζω καὶ ἀναγκαιοτέραν οὖσαν. καὶ τῶν ἄλλων ἐποιοῦντο πρόνοιαν ὅση δυνατὴ, ὥστε μὴ ἀποστῆναι πρὸς Καντακουζηνὸν τὸν βασιλέα ἀπ' αὐτῶν. Σφραντζῆς οὖν πυθόμενος περὶ βασιλέως, ὡς ἐπιστρατεύσειε Στενιμάχῳ, καὶ νομίσας ὡς εἴη δυνατὸν ἐκείνου ἀπόντος ἄχρις ἐπανήξῃ τὰ περὶ Διδυμότειχον κακώσαντα αὖθις εἰς Ἀδριανούπολιν ἐλθεῖν, παραλαβὼν ὅσους ἦγεν, ἦλθεν ἐπὶ Διδυμότειχον. συνέβη δὲ τῆς αὐτῆς ὥρας καὶ βασιλέα ἐκ τῆς Μόῤῥας ἐπανήκειν μετὰ τῆς στρατιᾶς, καὶ γενομένης συμπλοκῆς, οἱ πλείους μὲν τῶν ἐπελθόντων ἔπεσον καὶ ἑάλωσάν τινες ὀλίγοι. ἀπέθανε δὲ καὶ ὁ στρατηγός. Ἀμοὺρ δὲ καὶ αὐτὸς ἦλθεν ἐν χρῷ κινδύνου κατ' ἐκείνην τὴν μάχην. ἐκεῖνος γὰρ, καίτοι μικρὸν τῆς νόσου ῥᾴσας, ὡς ἐγένετο ἡ συμπλοκὴ τῶν στρατοπέδων, ὁπλισάμενος ἐχώρει μετὰ τῶν προτάκτων· κοντοῖς δὲ τῶν πολεμίων τρισὶ περιτυχὼν, παρὰ δόξαν διεσώθη, πρὸς τὰς πληγὰς τῶν ὅπλων ἀντισχόντων, καὶ πολλὰς ὡμολόγει βασιλεῖ χάριτας τῆς σωτηρίας. εἰωθότα γὰρ ὅπλων μάχεσθαι χωρὶς, ὁ βασιλεὺς ἡμέραις ὀλίγαις πρότερον τῆς μάχης παρῄνει μὴ ἄφρακτον εἰσιέναι εἰς τὰς μάχας, εἰ μὴ βούλοιτο θανάτου αἴτιος καταστῆναι ἑαυτῷ· ὅσῳ γὰρ ἄν τις ἀγωνίζοιτο εὐψύχως, τοσούτῳ πεσεῖται ῥᾷστα πληγῇ τινι περιτυχὼν καὶ κατεργασθεὶς ῥᾳδίως. ᾧ καὶ πειθόμενος, καίτοι ἄνοπλος τὸν ἵππον ἐπιβὰς, αὖθις ἀναστρέψας, ἀνελάμβανε τὰ ὅπλα, τῶν βασιλέως παραινέσεων μνησθείς. βασιλίδι δὲ τῇ Ἄννῃ καὶ πατριάρχῃ καὶ μεγάλῳ δουκὶ καὶ τοῖς ἄλλοις τοῖς ἐν τέλει ἐδόκει δεῖν πρὸς Ἀλέξανδρον πρεσβείαν ποιεῖσθαι τὸν Μυσῶν βασιλέα, ὥστε συμμαχεῖν αὐτοῖς ἐπὶ Καντακουζηνὸν τὸν βασιλέα. ἐκάκου γὰρ ἡ τῶν Περσῶν στρατιὰ καὶ τὴν ἐκείνου. ὁ δὲ ὑπέσχετο, ἂν μισθὸν αὐτῷ παρέχωσι τῆς συμμαχίας τὰς κατὰ Στενίμαχον καὶ Τζέπαιναν πόλεις καὶ μείζους καὶ ἐλάττους καὶ τὴν ταύταις ἐγκαθιδρυμένην στρατιάν. ἦσαν δὲ ἐννέα, ἡ Τζέπαινα καὶ ὁ Κροτζιμὸς, ἡ Περιστίτζα, ἡ Ἁγία Ἰουστίνα, ἡ Φιλιππούπολις, πόλις θαυμασία καὶ μεγάλη, ὁ Στενίμαχος, ὁ Ἀετὸς, ὁ Μπέαδνος, ὁ Κόσνικος. στρατιὰ δὲ πρότερον μὲν ὑπὲρ τοὺς πεντακοσίους καὶ χιλίους ἦσαν· τότε δὲ ὑπὸ τοῦ Ῥωμαϊκοῦ πολέμου κἀκείνων διεφθαρμένων,

---

[274] Става дума за Йоан Кантакузин.

[275] Ефрем, крепост в долното течение на р. Арда.

се в Димотика. Жителите във Византион не бяха в състояние открито да се противопоставят на персийската войска. Те пратиха войска в Андрианопол начело с Францес и го охраняваха, понеже бе най-голям и най-важен от градовете в Тракия. А за останалите градове се погрижиха, доколкото им бе възможно, така че да не се отцепят от тях и да минат на страната на император Кантакузин. Когато Францес узна, че императорът е потеглил срещу Станимака, сметна, че е възможно в негово отсъствие да нападне и опустоши околностите на Димотика и отново да се върне в Адрианопол. Той взе колкото войска водеше и пристигна при Димотика. Случи се така, че по същото време и императорът се връщаше от Мора с войската си. При станалото сражение повечето от нападателите загинаха и малцина бяха пленени. Загина и стратегът. А Омур пристигна в решителния момент на сражението. Той, макар да се бе оправил малко от болестта, при избухване на сражението между войските се втурна с първите редици. Улучен от три неприятелски копия, като по чудо се запази, понеже доспехите му издържали на ударите и той благодари много на императора за спасението си. Понеже бе обичайно да се сражават без доспехи, императорът няколко дни преди сражението го подканяше да не влиза в сраженията невъоръжен, ако не желае да стане причина за собствената си смърт. Защото колкото някой се сражава по-храбро, толкова по-лесно ще загине, сразен от някакъв удар, и лесно ще бъде погубен. И убеден от това, макар че яхнал коня невъоръжен, веднага се върнал, грабнал доспехите, спомняйки си предупрежденията на императора. Императрица Ана, патриархът, великият дук и останалите знатни решиха, че трябва да се проводи пратеничество при Александър, царя на мизите, за да им помага срещу император Кантакузин. Защото персийската войска опустошаваше и неговата страна. А той обеща, ако му дадат като награда за помощта градовете при Станимака и Чепино, по-големи и по-малки заедно с намиращата се в тях войска. А те бяха девет: Чепино, Кричим. Перущица, света Юстина[276], Филипопол, град забележителен и голям, Станимака, Аетос, Беаднос и Косник.[277] Войската по-рано била над 1500 души. А тогава, по време на ромейската война, понеже (войниците) бяха избити, бяха ὀλίγῳ πλείους χιλίων ἦσαν, πάντες μαχιμώτατοι καὶ οὐδένων ἄλλων τῶν παρὰ Ῥωμαίοις στρατευομένων λειπόμενοι εἰς εὐψυχίαν. οἱ δὲ, ὡς ἐπύθοντο τὴν ἀξίωσιν Ἀλεξάνδρου, παρείχοντο προθυμότατα τὰς πόλεις, δείσαντες, ὡς ἔοικε, μὴ Καντακουζηνῷ τῷ βασιλεῖ κἀκείνων προσθεμένων, πολεμίους ἔχωσιν ἀντὶ συμμάχων καὶ ὑπηκόων· καὶ ὡς ἐν συγκρίσει προτιμήσαντες Ἀλέξανδρον μᾶλλον ἔχειν σύμμαχον ἐσόμενον, ἢ τὸν πολεμοῦντα Καντακουζηνὸν τὸν βασιλέα. οὕτω πᾶσαν ἐπεδείκνυντο σπουδὴν καὶ προθυμίαν ὑπὲρ τοῦ Ῥωμαίων τὴν ἀρχὴν μὴ ἐλασσοῦσθαι. ἐπεὶ μέντοι τὰς πόλεις εἶχεν ὁ Ἀλέξανδρος, ἀπήτουν οὗτοι τὴν συμμαχίαν κατὰ τὰς συνθήκας. ὁ δ᾽ ἔφασκε μὴ δύνασθαι, ἄχρις ἂν οἱ Πέρσαι ἐνδιατρίβωσι τῇ Θρᾴκῃ· ἂν δέ τινι τρόπῳ δύνωνται πείθειν ἀποχωρεῖν εἰς τὴν Ἀσίαν, τότ᾽ ἤδη Καντακουζηνῷ ἐπιστρατεύσειν προθυμότατα.

---

[276] Крепостта Света Юстина се намирала на север от Перущица. Вж. Иречек, пос. съч., с. 433.

[277] Крепостите Аетос, Беаднос и Косник се намирали на изток от Асеновград. Вж. Иречек, Княжество България, с. 391.

(II, pp. 403_{22}—407_{13})

43. *Legati Cantacuzeni imperatoris ad Bulgarorum regem Alexandrum veniunt*

III, 68. . . καὶ ὁ τῶν Μυσῶν βασιλεὺς Ἀλέξανδρος ἧκεν ἐπὶ Στίλβνον πανστρατιᾷ, Παλαιολόγῳ τῷ νέῳ συμμαχήσων βασιλεῖ, ὥσπερ ἦν ὑπεσχημένος. πατριάρχης τε ἐκκλησίαν ἀπὸ πάντων Βυζαντίων ποιησάμενος καὶ πολλὰ Καντακουζηνοῦ τοῦ βασιλέως καθαψάμενος, ὡς ἀδίκως καὶ παρανόμως τοῖς παισὶν ἐπιβουλεύοντος βασιλέως, οὗ πολλῶν ἀπέλαυσε καὶ μεγίστων εὐεργεσιῶν, ἔπειτα ἑαυτὸν πατέρα καὶ κηδεμόνα τοῦ νέου βασιλέως ἀνακηρύξας, καὶ ὡς διὰ τὴν ἐκείνου σωτηρίαν κινδύνοις καὶ μάχαις καὶ αὐτὸς ἔγνω παραβάλλεσθαι καὶ καταλύειν τὸν κοινὸν πολέμιον, πάντας παρώρμησε πρὸς τὸν Καντακουζηνοῦ τοῦ βασιλέως πόλεμον, τοὺς μὲν ἑκόντας, ἔστι δ᾽ οὓς καὶ δι᾽ ἀνάγκην, δείσαντας τὸ ὑποπτεύεσθαι. καὶ πάντες κοινὴν ἐκστρατείαν ἐποιήσαντο πεζοί τε καὶ ἱππεῖς· παρῆσαν δὲ καὶ τῶν συγκλητικῶν ὅσοι ἦσαν ἔτι ἄδετοι. τοὺς πλείους γὰρ αὐτῶν ὁ μέγας δοὺξ, τοὺς μὲν ἐν δεσμωτηρίοις εἶχεν ὑπὸ κλοιοῖς, ἐν οἷς καὶ Ἀνδρόνικος Ἀσάνης ὁ Καντακουζηνοῦ τοῦ βασιλέως ἐξητάζετο πενθερός· ἔστι δ᾽ οὓς καὶ ἐν ταῖς οἰκίαις ἐφρούρει ἀπροΐτους. αὐτὸς δὲ ἦν τῆς στρατιᾶς αὐτοκράτωρ στρατηγός. οἳ καὶ βασιλέα τὸν νέον ἔχοντες Ἰωάννην, ἧκον εἰς Ἡράκλειαν τῆς Θρᾴκης· πέμψαντες δὲ καὶ πρὸς Μομιτζίλον, ὃς τῶν κατὰ Μερόπην φρουρίων καὶ τῶν ἄλλων νομάδων ὑπὸ Καντακουζηνοῦ τοῦ

останали малко повече от хиляда, всички твърде храбри и неотстъпващи по храброст на никои от останалите, воюващи при ромеите. Те, когато узнаха молбата на Александър, предадоха на драго сърце градовете, понеже се уплашиха, както изглежда, да не би, ако и тези градове минат на страната на император Кантакузин, да ги имат за неприятели вместо съюзници и подчинени. И като че ли по споразумение предпочетоха да имат за съюзник повече Александър, отколкото император Кантакузин за неприятел. Така те проявиха голяма грижа и старание да не отслабне властта на ромеите. Когато Александър получи градовете, те поискаха (от него) военна помощ според уговорката. А той казал, че не може (да я даде), докато персите пребивават в Тракия. Ако могат по някакъв начин да ги убедят да се върнат в Азия, тогава вече на драго сърце ще потегли срещу Кантакузин. . .

43. *Пратеници на император Кантакузин пристигат при царя на българите Иван Александър*

III, 68. . . И царят на мизите Александър дойде с цялата си войска при Стилбно, за да помогне на младия император Палеолог, както беше обещал. Патриархът свика всички цариградчани и обвини император Кантакузин, че несправедливо и противозаконно е заговорничил против наследниците на императора, от когото е получил много и твърде големи благодеяния. След това се обяви за баща и настойник на младия император. И като разбра, че за неговото спасение и сам той ще се изложи на опасности и сражения и ще доведе до край гражданската война, настрои всички към война срещу император Кантакузин, едни доброволно, а други по принуждение, понеже се страхуваха да не бъдат заподозрени. Всички пехотинци и конници общо предприеха похода. Явиха се и от членовете на синклита тези, които не бяха задържани, защото великият дук държеше едни от тях оковани в затвора (между тях беше и тъстът на император Кантакузин, Андроник Асен), а други под домашен арест. Сам[278] беше пълновластен началник на войската. И заедно с младия император Йоан[279] дойдоха в Хераклея Тракийска[280]. Те проводиха пратеничество и при Момчил, комуто император Кантакузин даде властта над крепостите в Меропа и над останалите номади, и го убедиха с много обещания да почне война βασιλέως ἐνεχειρίσθη τὴν ἀρχὴν, ἔπεισαν ὑποσχέσεσι πολλαῖς πόλεμον πρὸς ἐκεῖνον ἄρασθαι. ἦν γὰρ ἤδη ἐν λόγῳ τινὶ ὁ Μομιτζίλος καὶ δύναμιν περιβεβλημένος ἱκανήν. οὕτω μὲν οὖν ὁ πόλεμος πανταχόθεν βασιλέα περιίστατο καὶ ὑποπτεύειν δεινὰ εἰσῄει. αὐτὸς δὲ, ὥσπερ εἴωθεν, ἀεὶ πρὸς τοὺς κινδύνους μεγαλοψυχῶν καὶ τῶν δεινῶν τὰς ἐπιφορὰς ὁμαλῶς καὶ πρᾴως διαφέρων, πρὸς μὲν Ἀλέξανδρον τὸν Μυσῶν βασιλέα πρεσβείαν ἐποιεῖτο καὶ παρῄνει ἡσυχίαν ἄγειν, ὡς οὐ πολλῷ ὕστερον ἐκείνῳ αἰτίου συμφορῶν πολλῶν τοῦ πρὸς αὐτὸν πολέμου γενησομένου.

---

[278] Става дума за великия дук Апокавк. [279] Император Йоан V Палеолог. [280] Хераклея Тракийска, дн. Ерегли на Мраморно море.

(II, pp. 420_{18}—422_5)

срещу него. Защото той беше вече известен и разполагаше с достатъчно войска. Войната пламна отвсякъде около императора и той започна да подозира страшни неща. Самият той, който винаги проявяваше твърдост при опасностите и понасяше равнодушно и спокойно приближаването на злините, проводи пратеничество при Александър, царя на мизите, и го увещаваше да мирува, тъй като войната срещу императора щяла да причини не след много големи нещастия на самия него. . .

44. *Bulgarorum rex Alexander Hyperpiracium obsidit*

44. *Българският цар Иван Александър завзема крепостта Хиперпиракий*

III 69. Ἀλέξανδρος δὲ ὁ Μυσῶν βασιλεὺς, ἐπεὶ οἱ Καντακουζηνοῦ τοῦ βασιλέως πρέσβεις ἧκον πρὸς αὐτὸν καὶ ἀπήγγελλον τὰ τῆς πρεσβείας, λόγον μὲν οὐδένα ἐποιήσατο πρὸς τὰ εἰρημένα· στρατιὰν δὲ ἔχων ἦλθεν ἄχρι Μόῤῥας, τὰ ἐκεῖ πολίχνια, εἰ δύναιτο, παραστησόμενος ὑπήκοα ὄντα βασιλεῖ. ἓν δὲ αὐτῶν Ὑπερπυράκιον ὠνομασμένον, καὶ πρὶν ἐκεῖνον ἥκειν, ἄρχοντα εἰσεδέξατο πεμφθέντα παρὰ Ἀλεξάνδρου· ἔμελλον δὲ καὶ φρουράν. ἃ παρὰ τῶν πρεσβέων μαθὼν ὁ βασιλεὺς, ἐπεὶ καὶ ἡ στρατιὰ παρῆν ἡ Περσικὴ καὶ περὶ τοῦ Κράλη ἐπυνθάνετο, ὡς ἀναστρέψειεν εἰς τὴν οἰκείαν διὰ τὴν πληγὴν τῆς στρατιᾶς, εὔθυμος γενόμενος καὶ Ματθαῖον τὸν υἱὸν ἄρχοντα τῆς τε Γρατιανοῦ καὶ τῶν ἄλλων, αἳ ὑπήκοοι ἦσαν ἐν τῇ Χαλκιδικῇ, καταλιπὼν, ὡς εἶχε τάχους, πρὸς Μόῤῥαν ἐπὶ τοὺς Μυσοὺς ἐχώρει. αἰσθόμενος δὲ Ἀλέξανδρος, ἐπεὶ μὴ ἀντικαθίστασθαι ἠδύνατο πρὸς μάχην, σπουδῇ πολλῇ διέβαινε τὸν Ἕβρον ἀτάκτως καὶ πεφυρμένως, καὶ ἐστρατοπεδεύετο ἐκεῖ, ὡς τοῦ ποταμοῦ κωλύσοντος βασιλέα μὴ συμπλέκεσθαι αὐτοῖς. ἀπώλοντο δὲ κατὰ τὸν πόρον στρατιῶταί τε ὀλίγοι καὶ ἵπποι πλεῖστοι καὶ ἀποσκευαὶ, οὐ μόνον ὑπὸ τοῦ ῥείθρου, ἀλλ' ὅτι καὶ οἱ ἐν προτάκτοις ὑπὸ βασιλέως τεταγμένοι, ἔτι τῶν Μυσῶν διαβαινόντων, ἐπέκειντο αὐτοῖς. Ὑπερπυράκιον δὲ αὖθις ἀνεσώσατο ὁ βασιλεὺς, τοῦ παρὰ Ἀλεξάνδρου ἄρχοντος διαδρᾶναι δυνηθέντος ἅμα τῷ πυθέσθαι βασιλέα ἥκοντα. Ἀλέξανδρος δὲ τοῖς βασιλέως πρέσβεσιν αὐτίκα χρηματίσας καὶ θέμενος σπονδὰς, ἐξέπεμψε, μηδὲν ἠδικηκέναι εἰρηκὼς, δι' ὃ δικαίως ἀμυνεῖται βασιλεὺς, καὶ ἀνέστρεψεν εἰς τὴν οἰκείαν.

(II, pp. 426_{20}—427_{21})

III, 69.[281] А когато пратениците на император Кантакузин дойдоха при него и му съобщиха целта на идването, царят на мизите Александър не отговори нищо. Той пристигна с войската до Мора, за да си подчини, ако може, тамошните градчета, подвластни на императора. Едно от тях, наречено Хиперпиракион[282], преди да дойде Александър, бе приело изпратения от него архонт. Щели да приемат и гарнизон. Императорът, когато узна от пратениците тия неща, и тъй като персийската войска беше налице, а и бе научил за краля, че се е върнал в страната си поради поражението на войската му, зарадва се и като остави сина си Матей за началник на Грацианопол и другите градове, които му бяха подчинени в Халкидика, с голяма бързина се отправи към Мора срещу мизите. Александър, като разбра, че не може да излезе в открит бой, с голяма бързина премина Хеброс безредно и неорганизирано и се разположи на лагер там, понеже реката щяла да попречи на императора да влезе в сражение с тях. При преминаването загинаха малко войници, а много коне и обоз не само поради течението, но и понеже наредените най-отпред от императора нападнаха мизите, докато още преминаваха. Императорът отново си възвърна Хиперпиракион, а началникът, (назначен) от Александър, можа да избяга, щом узна, че императорът идва. Александър пък, като влезе веднага във връзка с пратениците на императора, сключи договор и ги отпрати. Той каза, че нищо несправедливо не е извършил, за което императорът справедливо да си отмъщава, и се върна в родината си.

---

[281] В пропуснатия пасаж се говори за разбиването на сръбски военен отряд от турците между Солун и Сер в местността Стефаниана. Вж. Јиречек, Историја срба, с. 368. [282] Хиперпиракион, дн. с. Перперек, Кърджалийско.

45. Anna imperatrix Momitzilum despotam creat. Magnus dux Apocauchus Empythium obsidit

III, 70. Βασιλεὺς δὲ ἀσμένως ἀποσκευασάμενος καὶ Ἀλέξανδρον, παρεσκευάζετο ὡς τοῖς εἰς Ἡράκλειαν ἐπιστρατεύσων ἅμα τῷ νέῳ συνοῦσι βασιλεῖ. Μομιτζίλος δὲ ὑπὸ τῶν ἐν Βυζαντίῳ πεπεισμένος πόλεμον ἄρασθαι πρὸς βασιλέα, ἐπεὶ εἰς Διδυμότειχον ᾔσθετο ἀφιγμένον, Ἀβδηρίταις ἐπεστράτευσεν, ἐν οἷς ὡρμίζοντο αἱ πρότερον παρὰ Ἀμοὺρ πεντεκαίδεκα νῆες πρὸς βασιλέα κατὰ συμμαχίαν ἀφιγμέναι, ἃς ἐφύλαττον πεντήκοντα καὶ διακόσιοι Περσῶν· οἱ λοιποὶ δὲ συνῆσαν βασιλεῖ. ἐξ ὧν ὁ Μομιτζίλος κατὰ τὴν ἔφοδον ἐκείνην ἐνέπρησε τρεῖς, τῶν ἄλλων περισωθεισῶν· Περσῶν δὲ ἀπώλετο οὐδείς. πρὸς δὲ τοὺς βασιλεῖ συνόντας τις ἐλθὼν, ὡς ναῦς τε συμπάσας ἐμπρήσειε Μομιτζίλος ἐπελθὼν καὶ τοὺς φύλακας ἀποκτείνειε, διαδρᾶναι δυνηθέντος μηδενὸς, ἀπήγγελλεν. οἱ δ' ἦσαν ἐν τοῖς ὅπλοις εὐθὺς καὶ ὥρμηντο Μομιτζίλῳ ἐπιέναι. βασιλέως δὲ κωλύειν πειρωμένου, ὡς μετὰ τὴν ἐξ Ἡρακλείας ἐπάνοδον ἐπιστρατεύσοντας ἐκείνῳ μετὰ τῆς προσηκούσης ἐπιμελείας καὶ σπουδῆς, καὶ ἀναγκαιοτέραν τὴν εἰς Ἡράκλειαν στρατείαν ἐκ πολλῶν ἀποδεικνύντος, οὐδὲν ἀναγκαιότερον ἔφασαν ἐκεῖνοι τοῦ ἀμύνεσθαι ὑπὲρ τοῦ φόνου τῶν ὁμοφύλων. ὁρῶν δὲ ὁ βασιλεὺς, ὡς μὴ δύναιτο κατέχειν, καὶ τὴν Ῥωμαίων συνεξέπεμπε στρατιὰν, ἅμα μὲν κακώσουσαν τὰ Μομιτζίλου ἤδη φανερῶς ἀφεστηκότος, ἅμα δὲ καὶ περὶ τῶν βαρβάρων δεδοικὼς, μὴ διαφθαρῶσιν ὑπ' ἐκείνου, ἀξιόμαχον στρατόπεδον ἤδη κεκτημένου καὶ πρὸς τόλμαν καὶ εὐψυχίαν οὐδενὸς τῶν τότε λειπομένου. Μομιτζίλος δὲ, ὅπερ ἐγένετο, ὑπωπτευκὼς, ὡς οὐκ ἂν ἀνάσχοιτο τὴν ὕβριν ὁ βασιλεὺς, ἀλλ' ἐπ' αὐτὸν πέμψοι στρατιὰν, τήν τε χώραν συνέστειλεν εἰς τὰς πόλεις καὶ τὰ φρούρια καὶ αὐτὸς παρεσκεύαστο ὡς ἐπὶ μάχην. ὁρῶν δὲ τὴν Περσῶν καὶ Ῥωμαίων στρατιὰν δυνατωτέραν οὖσαν, ἢ ὥστε διακινδυνεύειν πρὸς αὐτὴν, τὸ νῦν μὲν ἔχον ἔγνω ἡσυχάζειν καὶ ἐπὶ λεηλασίαν τρέπεσθαι ἐᾶν, ἀναστρέφουσι δὲ ἐπιτίθεσθαι καὶ βλάπτειν, ἤν τι δύνηται. καὶ τὴν στρατιὰν ἔχων, κατὰ τὸ Περιθεώριον ὑπὸ βασιλίδα ἔτι τελοῦν διέτριβεν ἐλθὼν καὶ τὴν ἀνάζευξιν περιέμενε τῆς στρατιᾶς. βασιλεῖ δὲ τῷ Καντακουζηνῷ ἐν Κουμουτζηνοῖς τὴν ἐπάνοδον τῆς στρατιᾶς καὶ αὐτῷ ἐκδεχομένῳ, ἐδόκει δεῖν προελθεῖν ἐπὶ μικρὸν, εἴ πως ἐγγένοιτο παρὰ

45. Императрица Ана провъзгласява Момчил за деспот. Великият дук Апокавк обсажда крепостта Емпитий

III, 70. Императорът се зарадва, че е отстранил Александър, и се готвеше да нападне жителите на Хераклея, които бяха благоразположени към младия император. Момчил, убеден от цариградчани да почне война срещу императора, като узна, че той е пристигнал в Димотика, нападна Абдера[283], където стоели на котва пристигналите в помощ на императора петнадесет кораба, пратени преди това от Омур. Те се охраняваха от двеста и петдесет перси, а останалите следваха императора. По време на това нападение Момчил изгори три от тях, понеже останалите се спасиха. Нито един персиец не загина. А един човек пристигнал при хората на императора и съобщил, че Момчил при нападението бил изгорил всички кораби и бил избил стражите, като никой не е успял да избяга. Тези[284], които бяха въоръжени, веднага се втурнаха срещу Момчил. Императорът се опита да ги възпре, за да се отправят на поход срещу него със съответната подготовка и бързина, след като се завърна от Хераклея, и доказваше, че походът срещу Хераклея е по-важен от всичко. А те отвърнаха, че няма нищо поважно от това да отмъстят за гибелта на сънародниците си. Императорът видя, че не може да ги обуздае, и изпрати ромейска войска, за да опустоши владенията на Момчил, който вече явно се бе отметнал, а и защото се страхуваше за варварите да не бъдат избити от него, който имаше боеспособна войска и не отстъпваше на никого от тогавашните (военачалници) по храброст и мъжество. А Момчил, като подозираше, че императорът не ще понесе обидата, а ще изпрати войска срещу него, което и стана, събра хората си в градовете и крепостите и сам се приготви за сражение. Като видя, че персийската и византийската войска е по-силна, за да рискува срещу нея, реши в момента да кротува и да ги остави да плячкосват, а когато се завръщат, да ги нападне и ако може, да им навреди. Заедно с войската си пристигна при Перитеорион, който бе още подвластен на императрицата, и изчакваше заминаването на войската. Император Кантакузин, който чакаше завръщането на войската в Комотини[285], реши, че трябва да продължи още малко, за да може да узнае нещо за войската, и του τι περὶ τῆς στρατιᾶς πυθέσθαι. καὶ προῆλθεν ἄχρι πόλιως Μεσήνης παλαιᾶς, ἐκ πολλῶν ἐτῶν κατεσκαμμένης, ὅσον ἑξήκοντα ἔχων ἑπομένους στρατιώτας. ἐκεῖ δὲ τοῦ ἵππου μετὰ τῶν συνόντων ἀποβὰς, σκοποὺς μὲν ἔπεμπε πρότερον φυλάττειν πόῤῥωθεν. νυσταγμῷ δὲ ληφθεὶς, ὕπνωττεν ἐπὶ μικρόν· ὑπνώττοντι δὲ ἠκούετο λέγουσα φωνή· „ἔγειραι ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός." ἀνέστη μὲν οὖν αὐτίκα ὑπὸ τῆς φωνῆς θορυβηθεὶς, καὶ τοῖς παροῦσι διηγεῖτο. ἅμα δὲ καὶ οἱ σκοποὶ ἀπήγγελλον ἐλθόντες, ὡς προσελαύνει στρατιά· ἀκριβῶς δὲ οὐκ εἶχον εἰδέναι ὅθεν εἴη. βασιλεὺς δὲ καὶ οἱ περὶ αὐτὸν ᾠήθησαν μὲν εἶναι τὴν οἰκείαν, ὑποστρέφουσαν ἐκ τῆς λεηλασίας, ὅμως ὑπὸ τῆς κατὰ τοὺς ὕπνους τεθορυβημένος φωνῆς, τούς τε νεμομένους ἵππους ἐκεῖ τῆς στρατιᾶς ἐκέλευε τοὺς νομέας ἀπάγειν εἰς Κουμουτζηνὰ, καὶ Μανουὴλ τὸν Ταρχανειώτην ἐκ τῶν παρόντων ὀλίγους ἐκέλευεν ἀπολεξάμενον, εὐθὺ τῆς ἐρχομένης στρατιᾶς χωρεῖν καὶ κατασκέπτεσθαι ὅθεν εἴη· αὐτὸς δὲ ἀνελάμβανε τὰ ὅπλα μετὰ τῶν συνόντων. οὔπω δὲ ὡπλισμένων παντελῶς, τεθορυβημένος ἐπανῆκεν ὁ Ταρχανειώτης, πολεμίους εἶναι φάσκων τοὺς ἐπιόντας. οὔπω δὲ πᾶν εἴρητο ἔπος, καὶ οἱ πολέμιοι παρῆσαν. ἦν δὲ ὁ Μομιτζίλος, χιλίους ἄγων ἐπιλέκτους, παρά τινων κατασκόπων, οὓς ἔπεμψεν αὐτὸς, περὶ βασιλέως πεπυσμένος, ὅτι ἐν Μεσήνῃ τὸ νῦν ἔχον διατρίβει. ἦν γὰρ ὀλίγον ἐν ᾧ διεῖχε Περιθεώριον Μεσήνης. βασιλεὺς μὲν οὖν τοὺς περὶ αὐτὸν συναγαγὼν, ἐβάδιζεν εὐτάκτως διὰ Μεσήνης τὴν ἄγουσαν εἰς Κουμουτζηνά. ὁρῶν δὲ ὁ Μομιτζίλος οὐκ εὐθὺς ἐπὶ φυγὴν τραπέντας, ἀλλὰ βάδην καὶ τεταγμένως ἀπιόντας, ἔδεισε μὴ, τινων ἐνεδρευόντων ἐν τοῖς ἐρειπίοις τῆς πόλεως, τροπὴ γένηται περὶ αὐτὸν, ἀτάκτοις καὶ διεσκεδασμένοις ἀθρόον ἐπελθόντων, καὶ συνεῖχε καὶ αὐτὸς τὴν στρατιὰν σχολαίως πορευομένην ἐν λόχοις τρισίν. ἐπεὶ δὲ βασιλεὺς καὶ οἱ περὶ αὐτὸν ἔξω τῶν ἐρειπίων ἦσαν καὶ ἐνέδρας ὑποψία οὐδεμία ἦν, ἤλαυνον οἱ περὶ Μομιτζίλον ἐπ' ἐκείνους ἀκρατῶς. τραπομένων δὲ ἁπάντων εἰς φυγὴν, ἐπεὶ οἱ προδραμόντες τῶν πολεμίων ἐγγὺς ἦσαν βασιλέως, (τῶν ἄλλων γὰρ αὐτὸς τελευταῖος ὑπελείπετο,) συστραφεὶς ἠμύνετο τοῖς πρώτως φθάσασι, καὶ ἔπιπτεν ὁ βασιλέως ἵππος τοῖς πολεμίοις συμβαλόντος. τῶν οἰκετῶν δὲ εἷς παρὼν, Λαντζαρέτος ὄνομα, τοῦ ἵππου ἀποβὰς, παρείχετο τὸν ἵππον βασιλεῖ, ἅμα δὲ καὶ συνήρατο ἐπιβῆναι. ἐπιβαίνοντα δὲ ξίφει τις ἔπληξεν ἐπιστὰς κατὰ τῆς κεφαλῆς, ἔβλαπτε δὲ οὐδὲν, τοῦ κράνους πρὸς τὴν πλη-

---

[283] Старогръцката колония Абдера, която византийците нарекли Полистилон, намираща се на нос Булустра бурун в Лагоския залив. [284] Тези, т.е. турците. [285] Комотини, сиреч днешна Гюмюрджина.

следван от около шестдесет войници, стигна до стария град Месина[286], разрушен отдавна. Той и придружаващите го слязоха от конете, като преди това изпратиха съгледвачи да наблюдават отдалеч. Но обвзет от дрямка, той заспал за малко. На сън чул глас да му казва: „Събуди се ти, който спиш, и стани от мъртвите и Христос ще те просвети." Той стана веднага, смутен от гласа, и разказа (това) на присъствуващите. Същевременно и съгледвачите пристигнаха и известиха, че приближава войска, но те не видели точно откъде идва. Императорът и хората му смятаха, че собствената му войска се връща от грабеж, но смутен от гласа, който му се явил на сън, нареди пастирите да отведат в Комотина конете на войската, които пасели, и заповяда на Михаил Тарханиот да вземе неколцина от присъствуващите и да отиде веднага срещу идващата войска, за да разбере откъде иде. Сам заедно с хората си грабна оръжието. Но още не се бяха въоръжили и Тарханиот се върна смутен и съобщи, че настъпващите са неприятели. Още не свърши и неприятелите дойдоха. Това бе Момчил с хиляда отбрани войници. Той се научил от съгледвачите си, които сам изпратил, че императорът се намира в настоящия момент в Месина. Защото Перитеорион отстои недалеч от Месина. Императорът събра хората около себе си и в боен ред се устреми през Месина към Комотини. Момчил, като видя, че те не побягнаха изведнъж, но заминаха бавно и в боен ред, уплаши се да не настане смут около него и да ги нападнат изведнъж неподредени и разпръснати, ако са останали в засада в развалините на града. Затова той събра войската си, която бавно потегли в три отряда. Когато императорът и хората около него бяха извън развалините (на града) и нямаше никакво подозрение за засада, хората на Момчил се нахвърлиха неудържимо върху тях. След като всички се втурнаха да бягат, тия от неприятелите, които бяха изтичали напред, се намериха близо до императора (защото той бе останал последен от другите). Той се защищаваше заобиколен с тия, които бяха успели да се притекат първи. И когато императорът влезе в бой с неприятелите, конят му бе убит. Един от приближените на императора, който беше там, по име Ландзарет, слезе от коня си и го даде на императора, като същевременно му помогна да се качи. Когато се качваше на коня, някой се приближи и го удари с меч по главата, без да му навреди нещо, γὴν γενναίως ἀντισχόντος. ἐξ ἐκείνου δὲ διὰ πάσης ἀμυνόμενος τῆς ὁδοῦ καὶ πλήττων καὶ πληττόμενος, (παρῆλθον γὰρ αὐτὸν πολλοὶ τῶν πολεμίων,) ἦλθεν εἰς Κουμουτζηνά, παραδόξως διασωθείς, Λαντζαρέτον δὲ ξίφεσι καὶ δόρασι κατατραυματίσαντες καὶ νομίσαντες ἀπεκτονέναι, (δεκάκις γὰρ ἐτραυμάτισαν πρὸς τοῖς ὀκτώ,) ἀπέλιπον ἐμπνέοντα. βασιλεὺς μὲν οὖν οὕτως ἐκ τοῦ τοσούτου κινδύνου, μηδενὸς ἂν προσδοκήσαντος, διεσώζετο, καὶ ὁ Μομιτζίλος οὐδὲ βραχὺ προσμείνας ἀνεχώρει. Λαντζαρέτον δὲ πέμψας ὁ βασιλεὺς ἤγαγεν εἰς Κουμουτζηνὰ ἐμπνέοντα ἔτι· καὶ πολλῆς ἀξιωθεὶς ἐπιμελείας, ἐν ὀλίγῳ χρόνῳ ὑγιής τε καὶ σῶος αὖθις ἦν, μηδὲν τῶν μελῶν ὑπὸ τῶν πληγῶν ἀποβαλών, πολλῆς τε εὐμενείας καὶ τιμῆς ἀπέλαυε παρὰ βασιλέως, καὶ μειζόνων, ἢ ἐτύγχανε, δοκῶν εἶναι ἀξιώτερος διὰ τὴν ἐπιδεδειγμένην πρὸς ἐκεῖνον εὔνοιαν. ἔπεσον δὲ καὶ τῶν ἄλλων τέτταρες, ὧν εἷς ὁ Βρυέννιος Μιχαὴλ ἦν, ᾧ πεσεῖν μαχόμενον ἔμπροσθεν βασιλέως ὁ Διδυμοτείχου ἀρχιερεὺς πολλῷ χρόνῳ πρότερον προεῖπεν· ἑάλωσαν δὲ καὶ ἕτεροι τοσοῦτοι. Μομιτζίλος δὲ μετὰ μικρόν, τῆς αὐτῷ ἐπελθούσης στρατιᾶς ἀνακεχωρηκυίας, τῶν ἑαλωκότων δύο, τόν τε Ἀπελμενὲ καὶ Θεόδωρον τὸν Καβαλλάριον, πρὸς βασιλίδα τὴν Ἄνναν πέμψας, μισθοὺς ᾔτει τῆς συμμαχίας καὶ τῆς πρὸς τὸν πολέμιον, αὐτῷ γεγενημένης μάχης. ἡ δὲ ἀσμένως τε ἐδέχετο τὴν αἴτησιν καὶ δεσπότην ἀπεδείκνυ. πρεσβείαν δὲ καὶ πρὸς βασιλέα πέμψας ἐδεῖτο τυχεῖν συγγνώμης, ἀγνώμων οὕτω φανεὶς καὶ κακῶς ἀμειψάμενος τὸν εὐεργέτην· ἐπηγγέλλετό τε μηδὲν ἀγνωμονήσειν ἔτι. βασιλεὺς δὲ τό,τε τιμωρεῖσθαι ὡς ἀμήχανον ὁρῶν καὶ τὸ πολέμιον ἔχειν Μομιτζίλον βλάπτειν δυνάμενον ὡς ἀλυσιτελὲς, διηλλάττετό τε καὶ παρείχετο συγγνώμην, προσήκοντα ὑπομένων τῷ καιρῷ. πεπυσμένος δὲ αὐτὸν καὶ παρὰ βασιλίδος δεσπότην γεγονέναι, τὴν σεβαστοκράτορος αὐτὸς παρείχετο ἀξίαν, καὶ ἔδοξε τὰ τούτου μᾶλλον ἢ τὰ βασιλίδος προελέσθαι, καὶ ἔστεργε τὸ ὑπὸ βασιλεῖ τετάχθαι δῆθεν ἐπ' ὀλίγον χρόνον. τοῦ χρόνου δὲ ἐν τούτοις παρῳχηκότος, ὃν οἱ βάρβαροι ἐπηγγείλαντο συμμαχήσειν βασιλεῖ, ἐμέμνηντο ἐπανόδου. βασιλεὺς δὲ καὶ αὖθις ἐπεχείρει συνεῖναι πείθειν· μὴ πειθομένους δὲ ἀπέλυε, καὶ ἐπεραιοῦντο εἰς Ἀσίαν δι' Ἑλλησπόντου.

---

[286] Месина, днес развалини до Гюмюрджина.

(II, pp. 427_{22}—432_{19})

понеже здравият шлем издържа на удара. После той се бранеше през целия път, като нанасяше и получаваше удари (защото мнозина неприятели бяха връхлетели върху него) и така пристигна в Комотини, спасен като по чудо. (Неприятелите) след като нараниха Ландзарет с мечове и копия и сметнаха, че са го убили (защото го раниха на осемнадесет места), оставиха го полужив. Така, без някой да очаква, императорът се спаси от толкова голяма опасност, а Момчил незабавно се върна. Императорът проводи за Ландзарет и го заведе в Комотини още дишащ. Той беше удостоен с големи грижи и за кратко време се възстанови и оздравя, без да загуби каквато и да е част от тялото си в резултат на ударите. Той бе удостоен от императора с голямо внимание и почит и изглеждаше, че заслужава поголеми почести, отколкото бе получил, поради провеното към императора благоразположение. От останалите загинаха четирима. Един от тях бе Михаил Вриений, комуто архиереят на Димотика много преди това предсказа, че ще загине, сражавайки се пред императора. А Момчил след малко, когато нападналата го войска се върна, проводи двама от пленниците, Апелмене и Теодор Кавалармй, при императрица Ана и искаше възнаграждение за съюза и за участието си в битката срещу неприятеля. Тя радостно прие молбата и го провъзгласи за деспот[287]. Той проводи пратеничество и при императора и го молеше да му прости, понеже се показал неблагодарен и се отблагодарил лошо на благодетеля си. Съобщи му, че вече не ще действува необмислено. Императорът, като видя, че е безсмислено да отмъщава тогава и че е безполезно да има Момчил за враг, който може да вреди, помири се и му прости, изчаквайки удобния момент. След като научи, че той е провъзглаесн от императрицата за деспот, сам го удостои с титлата севастократор[288]. (Момчил) реши, че е удостоен от него повече, отколкото от императрицата и, разбира се, желаеше да бъде за кратко време от страната на императора. Междувременно, като изтече времето, през което варварите бяха обещали, че ще помагат на императора, те напомниха, че ще се върнат. Императорът отново се зае да ги убеждава да останат, но те не се съгласиха. Той ги пусна и те преминаха през Хелеспонта в Азия.

---

[287] Деспот, титла. От XII в. нататък във Византия тази титла се давала на лицето, което по ранг стояло непосредствено след императора. [288] Севастократор, титла, която била въведена от византийския император Алексий I Комнин (1081—1118), се давала на роднини на императора или на доверени нему лица. вж. Bréhier, op. cit., p. 139. — Острогорски, пос. съч., с. 346.

III, 71. *Καὶ βασιλεὺς ὁ νέος Παλαιολόγος ἐνόσησεν ἐν τούτῳ τῷ χρόνῳ κατὰ τὴν Ἡράκλειαν νόσημα δεινὸν, ὃν ἔχων ὁ πατριάρχης μετά τινων συγκλητικῶν εἰς Βυζάντιον ἀνέστρεψεν. Ἀπόκαυκος δὲ ὁ μέγας δοὺξ μετὰ τῆς στρατιᾶς ὑπελείπετο αὐτοκράτωρ στρατηγὸς, καὶ παρεσκευάζετο, ὡς τοῖς κατὰ Διδυμότειχον ἐπιθησόμενος. ἐπύθετο γὰρ Καντακουζηνοῦ τοῦ βασιλέως ἀποχωρῆσαν τὸ Περσικόν· ἅμα δὲ καὶ ὁ τῶν Μυσῶν βασιλεὺς ὑπέσχετο συμμαχήσειν τὰς πρὸς βασιλέα διαλύσας σπονδὰς, καὶ ἔπεμπε μετ᾽ οὐ πολὺ τὴν συμμαχίαν. βασιλεὺς δὲ τῶν γιγνομένων ἀγνοῶν οὐδὲν, ὡς ἐνῆν καὶ αὐτὸς πρὸς τὴν ἔφοδον παρεσκευάζετο, καὶ Ματθαῖον μὲν τὸν υἱὸν ἐπὶ τῆς Χαλκιδικῆς καταλιπὼν μετὰ στρατιᾶς ὅσης ᾤετο ἀρκέσειν, εἴ τινες αὐτῷ ἐπίοιεν, Ἰωάννην δὲ Ἀσάνην τὸν γυναικὸς ἀδελφὸν τοῖς ἐν Μόῤῥᾳ προσχωρήσασι πολιχνίοις ἄρχοντα ἐπιστήσας καὶ φρουρὰς ἀφεὶς, αὐτὸς εἰς Διδυμότειχον μετὰ τῶν ἐπιλοίπων ἐπανῆκε. δοὺξ δὲ ὁ μέγας, σύμπασαν ἔχων τὴν Ῥωμαίων στρατιὰν, ἐξ Ἡρακλείας εἰς Ἐμπυθίου τὸ φρούριον ἧκε, καὶ περιστρατοπεδευσάμενος ἐπολιόρκει, καὶ τειχομαχίας ἐποιεῖτο καὶ προσῆγε μηχανάς. ἐν αἷς πολλοὶ τῶν ἔξωθεν μαχομένων ἔπιπτον· ἦν γὰρ καρτερώτατον τὸ φρούριον ἐκ τῶν τειχῶν τῆς κατασκευῆς. ὁρῶν δὲ ὡς οὐκ ἂν εἴη βίᾳ ἁλωτὸν, ἀπεγίνωσκε καὶ τὴν πολιορκίαν. τῶν γὰρ ἐπιτηδείων οἱ πολιορκούμενοι εὐπόρουν. τούτων δὲ πραττομένων, καὶ ὁ Μομιτζίλος αὖθις ἐπολέμησε πρὸς βασιλέα καὶ τὰς ἐν Χαλκιδικῇ ἐκάκου πόλεις, ὅσα δυνατὰ, τὴν ἐκ βασιλίδος προελόμενος ἀξίαν καὶ δεσπότην ἑαυτὸν προσαγορεύσας. ὁ μέγας δὲ δοὺξ πέμψας πρὸς βασιλέα τὸν Συναδηνὸν πρεσβευτὴν, ὃς πρότερον καὶ Βεῤῥοίᾳ ἐνδιατρίβοντι ἐπέμφθη, ἐμήνυεν, ὡς, εἰ καὶ δοκοίη πολιορκεῖν καὶ τειχομαχίας ποιεῖσθαι πρὸς τὸ Ἐμπυθίου φρούριον, ἀλλ᾽ οὐ βούλεσθαι λαβεῖν, ἔτι τῆς ἀρχαίας εὐνοίας ἴχνη ἀποσώζων· βουλομένῳ γὰρ ῥᾷστα ἂν ἡλίσκετο. νυνὶ δὲ βούλεσθαι αὐτῷ συγγίνεσθαι καὶ περί τινων διαλέγεσθαι ἀποῤῥήτων, ὧν οὐκ ἔξεστι χρήσασθαι ἑτέροις μηνυταῖς, εἴγε καὶ αὐτῷ βέλτιον δοκοίη. τὸ μὲν οὖν οὕτως, ὡς ἔχει, βασιλικῶς ἐσκευασμένῳ συντυχεῖν, οὐ ῥᾴδιον αὐτῷ· τὸ δ᾽ αὖθις ἰδιωτικὴν μεταλαβεῖν ἐσθῆτα, οὐκ ἂν αὐτὸν οἴεσθαι βουλήσεσθαι. περὶ ὧν σκέπτεσθαι ἐδήλου ὅπως ἑκάτερα ἔσται. βασιλεὺς δὲ πρὸς τὰ τοιαῦτα πλάσματα ἀχθεσθεὶς ἀντεμήνυεν, ὡς οὐ δέον πρὸς αὐτὸν ἐπιπλεῖον ψεύδεσι χρῆσθαι καὶ ἀπάταις· πεῖραν γὰρ αὐτοῦ ἤδη ἐσχηκέναι ἐν πολλοῖς, ὅθεν καὶ παντάπασιν ἀπιστεῖν· ἀλλ᾽ εἰ μᾶλλον δύναιτο ἑλεῖν τὸ φρούριον, μὴ ἀμε-*

III, 71. По същото време младият император Палеолог[289] заболя от тежка болест около Хераклея и патриархът го отведе във Византион с неколцина знатни. А великият дук Апокавк остана с войската като стратег автократор[290] и се приготвяше, за да нападне Димотика. Той разбра, че персийската войска е напуснала император Кантакузин. Същевременно царят на мизите развали договора с императора[291] и обеща, че ще помага. Не след много той прати помощта. Императорът, доколкото можеше, сам се готвеше за похода. Той остави сина си Матей в Халкидика с войска, колкото смяташе, че ще бъде достатъчна, ако някои го нападнат. А брата на жена си Йоан Асен постави за архонт на градчетата в Мора, минали доброволно на негова страна. Той остави и гарнизон, а сам с останалите се върна в Димотика. А великият дук заедно с цялата ромейска войска от Хераклея пристигна в крепостта Емпитий.[292] Той се разположи на лагер наоколо и започна да я обсажда, докара машини и се готвеше да щурмува стените. Мнозина от сражаващите се загинаха извън стените. Понеже видя, че бе невъзможно да я превземе със сила, той се отказа от обсадата. Защото обсадените имаха всичко необходимо. Когато ставаха тия неща, и Момчил, който бе удостоен от императрицата и се нарече деспот, почна веднага война срещу императора и опустошаваше градовете в Халкидика, колкото бе възможно. А великият дук проводи при императора пратеника Синадин, който и преди това бе пращан във Вероя при него, и му известяваше, че макар и да е решил да обсажда и да извършва нападения срещу стените на крепостта Емпитий, не желаел да я превземе, тъй като той все още пазел отдавнашното си благоразположение. Защото ако искал, лесно би я превзел. А сега желаел да се срещне с него и да разговаря за някои тайни, за които не е възможно да си послужи с други вестители, стига и той да желаел така. Не му било лесно да се срещне с императора, облечен по царски: а не смятал, че и той щял да иска отново да да се облече в цивилно облекло. Затова съобщаваше, че обмислял и двата случая. Императорът, разсърден от тия хитрини, отговори от своя страна, че той не трябва повече да си служи с лъжи и хитрости. Защото в много случаи е разбрал характера му и затова изобщо не му вярвал. Но ако все пак би могъл да вземе крепостта, да не пропускал случая. Защото не ще да е взел λεῖν. οὐ γὰρ ἂν εἴη λυσιτελῶς βεβουλευμένος τῇ ἀρχῇ, εἰ, παρὸν τοὺς πολεμίους βλάπτειν, ἀπόσχοιτο ἑκών. ἀλλ' οὐκ ἂν οἴεσθαι τοῖς συνοῦσι φίλον εἶναι τὸ τειχομαχεῖν, πολλοῖς ὁσημέραι ἀποθνήσκουσιν. ὅτι δὲ βουλομένῳ συντυχεῖν οὐ ῥᾴδιόν ἐστιν ὁρᾷν βασιλικῶς ἐσκευασμένον, καὶ αὐτὸν εἰδέναι μάλιστα· οὐδὲ γὰρ οὐδὲ τοῖς ὀφθαλμιῶσιν εὔκολον πρὸς ἥλιον ἀτενίζειν, ἀλλ' ὁ ζόφος ἡδὺ καὶ τὸ καμμύειν τοὺς ὀφθαλμοὺς ἀδυνάτως ἔχουσιν ὁρᾷν τὸ φῶς. τοῦ δὲ μάλιστα ἐν ἐπιθυμίᾳ εἶναι τῆς εἰρήνης, ὁρῶντα τὰς περισχούσας τοὺς Ῥωμαίους συμφοράς, οἴεσθαι δὲ μὴ πρὸς μηδὲν τὴν συντυχίαν φέρειν ἄλλο τὴν αὐτῶν, ἐπίνοιάν τινα ἐξευρήσειν, δι' ἧς αὐτός τε οὐκ ὄψεται αὐτὸν βασιλικῶς ἐσκευασμένον, καὶ αὐτὸς οὐδὲν ἧττον ἢ πρότερον ἔσται βασιλεύς. ταύτην δὲ εἶναι τὸ καταφράκτους ἀλλήλοις συντυχεῖν, ὥστε τοῖς ποσὶ μὲν κνημῖδας περικεῖσθαι, κράνει δὲ τὴν κεφαλὴν περικαλύπτειν, καὶ τὸ ἄλλο εἶναι ὡπλισμένον σῶμα, ὥστε ἀγνοεῖσθαι εἴτε βασιλικὴν ἐσθῆτα εἴσω ἔχει, ἢ ἰδιωτικήν. ἐπῄνει μὲν οὖν ὁ μέγας δοὺξ τὴν γνώμην, καὶ ἐπηγγέλλετο ποιήσειν κατὰ τὰ συντεθειμένα. ἐν τούτῳ δὲ τῷ χρόνῳ καὶ πρωτοστράτωρ ὁ γαμβρὸς ἀπεπνίγη πρὸς τῷ Ἕβρῳ πολιορκοῦσι τὸ Ἐμπυθίου φρούριον. κατὰ γὰρ μεσημβρίαν, θέρους ἤδη λήγοντος, διανηχόμενος τὸν ποταμὸν ἐν παιδιαῖς, ἀπεπνίγη τῷ ῥεύματι συναρπασθείς. μεγίστην μὲν οὖν ἐνόμισε συμφορὰν τοῦ γαμβροῦ τὴν τελευτὴν καὶ ἐπένθησεν ἐφ' ἱκανόν. ὀλίγῳ δὲ ὕστερον ἀναστήσας τὴν στρατιάν, ἐπορεύετο εἰς Διδυμότειχον. πρὶν δὲ ἐγγὺς εἶναι, τὸν Μάκρης ἀρχιερέα πρὸς βασιλέα πέμψας, ἐδήλου, ὅτι ἀφίξοιτο μετὰ μικρὸν οὐ μᾶλλον πολέμιος, ἢ φίλος καὶ διαλεξόμενος περὶ ὧν πρότερον μηνύσειεν. ἔπεμπέ τε καὶ κηρὸν ἐσφραγισμένον τῷ βασιλέως δακτυλίῳ, ὃν εἶχεν ἀφελόμενος αὐτὸς μετὰ τῶν ἄλλων ἐν τῷ τοῦ πολέμου χρόνῳ, ὥσπερ τι ἐνέχυρον ἐκεχειρίας καὶ ἀνακωχῆς πολέμου. βασιλεὺς δὲ ἀληθεύειν ἐκεῖνον οἰηθείς, ὡπλίσατο μέν, ὥσπερ ἦν συντεθειμένον, καὶ περιέμενε τὴν ἐκείνου συντυχίαν, ὀλίγους τινὰς ἔξω καταλιπών, τῆς δ' ἄλλης στρατιᾶς μηδένα τειχῶν ἐκέλευεν ἔξω εἶναι, δεδιὼς μὴ παρά τινός τι τῶν νεωτέρων τολμηθῇ καὶ πρόφασις γένοιτο τοῦ μὴ τὸν πόλεμον καταλυθῆναι. ὁ μέγας δὲ δοὺξ, πρὶν τῆς πόλεως ἐγγὺς ἐλθεῖν, τῶν περὶ αὐτὸν τοξότας τινὰς πέμψας, εἶτα καὶ τὴν ἄλλην στρατιάν, ἐκέλευε τοῖς κατὰ τὸ Διδυμότειχον ἐπιέναι. οἱ δὲ ἐπέκειντο ἀθρόον καὶ ἔβαλλον συχνοῖς τοῖς βέλεσιν, ἔπειτα καὶ πῦρ ἐνίεσαν ἐν ταῖς οἰκίαις ταῖς πρὸ τῆς πόλεως. ἐπεὶ δὲ ἐκεῖνοι μάχης ἦρχον, καὶ οἱ ἐκ Διδυμοτείχου ἠμύνοντο ἐξελθόντες καὶ τραυματίας ἀπο-

---

[289] Йоан V Палеолог. [290] Стратег автократор, т.е. висш военачалник. [291] С императора, т.е. с Йоан Кантакузин. [292] Емпитий, крепост до Димотика.

полезно решение за империята, ако доброволно се откажел, когато имал възможност да навреди на неприятелите. Но и не би смятал, че е приятно за хората му да нападат крепостта, когато ежедневно мнозина от тях загиват. А дето нему, който желаел да се срещне с императора, не му било лесно да го вижда облечен по царски, и сам той (Кантакузин) знаел твърде добре. Защото не било приятно за хора с повредени очи да гледат втренчено слънцето, а за тях е приятна тъмнината и било невъзможно затворените очи да виждат светлината. Но виждайки нещастията, които били обхванали ромеите отвсякъде, той твърде много желаел мира, но смятал, че срещата им води само към това, че ще намерят някакъв начин, по който той не щял да го вижда облечен по царски, но (все пак) щял да бъде не по-малко император, отколкото преди. Този начин бил да се срещнат облечени в броня, с наколенници на краката, с шлемове на главите и цялото тяло да бъде защитено, за да не се знае дали има царско облекло или цивилно. Великият дук благодари за съвета и обеща, че ще извърши всичко според уговорката. По това време протостраторът, неговият зет, се удави в Хеброс при обсадата на крепостта Емпитий. По пладне, когато премина жегата, плувайки през реката за удоволствие, той се удави, грабнат от течението. Той смяташе смъртта на зетя си за най-голямо нещастие и скърбеше много. А малко по-късно вдигна войската и тръгна за Димотика. Преди да приближи, проводи архиерея на Макри при императора и известяваше, че ще пристигне след малко вече не като неприятел, а като приятел, и ще разговаря за това, което по-рано бе съобщил. Той изпрати и писмо, затворено с восък и подпечатано с императорски пръстен като знак за примирие и прекратяване на войната. А императорът, като сметна, че той говори истината, въоръжи се, както бе уговорено, и изчакваше пристигането му, оставяйки неколцина (войници) навън. Той заповяда никой от останалите войници да не остава извън стените, като се страхуваше да не бъде подтикнат от някого към нещо лошо и да стане причина войната да не се прекрати. А великият дук, преди да приближи града, проводи неколцина свои стрелци, а след това и цялата войска и заповяда да нападнат димотичани. Те нападнаха дружно и стреляха непрекъснато със стрели, а след това хвърлиха огън върху къщите пред града. Когато те започнаха да се сражават и димотичани излязоха да се бранят и като нараниха мнозина, отблъсδείξαντες πολλούς, ἀπεσκευάσαντο· μηδὲν πλέον δυνηθέντας. βασιλεὺς δὲ τὸν Μάκρης ἀρχιερέα πρὸς τὸν μέγαν δοῦκα αὖθις πέμψας, ὠνείδιζεν αὐτῷ τὴν φίλην πανουργίαν καὶ τὸ ψεῦδος· ἐκεῖνος δὲ ἐπεὶ τῆς ἀπάτης ἀπώνατο οὐδὲν, μετὰ μέσην ἡμέραν ἐκεῖθεν ἀνεχώρει καὶ ηὐλίσατο τὴν νύκτα οὐ μακράν. εἰς τὴν ὑστεραίαν δὲ, τοὺς ἱππέας αὐτὸς ἔχων καὶ τὸ ὁπλιτικὸν καὶ τὸ ψιλὸν, ἐχώρει κατὰ Μόῤῥας καὶ ἐκάκωσε τὰ μέγιστα τὴν χώραν πάντα πυρὶ παραδιδούς· τῶν πολιχνίων δὲ ἴσχυσεν οὐδενὸς περιγενέσθαι, φρουροῖς ὑπὸ βασιλέως πάντων κατεχομένων, ἐκεῖθεν δὲ εἰς Βυζάντιον ἀνεχώρει. Μομιτζίλος δὲ ἐκ τοῦ πρὸς ἀλλήλους τῶν Ῥωμαίων πολέμου ηὐξημένος καὶ μέγας ἤδη γεγενημένος καὶ νομίσας ἑαυτῷ ἀρκεῖν πρὸς τὸ συστήσασθαι ἡγεμονίαν ἰδίᾳ, ὁμοίως Καντακουζηνοῦ τε ἀφίστατο τοῦ βασιλέως καὶ Ἄννης τῆς βασιλίδος, καίτοι τὰ παρ' ἐκείνης πεμφθέντα τοῦ δεσπότου ἐπίσημα ἠμφιεσμένος, καὶ ὁμοίως ἑκατέροις ἐπολέμει, καὶ πόλεις καὶ κώμας ὑπεποιεῖτο. μάλιστα δὲ Ματθαίῳ λυπηρὸς ἦν τῷ βασιλέως υἱῷ, ἐπεκδρομὰς καὶ λεηλασίας ποιούμενος συχνάς. ἤθροισε γὰρ ἱππέας τετρακισχιλίων ὀλίγῳ ἐλάσσους, πάντας ἀριστίνδην ἐξειλεγμένους, καὶ ἀνυπόστατός τις ἐδόκει εἶναι διά τε εὐψυχίαν καὶ τὴν αὐτοφυῆ τῶν χωρίων ὀχυρότητα, ὧν ἦρχεν.

(II, pp. 432_{20}—437_{3})

наха ги, без те да могат да направят нещо повече. Императорът отново проводи архиерея на Макри при великия дук и порица обичайното му лукавство и измамата. А Апокавк, като не постигна нищо с измамата, по средата на деня се върна оттам и пренощува недалеч. А на следния ден потеглил заедно с конниците, тежко и лековъоръжените войници, срещу Мора и опустоши твърде много земята, като опожари всичко. Без да завладее нито едно от градчетата, понеже императорът бе поставил в тях гарнизони, той се върна оттам във Византион. А Момчил се издигна и стана вече велик поради гражданската война сред ромеите и като сметна, че е достатъчно силен да образува свое царство, едновременно се отметна от император Кантакузин и от императрица Ана, макар че бе удостоен от нея с титлата деспот. Той воюваше едновременно и с двете страни и си подчини градове и села. Най-много бе безпощаден към сина на императора Матей, като го нападаше и вършеше постоянни грабежи. Той беше събрал близо четири хиляди конници, всички подбрани по храброст, и изглеждаше, че е непобедим поради храбростта си и природната защитеност на местата, които владееше.

46. Oppida imperii in ditionem Bulgarorum ac Serborumque veniunt

III 72. Οἱ ἐν Βυζαντίῳ δὲ μετὰ τὸν μέγαν δοῦκα τῶν πραγμάτων ἔφοροι, ὁρῶντες ἤδη τὴν τῶν Ῥωμαίων κινδυνεύουσαν ἡγεμονίαν καὶ διῃρημένην εἰς μυρία τμήματα, καὶ πόλεις μὲν μεγάλας καὶ πολλὰς ὑπὸ Μυσοῖς καὶ Τριβαλοῖς γεγενημένας, Θρᾴκην δὲ πᾶσαν ἀνδραποδισθεῖσαν ὑπὸ τῶν Περσῶν, καὶ πόλεις μόνας περιλειπομένας, καὶ αὐτὰς οὐδαμῶς ἐπιεικέστερα τῶν ἐν ταῖς κώμαις προσδοκώσας πείσεσθαι, καὶ ἐν δεινῷ τὴν τηλικαύτην συμφορὰν τιθέμενοι, οὐκέτι ἀνεκτὸν ἡγοῦντο, ἀλλὰ βασιλίδι συνεβούλευον σπονδὰς τίθεσθαι καὶ εἰρήνην πρὸς Καντακουζηνὸν τὸν βασιλέα.

(II, p. 437_{9-18})

46. Византийски градове минават под властта на българи и сърби

III, 72. Ефорите[293] след великия дук във Византион виждаха, че ромейската държава се намира в опасност, че е разделена на хиляди части, че големи и много градове са изпаднали под властта на мизи и трибали, че цяла Тракия е оплячкосана от персите и че са останали градове, за които предполагаха, че и те ще пострадат не по-малко от жителите в селата. Затова те изпаднаха в толкова тежко затруднение, че смятаха положението за непоносимо, съветваха императрицата да сключи договор и мир с император Кантакузин. . .

47. De morte Momitzili

III, 86. Ἀμοὺρ δὲ ὁ σατράπης Ἰωνίας αὖθις μὲν ἐβούλετο πρὸς βασιλέα κατὰ τὴν ὑπόσχεσιν ἐλθεῖν, εἶχε δὲ ἀδυνάτως. τό, τε γὰρ αὐτοῦ κατὰ τὴν Σμύρνην νεώριον ἐνέπρησαν οἱ Λατῖνοι καὶ τὰς ναῦς, καὶ τὸ πρὸς τῷ λιμένι φρούριον κατασχόντες, τριήρεις τε ἔχοντες ἐκεῖ παραπλεούσας, ἐκώλυον

47. За смъртта на Момчил

III, 86. Омур[294], сатрапът на Йония, отново искаше според обещанието си да дойде при императора, но му бе невъзможно. Защото латините[295] бяха изгорили корабостроителницата и корабите му в Смирна и като завзеха крепостта в залива, плуваха наоколо с триери и пречеха да

---

[293] Ефори, византийски сановници. [294] Омур, селджукски емир в Мала Азия, съюзник на Йоан Кантакузин. За него вж. Острогорски, пос. съч., с. 482—484. [295] Латините, т.е. генуезците.

στόλον ἐξαρτύειν καὶ ταῖς ναυσὶ πρὸς Θρᾴκην περαιοῦν τὴν στρατιάν. ἐκ τε τῆς ἠπείρου δίοδος αὐτῷ οὐκ ἦν πρὸς τὸν Ἑλλήσποντον, Σαρχάνη τοῦ Λυδίας σατράπου περί τινων ὅρων γῆς ἐκπεπολεμωμένου πρὸς αὐτὸν καὶ μέλλοντος κωλύειν, εἰ διὰ τῆς αὐτοῦ πρὸς Ἑλλήσποντον ἔρχεσθαι ἐπιχειροίη. ὅθεν διὰ τὴν πρὸς βασιλέα ἄφιξιν ἀναγκαίαν αὐτῷ νομιζομένην, ἔγνω δεῖν πρεσβείαν ποιεῖσθαι πρὸς Σαρχάνην, καὶ παραχωρεῖν αὐτῷ τῆς χώρας ὑπὲρ ἧς ἦν αὐτοῖς ἡ διαφορά, εἰ μόνον πρὸς Ἑλλήσποντον δίοδον παρέχοιτο. Σαρχάνης δὲ ἄσμενός τε ἐδέχετο τὴν πρεσβείαν, καὶ τὴν χώραν ἔχων, φίλος τε ἦν Ἀμοὺρ, καὶ τὴν δίοδον ἀδεῶς παρείχετο, ἅμα δὲ καὶ τὸν υἱὸν συστρατευσόμενον αὐτῷ πρὸς βασιλέα μετὰ στρατιᾶς. καὶ πρὸς Ἑλλήσποντον ἐλθόντες, ἐπεραιοῦντο πρὸς τὴν Θρᾴκην ἱππέας δισμυρίους ἔχοντες· αὐτίκα τε εἰς Διδυμότειχον ἀφίκοντο πρὸς βασιλέα, φέροντες καὶ δῶρα. Ἀμοὺρ δὲ ἐδεῖτο βασιλέως μὴ μέλλειν, ἀλλὰ χωρεῖν κατὰ τοῦ Μομιτζίλου. ἐμήνιε γὰρ ὁ βάρβαρος ἐς τὰ μάλιστα ἐκείνῳ τῶν κατὰ βασιλέως ἕνεκα τετολμημένων. ἐπεὶ δὲ ἀπαράσκευος ἦν ἡ Ῥωμαίων στρατιὰ, κατὰ Μυσίας τὸ βαρβαρικὸν ἐχώρει, ἐπανήξειν τάχιστα εἰπόντες, ἄχρις οὗ παρασκευάσοιτο ἡ στρατιά· βασιλέως δὲ κωλύειν πειρωμένου καὶ φάσκοντος σπονδὰς καὶ συμμαχίαν ἔχειν πρὸς Ἀλέξανδρον, οὐκ ἐπείθοντο, πολέμιοι αὐτοὶ Μυσοῖς εἰπόντες εἶναι. καὶ καταδραμόντες, ἀνδραπόδων τε καὶ βοσκημάτων ἐπανῆκον λείαν ἔχοντες πολλήν. μετὰ δὲ τοῦτο καὶ τῆς Ῥωμαίων παρεσκευασμένης στρατιᾶς, ἐχώρουν κατὰ Μομιτζίλου. ἐκεῖνος δὲ ἤδη δύναμιν μεγάλην ἔχων καὶ ἰδίαν ἡγεμονίαν ἑαυτῷ περιποιούμενος, Ξάνθειάν τε εἷλεν ἐπιθέμενος, καὶ τῶν κατὰ Μερόπην φρουρίων ἦρχε πάντων καὶ μέχρι Μόρρας προεχώρησε. πυθόμενος δὲ ὡς παρασκευάζοιτο ἐπ' αὐτὸν ὁ βασιλεὺς μετὰ τῆς Περσικῆς ἥκειν στρατιᾶς, πρεσβείας πέμπων, παράγειν ἐπειρᾶτο, ἃ καὶ πρότερον ἐξαπατῶν, ὡς αὐτῷ πολλὰ μεταμέλοι τῆς πρὸς αὐτὸν ἀγνωμοσύνης, ὅτι τοσαῦτα εὖ παθὼν, κακὸς ὀφθείη καὶ ἀμνήμων τῶν καλῶν, καὶ ὡς εἰ συγγνώμην αὐτῷ παράσχοιτο, μηδέποτε ὕστερον ἀγνωμονήσων, ἀλλὰ δουλεύσων ἀκριβῶς. ἐπεὶ δὲ ἐκ τούτων αὐτῷ ἠνύετο οὐδὲν, ἀλλ' ἐπυνθάνετο σαφῶς ἐπιοῦσαν τὴν στρατιὰν, πᾶσαν ὅση δύναμις ἦν περὶ αὐτὸν ἀθροίσας, καὶ αὐτὸς ἐχώρει ὡς μαχούμενος πᾶσιν ὁμοῦ καὶ Ῥωμαίοις καὶ βαρβάροις· εἰς τοσαύτην γὰρ

съоръжи флота и да прехвърли с кораба войската си в Тракия. Той не можеше да премине по суша Хелеспонта, понеже Сархан[296], сатрап на Лидия, започна война с него за някакви земи и възнамеряваше да му попречи, ако се опита да премине през Хелеспонт през неговата земя. Понеже смяташе за необходимо да отиде при императора, той реши, че трябва да проводи пратеничество при Сархан и да му отстъпи земята, заради която съществуваше спор помежду им, стига само да му осигури преминаване през Хелеспонт. Сархан радостно прие пратеничеството и като взе земята, стана приятел на Омур и му осигури безопасно преминаване, като му даде с войската и сина си, който щял да воюва на страната на императора. Те пристигнаха при Хелеспонт и преминаха в Тракия с двадесет хиляди конници. Веднага отидоха с дарове при императора в Димотика. Омур помоли императора да не се бавят, а да се отправят срещу Момчил. Варваринът му се гневеше заради дързостите му срещу императора. Понеже ромейската войска не беше готова, варварите се отправиха срещу Мизия, като казаха, че веднага ще се върнат, щом ромейската войска се приготви. Когато императорът се опита да ги възпре и им казваше, че е сключил договор и съюз с Александър, те не послушаха, като казваха, че са неприятели на мизите. Те нападнаха и се върнаха с голяма плячка от роби и добитък.[297] След това, когато и ромейската войска се приготви, те настъпили срещу Момчил. А Момчил имаше вече голяма войска и си бе създал собствено царство. Той нападна и завзе Ксанти, владееше всички крепости в Меропа и достигна чак до Мора. Като се научи, че императорът се готви да отиде срещу него с персийската войска, проводи пратеничество и се опита да го измами, както и по-рано го бе измамил. Разкайваше се много за неблагодарността си към него, понеже, след като толкова много го е бил облагодетелствувал, той се бил показал лош и бил забравил добрините, и ако му простел (сега), никога след това не щял да действува необмислено, но щял да му служи вярно. А когато молбите му не помогнаха никак и като узна сигурно, че войската идва, събра колкото войска имаше около него, и сам се отправи, за да се сражава с всички едновременно — и с ромеи, и с варвари.[298] Наистина безумието αὐτὸν παραπληξίαν ἡ ἄνοια ἐξήγαγε καὶ ἡ θρασύτης. γενομένου δὲ ἐν Περιθεωρίῳ, καὶ ἡ Περσικὴ στρατιὰ ἐφαίνετο ἐπιοῦσα· ἐπεὶ δὲ πρότερόν τε ἐπέκειτο τοῖς ἐν Περιθεωρίῳ, καὶ τότε ἠνάγκαζεν εἰσδέχεσθαι, ἐκεῖνον μὲν οὐκ ἐδέχοντο, ἀλλ' ἀπέκλεισαν αὐτῷ τὰς πύλας, τοὺς βαρβάρους ἐπιδεικνύντες καὶ κελεύοντες εἰς χεῖρας αὐτοῖς ἰέναι, ὡς τοῖς νικῶσιν ἆθλον τὴν πόλιν ἐσομένην τῆς ἀνδραγαθίας. ἵνα δὲ μὴ δοκοῖεν παντάπασιν αὐτοῦ ἀφίστασθαι, (ἐδεδοίκεσαν γάρ, μὴ τὸν κίνδυνον διαδιδράσκων, πικρῶς κολάζῃ τῆς προδοσίας· ἦν γὰρ ἀπαραίτητος πρὸς ὀργάς, καὶ ὠμῶς καὶ ἀπανθρώπως ἀποκτείνων τοὺς προσκρούοντας, καὶ ἐπὶ μικροῖς καὶ μείζοσιν ἐγκλήμασι θάνατον τὴν ζημίαν καταψηφιζόμενος,) τὸν ἀδελφιδοῦν Ῥάϊκον ὄνομα εἰσεδέξαντο, πεντήκοντα μόνον στρατιώτας ἔχοντα, ἵν' εἰ μὲν νικῴη, παραίτησις πρὸς ὀργὴν εἴη ὁ ἀδελφιδοῦς εἰσδεδεγμένος· εἰ δὲ ἡττώμενος διαφθείροιτο, μηδὲν εἶεν κώλυμα ἐκεῖνοι ὀλίγοι ὄντες πρὸς τὸ πράττειν, ἅττα ἂν δοκῇ συμφέρειν. Μομιτζίλος δὲ πρὸς τὸ τείχισμα τὸ πρὸ τῆς πόλεως παρέταττε τὴν στρατιάν, οἰόμενος ἀντισχήσειν καὶ τὸ τείχισμα ἔχων οὐκ ὀλίγα συναιρόμενον. Πέρσαι μὲν οὖν, ἐπεὶ προσέβαλον οἱ πρώτως φθάσαντες, ὤσαντες τὸ Μομιτζίλου στράτευμα περὶ πεντακοσίους χιλίους ὄντας, τό, τε τείχισμα καθῄρουν, καὶ διεσκεδάννυντο ἐπὶ λεηλασίαν τῆς στρατιᾶς τὸ πλεῖον, καὶ πάντα κατέδραμον αὐθημερὸν καὶ ἐληΐσαντο ἄχρι Μυγδονίας. βασιλεὺς δὲ κατόπιν μετὰ Ἀμοὺρ καὶ τῆς ἄλλης στρατιᾶς ἐρχόμενος, συνεώρα τὸ μετὰ Μομιτζίλου στράτευμα οὐχ ἡττημένον, ἀλλὰ μόνης ὁδοῦ παραχωρῆσαν τοῖς βαρβάροις· ἑώρα γὰρ εὐτάκτως καὶ μετὰ κόσμου τεταγμένον· διόπερ καὶ ἐδόκει ὁ ἀγὼν ἔτι ὑπολείπεσθαι. καὶ συνέταττε τὴν στρατιὰν καὶ τὴν Ῥωμαίων καὶ βαρβάρων ἐπὶ τάγμασι τρισί· καὶ τὸ μὲν δεξιὸν κέρας Ἀμοὺρ εἶχε μετὰ τῶν Περσῶν, ἵνα βάλλοιεν τοὺς πολεμίους τοξόται ὄντες καὶ προσπίπτοντες ἐπὶ τὰ γυμνά. τὸ δὲ ἀριστερὸν Ἀσάνης εἶχεν Ἰωάννης, ὁ τῆς βασιλίδος Εἰρήνης ἀδελφός, μετὰ Ῥωμαίων καταφράκτων, κοντοῖς εἰωθότων μάχεσθαι. τὸ μέσον δὲ αὐτὸς ἐπεῖχεν ὁ βασιλεύς, τῶν τε Ῥωμαίων τοὺς λογάδας ἔχων καὶ Περσῶν. Μομιτζίλος δὲ καὶ αὐτὸς ὁμοίως ἀντιτεταγμένος ᾔει πρὸς τὴν μάχην. ἐπεὶ δὲ ἦσαν ἐς τὰς χεῖρας, μάχη μὲν ἀνήπτετο σφοδρά, καὶ ἀντέσχον τὰ στρατόπεδα ἐπιπολὺ ἀλλήλοις. ὅμως ἡττᾶτο τὸ Μομιτζίλου καὶ ἔπιπτον πολλοὶ αὐτῶν. ὠθουμένων δὲ πρὸς τὰ τείχη τῆς πόλεως, ἐπεὶ διέξοδος καὶ ἀντεπεξαγωγὴ οὐκ ἦν τοῖς ἵπποις, ὀλίγου τοῦ χω-

---

[296] Сархан, селджукски военачалник от династията Saruch-Ogullari. За него вж. у Moravcsik op. cit., II, p. 269—270. [297] Като се има пред вид, че Омур се отправил към Димотика, най-вероятно турците да са нахлули в югоизточните български земи. [298] С варвари, т. е. с турци.

и дързостта го докараха до такова голямо безразсъдство. Когато дойде в Перитеорион, пристигна и персийската войска. А преди това настояваше пред жителите на Перитеорин и ги принуждаваше да го приемат, но те не го приеха, а му затвориха вратите, като сочеха варварите и го подканяха да се сражава с тях, та градът да бъде на победителите за храбростта им. Наистина те се бояха, да не би, като избегне опасността, да ги накаже жестоко за предателството. Той беше неумолим в гнева си и сурово и нечовешки убиваше негодуващите и наказваше със смърт и при малки. и при поголеми провинения. И затова, за да не изглежда, че изобщо са се отметнали от него, те приеха братовчеда му Райко заедно с петдесет войници, та ако победи, приемането на братовчеда му да послужи като извинение при гнева му. А ако бъде победен и убит, онези, бидейки малцина, не биха били никаква пречка гражданите да направят това, което решат, че е полезно. Момчил нареди войската при укреплението пред града, като смяташе, че ще устои, като има и укреплението, което ще го подпомогне немалко. Персите прочее нападнаха първи, отблъснаха войската на Момчил, която беше около пет хиляди души, и разрушиха укреплението. Повечето от войската се пръсна за грабеж и същия ден нападна и опустоши всичко до Мигдония.[299] Императорът, който вървеше отзад заедно с Омур и останалата войска, забеляза, че войската на Момчил не е била победена, а само отстъпва по пътя пред персите. Защото виждаше, че е подредена правилно и в боен ред, поради което изглеждаше, че сражението тепърва предстои. И той нареди ромейската и персийската войска в три отряда: Омур с персите заемаше дясното крило, тъй като бяха стрелци, за да обстрелват и нападат лековъоръжените неприятели. А лявото крило с тежковъоръжените ромеи заемаше Йоан Асен, братът на императрица Ирина. Те бяха свикнали да се бият с копия. Центъра заемаше сам императорът с ромеите и с отбраните персийски войски. И Момчил също така нареди войските и потегли за сражение. Когато се сблъскаха, стана тежко сражение и войските дълго време устояваха една срещу друга. Все пак войската на Момчил бе победена и мнозина от нея загинаха. Когато войските на Момчил бяха притиснати към стените на града, понеже за конете нямаше изход и място за

---

[299] Мигдония, област в долното течение на р. Струма, — архаизъм, според името на някогашното тракийско племе мигдони.

ρίου ὑπολελειμμένου μεταξὺ τῶν πολεμίων καὶ τῶν τειχῶν, οἵ τε ἐν Περιθεωρίῳ ἦσαν οὐ προσδόκιμοι εἰσδέξεσθαι, πρῶτος αὐτὸς ἀπέβαινε τοῦ ἵππου, εἶτα καὶ οἱ ἄλλοι ἅπαντες, καὶ προεῖντο τοῖς πολεμίοις. οἱ δ' ἐμάχοντο πεζοί, ἀγωνιζόμενοι ἐκθύμως, καὶ ἀντεῖχον ἐπιπλεῖστον, τοῦτο μὲν διὰ τὴν εὐψυχίαν, τοῦτο δ' ὅτι καὶ ἡ πόλις αὐτοὺς ἐκώλυε μὴ κυκλωθῆναι, καὶ ἔπιπτον πολλοὶ μαχόμενοι. μέχρι μὲν οὖν ἐκεῖνος περιῆν, οὐδὲ αὐτοὶ ὑφίεσαν τῆς τόλμης, οὐδὲ ὅπλα παρεδίδουν. ἐπεὶ δὲ ἔπιπτε καὶ αὐτὸς κατὰ τὴν μάχην, οἱ περιλειπόμενοι εὐθὺς παρέδοσαν τὰ ὅπλα, καὶ ἠνδραποδίσθησαν ὑπὸ Ῥωμαίων καὶ Περσῶν, διαδρᾶναι δυνηθέντος μηδενός. καὶ ὅ φασιν ἐπὶ τῶν μεγάλων ἀτυχημάτων, ὡς οὐδὲ πυρφόρος ὑπολέλειπτο, τοῦτ' αὐτὸ συνέβη καὶ τῷ Μομιτζίλου στρατοπέδῳ. οἱ μὲν γὰρ ἔπεσον κατὰ τὴν μάχην, οἱ δ' ἑάλωσαν.. οἱ δὲ ἐν Περιθεωρίῳ ἑστῶτες ἐπὶ τῶν τειχῶν, οὔτ' ἠμύνοντο ὑπὲρ τοῦ Μομιτζίλου, οὔτ' ἐπέκειντο καὶ αὐτοί, ἀλλὰ μόνον θεαταὶ τῶν ἀγώνων ἐπὶ τῶν τειχῶν ἐκάθηντο. βασιλεὺς δὲ ἐδάκρυσεν ἐπὶ τῇ συμφορᾷ, οὐ μόνον διὰ τῶν πραγμάτων τὴν μεταβολήν, ὅτι ὁ πρότερον ὀλίγῳ μεγάλα περὶ ἑαυτοῦ οἰόμενος, καὶ ἀήττητός τις εἶναι δοκῶν καὶ δεινὸς περὶ στρατηγίας, ἐν μιᾷ καιροῦ ῥοπῇ, ἄτιμος ἔκειτο συμπατούμενος ὑπὸ τῶν πολεμίων, ἀλλ' ὅτι καὶ οἱ πεσόντες, ὄντες τοσοῦτοι καὶ τοιαύτην ἐπιδεδειγμένοι ἀρετὴν καὶ ἀνδραγαθίαν, Ῥωμαῖοι ἦσαν, οὓς ὁ πολλῶν δακρύων αἴτιος ἐμφύλιος πόλεμος παρανάλωσεν. οὕτω μὲν οὖν ὁ Μομιτζίλος ἤνθησέ τε ἐν ὀλίγῳ καὶ ἐπὶ μέγα ἔδοξε τύχης προελθεῖν, καὶ τάχιον ἀπήνθηκε καὶ κατεῤῥύη. βασιλεὺς δὲ μετὰ τὴν μάχην, εἰς Ξάνθειαν ἀφῖκτο, ἔνθα ἡ οἰκία Μομιτζίλου ἦν καὶ ἡ γυνή. Ξανθιεῖς δὲ πρῶτα μέν, οὐδὲν εἰδότες περὶ Μομιτζίλου, ἐπυνθάνοντο περὶ ἐκείνου ὅπῃ εἴη. ἐπεὶ δὲ κατὰ τὴν μάχην ἐπύθοντο πεσόντα αὐτὸν καὶ σύμπαν τὸ στρατόπεδον, τῶν μὲν οἰκείων ἀπωδύροντο τὴν τελευτήν, βασιλεῖ δὲ τὴν πόλιν παρεδίδουν. καὶ ὁ βασιλεὺς πολλὴν περὶ τὴν Μομιτζίλου γυναῖκα ἐπεδείκνυτο τὴν ἐπιείκειαν. ἐκέλευε γὰρ μηδὲν τῶν ὄντων ἀφαιρεῖν αὐτῆς, ἀλλὰ πάντα ἔχουσαν, ἢ μένειν ἐπὶ τῆς Ῥωμαίων ἂν ἐθέλῃ γῆς, ἢ πρὸς τὴν οἰκείαν ἐπανέρχεσθαι· ἐκ Μυσίας γὰρ ἦν. ἡ δὲ μᾶλλον εἵλετο τὴν ἐπὶ τῆς οἰκείας ἀναχώρησιν, καὶ πάντα ἔχουσα, ἀπῇρεν εἰς Μυσούς.

(II, pp. 529_{14}—534_{20})

разгръщане, тъй като оставаше малко пространство между неприятелите и стените на града, а жителите на Перитеорион не бяха наклонни да ги приемат, Момчил пръв слезе от коня, а след него и всички други и те се хвърлиха срещу неприятелите. Сражаваха се пеша, като се биеха мъжествено и устояваха дълго време било поради храбростта си, било понеже градът пречеше да бъдат обкръжени и мнозина паднаха в сражението. Докато Момчил бе жив, храбростта не ги напускаше и те не си предаваха оръжието. А когато и той падна в сражението, останалите веднага предадоха оръжието си и бяха пленени от ромеите и персите, без да може да избяга нито един. И това, което разправят при големите нещастия, че не бил останал дори факлоносец, същото това се случи и с войската на Момчил. Наистина едните паднаха в сражението, а другите бяха пленени. А тези в Перитеорион, които бяха застанали по стените, нито се сражаваха в полза на Момчил, нито сами се намесваха, а седяха по стените само като зрители на боевете. Императорът проля сълза за нещастието не само поради промяната на положението, защото малко преди това той (Момчил) замисляше големи неща, като смяташе, че е непобедим и опитен стратег и в един миг загина безславно, мачкан от враговете, но също и затова, че загиналите, които бяха толкова многобройни и бяха показали такава храброст и доблест, бяха ромеи. Тях погуби гражданската война, която бе причина за много сълзи. Така Момчил за кратко време достигна цветущо положение и изглеждаше, че се е издигнал до голяма слава, но бързо залезе и пропадна. След сражението императорът пристигна в Ксанти, където бе домът и съпругата на Момчил. Жителите на Ксанти, като не знаеха в началото нищо за Момчил, разпитваха за него къде е. Когато узнаха, че по време на сражението той и цялата войска са загинали, оплакаха смъртта на близките му и предадоха града на императора. Императорът прояви голямо внимание към съпругата на Момчил. Той заповяда да не ѝ отнемат нищо от имуществото, а да запази всичко и или да остане на ромейската земя, ако желае, или пък да замине за родината си. Защото тя беше от Мизия. Понеже предпочете да се върне в родината си, тя с цялото си имущество замина при мизите.

48. Anna imperatrix auxilium petit a Balice, Carbonae principe

III, 95. . . βασιλὶς δὲ ἐπεὶ ἑώρα μόνην τὴν Κωνσταντίνου πόλιν αὐτῇ περιλειπομένην, (αἱ γὰρ ἄλλαι σχεδὸν πᾶσαι προσεχώρησαν βασιλεῖ τῷ Καντακουζηνῷ,) πρὸς Μπαλίκαν τινὰ τοῦ Καρβωνᾶ ἄρχοντα πέμψασα πρεσβείαν ἐδεῖτο βοηθεῖν. ὁ δὲ ἀσμένως τε ἐδέξατο τὴν πρεσβείαν καὶ Θεόδωρον καὶ Τομπροτίτζαν τοὺς ἀδελφούς, χιλίους στρατιώτας ἄγοντας ἐπιλέκτους, κατὰ συμμαχίαν ἔπεμπε τῇ βασιλίδι, οἳ καὶ τὰς κατὰ τὸν Πόντον παραθαλασσίους πόλεις διιόντες ἔπεισαν ἀποστῆναι βασιλέως καὶ τῇ βασιλίδι προσχωρεῖν· ἤλπισαν γὰρ αὐτούς τι μέγα κατορθώσειν. καὶ ἡ βασιλὶς ἐδέξατο τοὺς ἄνδρας μετὰ πολλῆς τῆς εὐμενείας καὶ τιμῆς, καὶ τήν τε Ἀποκαύκου τοῦ μεγάλου δουκὸς θυγατέρα συνῴκισε τῷ Τομπροτίτζᾳ, καὶ στρατηγὸν ἀπέδειξε τῆς Ῥωμαίων στρατιᾶς. ὁ δὲ τήν τε οἰκείαν ἔχων καὶ τὴν Ῥωμαίων ἐπεστράτευσε Σηλυμβριανοῖς, βασιλέως Διδυμοτείχῳ ἐνδιατρίβοντος. Φακρασὴς δὲ ὁ πρωτοστράτωρ ὑπὸ βασιλέως ἐν Σηλυμβρίᾳ καταλελειμμένος μετὰ στρατιᾶς, ἔχων καὶ τοὺς Σηλυμβριανούς, συνεπλέκετο τοῖς περὶ Τομπροτίτζαν ἐξελθὼν καὶ ἐνίκα κατὰ κράτος. ἄπειρος γὰρ ὢν ὁ Τομπροτίτζας τῶν χωρίων ἐστρατήγησε κακῶς, εἰς τάφρους καὶ στενοχωρίας καὶ ἀμπέλους τοὺς ἱππέας ἐμβαλών· ὅθεν ἡττηθέντες ὀλίγοι μὲν ἀπέθανον κατὰ τὴν μάχην, ἑάλωσαν δὲ πολλοὶ ὀλίγων, διαδρᾶναι δυνηθέντων. ὧν τοὺς ἐπιφανεστέρους δήσαντες εἶχον ἐν φρουραῖς· τοὺς δ' ἄλλους ἀποδύσαντες ἀπέλυον. ἦλθε δὲ καὶ ὁ Τομπροτίτζας ἐγγὺς ἁλῶναι, ὅμως διαδρᾶναι δυνηθεὶς ἀνέστρεψε κατῃσχυμμένος. μετὰ τὴν ἧτταν δὲ ἐκείνην Τομπροτίτζας μὲν ὑπελείπετο ἐν Βυζαντίῳ ἤδη γυναῖκα ἔχων ἐκ Ῥωμαίων καὶ τιμῆς ἀπέλαυε παρὰ βασιλίδος τῆς ἀξίας· Θεόδωρος δὲ ὁ ἀδελφὸς ἀνέστρεψεν εἰς τὴν οἰκείαν, τὴν ὑπολελειμμένην ἔχων στρατιάν.

(II, pp. 584_{12}—585_{17})

48. Императрица Ана иска помощ от Балик, управител на Карбона

III, 95- - -[300] Когато императрицата видя, че ѝ остава само град Константинопол (защото почти всички останали градове минаха на страната на император Кантакузин), проводи пратеничество при някой си Балик, владетел на Карвуна,[301] и поиска помощ. Той радостно прие пратеничеството и изпрати в помощ на императрицата братята си Теодор и Добротица с хиляда отбрани войници. И те, като минаха през крайбрежните градове покрай Понта,[302] убедиха ги да се отцепят от императора и да минат на страната на императрицата. Защото се надяваха, че те ще извършат нещо голямо. Императрицата прие мъжете с голяма благосклонност и уважение и омъжи дъщерята на великия дук Апокавк за Добротица и го назначи стратег на ромейската войска. А когато императорът пребиваваше в Димотика, Добротица заедно със своята и ромейската войска нападна Силиврия.[303] Протостраторът Факрасес, оставен от императора с войска в Силиврия, като излезе заедно със силиврийците, влезе в бой с Добротица и го победи напълно. Добротица не познаваше местата и затова командуваше лошо и хвърли конниците в ровове, теснини и лозя. Поради това те бяха надвити и малцина загинаха в сражението и мнозина бяха пленени, като малцина успяха да избягат. По-знатните от тях бяха вързани и държани под стража, а останалите бяха съблечени и освободени. Насмалко и Добротица е щял да бъде пленен, но успял да избяга и се върна посрамен. След това поражение Добротица остана във Византион, вече с жена си ромейката и се радваше на голяма почит от страна на императрицата. А брат му Теодор се върна в родината си с останалата войска.

49. Turci Bulgariam invadunt

III, 96. ἐκεῖνοι δὲ ζημίαν οὐ μικρὰν ἡγούμενοι τὸ κεναῖς ἀναχωρεῖν χερσὶν ἐπεστράτευσαν Μυσοῖς, καὶ ἀπέκτειναν πολλοὺς κατὰ τὴν ἔφοδον ἐκείνην καὶ ἠνδραποδίσαντο, καὶ βοσκημάτων ἐκράτησαν παμπόλλων, καί, εἴπερ ποτέ, ἐκάκωσαν

49. Турците нападат България

III, 96- - -[304] А онези,[305] като сметнаха за немалка загуба да се върнат с празни ръце, се отправиха на поход срещу мизите. Те избиха и поробиха мнозина по време на този поход, заграбиха твърде много добитък и като никога опустошиха Мизия.

---

[300] В непреведения пасаж се говори за убийството на цариградския патриарх от турците, за завземането на о-в Хиос от генуезците и за помощта, която императрица Ана получава от добруджанския владетел Балик. [301] Балик, български болярин, владеел областта Карвуна, т.е. земите около Добрич. Вж. Златарски, пос. съч., стр. 352. — Мутафчиев, пос. съч., с. 217. [302] Покрай Понта, т.е. покрай Черно море. [303] Дн. Силиврия на Мраморно море. [304] В непреведения пасаж става дума за турска войскова част, повикана от императрица Ирина за борба срещу Кантакузин. Кантакузин обаче бил своевременно предупреден от съюзника си Омур и по този начин плановете на императрицата пропаднали. За да не се връщат с празни ръце, турците се насочили за грабеж към българските земи. [305] Онези, сиреч турците

Μυσίαν. ἐλέγετο δὲ, ὡς βασιλεὺς αὐτοῖς ἐπιτρέψειε τὴν ἔφοδον ἀμειβόμενος τῆς συμμαχίας· ἐψεύδοντο δὲ ἀκράτως οἱ λογοποιοῦντες. οὐχ ὅτι τότε γὰρ ὁ βασιλεὺς, ἀλλ' οὐδὲ ἄλλοτέ ποτε ἑκὼν εἶναι τοὺς βαρβάρους ἐπήγαγε Μυσοῖς· ἀλλὰ πλείους ὄντες, ἢ ὥστε ἄγεσθαι ὑπὸ Ῥωμαίων, ἀφ' ἑαυτῶν αὐτοὶ ἐπῄεσαν κέρδους ἕνεκα. λαμβάνειν γὰρ παρὰ Ῥωμαίων οὐδὲν ἐξῆν, τῶν μὲν ἤδη διεφθαρμένων, τῶν ὑπολοίπων δὲ τελούντων ὑπὸ βασιλέα, ᾧ σύμμαχοι καὶ φίλοι εἶναι ἔλεγον. μᾶλλον μὲν οὖν καὶ πρόνοιαν ἐποιεῖτο πλείστην τοῖς Μυσοῖς τὴν τῶν βαρβάρων ἔφοδον ἀεὶ μηνύειν· καὶ πολλάκις ἀπὸ τούτου τοῦ τρόπου διεσώθησαν ἐπὶ τὰς πόλεις καὶ τὰς λόχμας καταδύντες. οὐ μὴν ἀλλὰ καὶ πρὸς τοὺς φίλους ἀεὶ πολύν τινα λόγον ἐποιεῖτο περὶ Ῥωμαίων τῶν ἐξανδραποδιζομένων ἀγανακτῶν, ὅτι ἃ μὴ βούλοιτο, ἀλλὰ καὶ ἄχθοιτο γινομένων οὐ μετρίως, ταῦτα ὑπὸ τῶν πολεμούντων πράττειν ἀναγκάζοιτο· καὶ πρὸς μὲν ἐκείνους ἔφασκεν ἀμύνεσθαι δίκαιον ἡγεῖσθαι, οὐ μόνον διὰ τὸ μὴ καταδέχεσθαι τὴν εἰρήνην, ἀλλ' ὅτι, εἰ καὶ τρόπῳ δή τινι περιγένοιντο αὐτῶν, πάντας ὠμῶς ἀποκτενοῦσιν, ὡς ἐκ τῶν γεγενημένων εἰκάζειν ἔξεστι τὰ μέλλοντα. δι' ἃ καὶ τὴν τῶν βαρβάρων αἱρεῖσθαι συμμαχίαν, ἵνα μὴ αὐτοὶ χρησάμενοι, ὥσπερ πολλάκις ἐπεχείρησαν, διαφθείρωσιν αὐτὸν καὶ τοὺς συνόντας. πρὸς δὲ τοὺς κτεινομένους καὶ ἐξανδραποδιζομένους καὶ τὰ ἔσχατα ὑπομένοντας οὐδεμίαν εὐπρόσωπον ἀπολογίαν ἔχειν. τί γὰρ ἠδικήκασιν ἄνθρωποι γεωργοὶ καὶ γυναῖκες καὶ βρέφη νήπια, ἃ καθημέραν κατασφάττεται καὶ πρὸς δουλείαν ἀποδίδοται καὶ ἤθεσι καὶ νόμοις ἐντρέφεται βαρβαρικοῖς καὶ πρὸς τὸ ἀφίστασθαι ἐνάγεται θεοῦ τοῦ πλάσαντος; ἢ γυναῖκες αἰσχυνόμεναι παρθένοι, καὶ ναοὶ καταστρεφόμενοι, καὶ τὰ ἅγια συμπατούμενα καὶ περιυβριζόμενα καὶ ἀθέων χερσὶ παραδιδόμενα παρὰ πάντα τοῦ δικαίου καὶ εὐλόγου λόγον; ἐφ' οἷς καὶ ἐπεδάκρυε τὰς παρὰ τοῦ δικαίου κριτοῦ περὶ τούτων ἐννοῶν εὐθύνας καὶ τὸ ἀπαραλόγιστον ἐκεῖνο δικαστήριον καὶ φοβερόν. ὅμως τῶν αὐτῶν πάλιν ἀναγκαίως εἴχετο τῶν γινομένων, τὴν αἰτίαν εἰς τοὺς μὴ καταλύειν τὸν πόλεμον ἐθέλοντας ἀνατιθείς, ἀλλ' ἐπιβουλεύοντας ἀεὶ καὶ μηδένα τῶν κτεινομένων ἔλεον λαμβάνοντας, καὶ ταῦτα ὑπ' αὐτοῖς τελούντων. οἱ μὲν οὖν βάρβαροι πολλὴν αἰχμαλωσίαν ἄγοντες ἀπὸ Μυσῶν ἐπεραιώθησαν εἰς τὴν Ἀσίαν.

(II, pp. 595_4—596_{24})

А се говореше, че императорът[306] им бил разрешил похода, за да им се отплати за съюзничеството. Съчинителите на слухове лъжеха напълно. Защото императорът не само тогава, но и никога по-рано по собствено желание не е насочвал варварите срещу мизите: но те (персите) бяха твърде многобройни, за да могат да бъдат насочвани от ромеите, нападаха по свой почин за своя изгода. Наистина от ромеите не можеше да се вземе нищо, тъй като едни бяха вече разорени, а останалите бяха подчинени на императора, комуто (персите) казваха, че били съюзници и приятели. Дори нещо повече, той полагаше най-голяма грижа да съобщава винаги на мизите за нападението на варварите. И често по този начин те се спасяваха, като се изпокриваха в градовете и в горите. Освен това между приятелите той винаги говореше много за поробваните ромеи, като негодуваше, че тия, които воювали (срещу него), го принуждавали да прави това, което не бил желал и от което страдал немалко, когато то ставало. И той казваше, че смятал за справедливо да се отбранява срещу тях не само поради това, че те не желаели да приемат мира, но и защото щели да избият жестоко всички, както може да се съди за бъдещето по миналото, ако по някакъв начин ги надвият. Затова той приел съюза на варварите, за да не би самите негови неприятели, като се възползуват (от положението), както често се били опитвали, да унищожат него самия и хората му. Той обаче нямал никакво прилично оправдание за избиваните, поробваните и понасящите най-големи мъчения. Защото каква вина имат хора селяни, жени и пеленачета, които ежедневно биват убивани и продавани в робство, биват възпитавани във варварските нрави и закони и биват принуждавани да се откажат от създателя бог? Или каква вина имат опозорените девици, разрушените храмове, потъпканите и осквернени свети предмети, предадени в ръцете на безбожниците против всяко право и справедливост? При тези думи той проливаше сълзи, като очакваше за това от страна на справедливия съдник възмездие и неумолим и страшен съд. Обаче той отново по необходимост се залавяше за това, което ставаше, като стоварваше вината върху тия, които не желаеха да прекратят войната, но постоянно злоумишляваха и не проявяваха никакво състрадание към убиваните, които при това се намираха под тяхна власт. А пък варварите преминаха в Азия с много пленници от мизите.

---

[306] Императорът, т.е. Йоан Кантакузин.

50. *Serborum Crales Macedoniae oppida occupat. Turci Mygdoniae oppida vastant*

IV, 4 . . . καὶ πρεσβείαν πρὸς Κράλην πέμψας, πολλὰς μὲν ὡμολόγει χάριτας αὐτῷ τῆς εἰς αὐτὸν φιλοτιμίας καὶ σπουδῆς, ἣν πρὸς παρόντα ἐνεδείξατο, καθ' ὃν ὑπὸ τῶν ὁμοφύλων ἐπολεμεῖτο χρόνον, καὶ δικαίως εἶναι ἀμείβεσθαι τοῖς ἴσοις καιροῦ καλοῦντος, μὴ παραλυομένων μέντοι τῶν ὅρκων καὶ τῶν σπονδῶν τῶν πρὸς ἀλλήλους. εἰ γὰρ ἐκεῖνα παραβαίνοιντο ὑφ' ὁτουοῦν, οὐ δίκαιον εἶναι ἀμυνόμενον τὸν ἕτερον αἰτίας ἀξιοῦν· κωλύει γὰρ οὐδεὶς ἀμύνεσθαι νόμος τὸν πάσχοντα κακῶς. ἠξίου τε αὐτῷ ἀποδοθῆναι τὰς πόλεις, ἃς μετὰ τὸ πρὸς αὐτὸν τὰς σπονδὰς καὶ τοὺς ὅρκους θέσθαι τῆς Ῥωμαίων παρείλετο ἀρχῆς· οὕτω γὰρ ἐγγεγραμμένον τοῖς ὅρκοις εἶναι. μὴ μόνον γὰρ Φεράς τε καὶ τὰς ἄλλας τῆς Μακεδονίας πόλεις καὶ τὰ φρούρια πλὴν Θεσσαλονίκης εἷλεν, ἀλλὰ καὶ Βεῤῥοιωτῶν τοὺς δυνατωτάτους χρήμασι καὶ μεγάλαις ἐπαγγελίαις διαφθείρας, τὸν βασιλέως ἔπεισεν υἱὸν ἐξελάσαι τὸν Μανουὴλ, κἀκείνῳ τὴν πόλιν παραδοῦναι· ἃ οὐκ ἐπ' ὀλίγον ἠνία βασιλέα. ὁ μὲν οὖν υἱὸς ἐν Θετταλίᾳ διέτριβε παρὰ τὸν θεῖον Ἄγγελον τὸν Ἰωάννην. Κράλης δὲ ἐπεὶ ἐδέξατο τὴν πρεσβείαν, δίκαιον μὲν ἀντιτιθέναι τοῖς λόγοις ἠδύνατο οὐδὲν, ἀλλὰ συνωμολόγει τοὺς ὅρκους οὕτω γεγενῆσθαι, ἀποδιδόναι δὲ τὰς πόλεις οὐκ ἠβούλετο, ἀλλὰ πρὸς σκήψεις ἐχώρει καὶ προφάσεις ἐχούσας ὑγιὲς οὐδέν. βασιλεὺς δὲ καὶ αὖθις δευτέραν ἐποιήσατο πρεσβείαν καὶ πάλιν ἠξίου τῶν πόλεων αὐτῷ παραχωρεῖν κατὰ τοὺς ὅρκους. εἰ δὲ μὴ βούλοιτο, ἠπείλει πολεμήσειν· ἠξίου τε μη αὐτῷ προσλογίζεσθαι τοὺς ἐσομένους φόνους καὶ τοὺς ἀνδραποδισμούς. τῆς γὰρ Ῥωμαϊκῆς δυνάμεως διεφθαρμένης ὑπὸ τοῦ συγγενικοῦ πολέμου, ἀναγκαίως χρήσεσθαι βαρβάροις κατὰ συμμαχίαν. ἃ ἐκέλευε σκεψάμενον τὰ δέοντα ποιεῖν. ὡς δὲ καὶ μετ' ἐκείνην τὴν πρεσβείαν οὐδὲν ὁ Κράλης ἐποίει τῶν δεόντων, ἀλλὰ καὶ τὰς ὑπολοίπους ἐπολιόρκει πόλεις, πέμψας πρὸς Ὀρχάνην τὸν γαμβρὸν ὁ βασιλεὺς, μετεκαλεῖτο στρατιάν. καὶ παρῆσαν ὑπὲρ μυρίους τῶν βαρβάρων, ὧν Σουλιμὰν μετὰ τῶν ἀδελφῶν, οἱ τοῦ Ὀρχάνη παῖδες, ἐστρατήγουν. πέμπει δὴ μετὰ τούτων καὶ Ματθαῖον τὸν υἱὸν ὁ βασιλεὺς τῆς Ῥωμαίων στρατιᾶς ἡγούμενον, καὶ ἐκέλευε τοὺς ὅρους τῆς Ῥωμαίων ἡγεμονίας διελθόντας ἀβλαβῶς,

50. *Сръбският крал завладява крепости в Македония. Турци опустошават крепостите в Мигдония*

IV, 4. . .[307] И като проводи пратеничество при краля[308], благодари му много за великодушието и грижата, която бе проявил в сегашния момент, когато бе нападнат от сънародниците си, и (каза), че било справедливо да му се отблагодари със същото, понеже не били нарушили клетвите и договора помежду си. Защото ако са ги нарушили по някакъв начин, несправедливо било да се вини този, който се брани: защото никакъв закон не забранявал на изпадналия в беда да се брани. Молел да му върне градовете, които е завзел от ромейската държава след сключване на договора с него и полагането на клетви. Защото така било написано в клетвите. Защото кралят бе завзел не само Фере и другите градове и крепости на Македония освен Солун, но като подкупи най-знатните веройци с пари и големи обещания, убеди ги да изгонят сина на император Мануил и да му предадат града. Това наскърби немалко императора[309]. А синът му пребиваваше при чичото Йоан Ангел в Тесалия. А когато прие пратеничеството, кралят не можа да отвърне нищо подходящо на думите (на императора), съгласи се, че така са се клели, обаче не пожела да върне градовете. Той се позоваваше на разсъждения и на несъстоятелни доводи. Императорът проводи повторно пратеничество и отново помоли да му отстъпи градовете според клетвите. Ако не желаел, заплашваше, че ще воюва. Искаше да го държи отговорен за бъдещите убийства и поробвания. А тъй като ромейската войска е унищожена от гражданската война, по необходимост щял да си послужи с варвари за съюзници. Заповяда да направят това, което смяташе, че е необходимо. И понеже след това пратеничество кралят не направи нищо от това, което бе нужно, но обсаждаше и останалите градове, императорът проводи зетя си[310] при Орхан и поиска войска. И пристигнаха над десет хиляди варвари, които предвождаше Сюлейман заедно с братята си, синовете на Орхан. Императорът прати заедно с тях и сина си Матей за предводител на ромейската войска и заповяда да оплячкосат трибалите, като преминат през ромейските предели, без да причиня-

---

[307] В непреведения пасаж се говори за Орхан, турски султан и сват на Кантакузин, пристигнал в Цариград по случая тържествената коронация на последния. Вж. Острогорски, пос. съч., с. 484—485. [308] Касае се за пратеничество на Йоан Кантакузин до сръбския крал Стефан Душан. [309] Императора, сиреч Йоан Кантакузин. [310] Става дума за Сюлейман, син на Орхан и зет на Кантакузин.

οὕτω πορθεῖν τοὺς Τριβαλούς. οἱ βάρβαροι δὲ ὡς μόνον ἐπέβησαν Μυγδονίας, τὸ περὶ Χριστούπολιν τείχισμα διαβάντες, πυθόμενοι, ὡς ὑπὸ Κράλην αἱ πόλεις ἐκεῖναι ἄγοιντο, εὐθὺς ἐτράποντο ἐπὶ λεηλασίαν, ὀλίγα φροντίσαντες τῶν στρατηγῶν, καὶ τὰς κώμας πάσας ἐξεπόρθησαν, καὶ τὰς πόλεις κατέδραμον τὰς κατὰ Μυγδονίαν, καὶ ἀπέκτεινάν τε πλείστους καὶ ἠνδραποδίσαντο οὐκ ὀλίγους· λείαν τε πλείστην δοριάλωτον ἐλάσαντες, ἀνέστρεφον καὶ ἐπεραιοῦντο κατὰ τὸν Ἑλλήσποντον εἰς τὴν οἰκείαν. βασιλεὺς δὲ πυθόμενος τὴν ἀταξίαν τῶν βαρβάρων, οὐ μετρίως ἠνιᾶτο, ὅτι ὑπὲρ ὧν ἐδόκει τὸν πόλεμον αἱρεῖσθαι, τούτους διέφθειρεν ἡ συμμαχεῖν δοκοῦσα στρατιά.

(III, pp. 30_{24}—32_{24})

ват вреди. Щом като настъпиха срещу Мигдония, варварите минаха покрай крепостта Христопол и научиха, че тамошните градове се владеят от краля, веднага се насочиха за плячка, без да обръщат внимание на военачалниците. Те оплячкосаха всички села и градовете в Мигдония, избиха множина и немалко поробиха. И като караха огромно количество военна плячка, върнаха се и през Хелеспонт си отидоха в родината. А императорът, като научи за неподчинението на варварите, много се натъжи, защото войската, която смяташе за съюзническа, е унищожила онези, заради които започна войната.

51. Bulgari ac Serbi contra Cantacuzenum imperatorem bellum gerrunt

IV, 5 . . . *Τριβαλοί τε γὰρ ὁμοίως καὶ Μυσοὶ καὶ Πέρσαι καὶ εἰ δή τινες ἄλλοι γειτονοῦσιν ἡμῖν δυναστείαν ἔχοντες, οὐ τοῖς ἡρπασμένοις κατὰ τὸν τοῦ πολέμου χρόνον ἀρκοῦνται, ἀλλ᾽ ἐφάπαξ καταφρονήσαντες, οὐδαμῇ στῆσαι τὴν πλεονεξίαν βούλονται. ἐγὼ δὲ ἡδέως ἂν εἶδον ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ δίκας ἐκ τούτων πάντων ἂν ἐξῇ λαβεῖν τῶν εἰς ἡμᾶς ἠσελγημένων. οὐδὲ γὰρ οὐδὲ κατὰ τὸν τοῦ πολέμου χρόνον ἑκοντὶ τὴν τῶν βαρβάρων ᾑρούμην κατὰ τῶν Ῥωμαίων συμμαχίαν, ἀλλ᾽ ὑπὸ τῶν πολεμούντων πρὸς ἀνάγκην ἐναγόμενος. ῥᾳδίως γὰρ ἐκεῖνοι πόλεις καὶ χώρας καταπροϊέμενοι, Μυσοὺς καὶ Τριβαλοὺς καὶ εἰ δή τινας ἄλλους ἔπειθον ἐμοὶ ἁπάσῃ δυνάμει πολεμεῖν.*

(III, pp. 36_{22}—37_{11})

51. Българи и сърби воюват срещу император Кантакузин

IV, 5. „ . . .[311] Защото трибали, както и мизи, и перси, и някои други наши съседни владетели не се задоволяват със заграбеното по време на война, но веднъж станали дръзки, не желаят по никакъв начин да се откажат от алчността си. А аз на драго сърце бих дочакал онзи ден, в който всички те биха ми платили за необузданите си постъпки срещу нас. Защото аз по време на войната не по своя воля предпочетох съюза на варварите[312] против ромеите, но бях принуден от неприятелите. Защото те с лека ръка пожертвуваха градове и земи и убедиха мизи и трибали, както и някои други, да воюват срещу мен с всички сили . . .“

52. Pestilentia Thraciam Macedoniamque pervadit

IV, 8 . . .

γενομένη δὲ ἐν Βυζαντίῳ, Ἀνδρόνικον εὗρε τὸν νεώτερον ἀποτεθνηκότα τῶν υἱῶν ὑπὸ τοῦ τότε ἐνσκήψαντος λοιμοῦ, ὃς ἐκ τῶν Ὑπερβορέων πρῶτον ἀρξάμενος Σκυθῶν, πάντα ἐπέδραμε σχεδὸν τὰ παράλια τῆς οἰκουμένης καὶ τὸ πολὺ διέφθειρε τῶν ἐνοικούντων. οὐ γὰρ Πόντον μόνον διῆλθε καὶ Θρᾴκην καὶ Μακεδονίαν, ἀλλὰ καὶ Ἑλλάδα καὶ Ἰταλίαν καὶ νήσους ἁπάσας, Αἴγυπτόν τε καὶ Λιβύην καὶ Ἰουδαίαν καὶ Συρίαν, καὶ κύκλῳ πᾶσαν σχεδὸν τὴν οἰκουμένην.

(III, p. 49_{15-22})

52. Чума в Тракия и Македония

IV, 8. . . .[313] Когато се върна[314] във Византион, (имп. Ирина) намери Андроник, по-малкия си син, умрял от върлуващата тогава чума. Тя започнала най-напред от северните скити, пребродила почти всички крайбрежни земи на света и погубила много от жителите. Защото преминала не само през Понта, Тракия и Македония, но и през Елада, Италия и всички острови, Египет, Либия, Юдея и Сирия и почти през целия околен свят . . .

IV, 10. . . *Τοῦ χρόνου δὲ ἐν τοῖς τοιούτοις τριβομένου, Κλήμης ὁ πάπας ἐτελεύτησεν ἐν τῷ μεταξὺ, καὶ ἡ περὶ τῆς συν-*

IV, 10. Докато времето минаваше по този начин, междувременно умря папа Климент[315] и намерението за съюз[316] веднага ὁδοῦ αὖθις διελύετο φροντίς. βασιλεὺς δὲ καὶ βασιλέα ἐπαγόμενος τὸν γαμβρὸν, ἐπεστράτευσε Μηδείᾳ τῇ κατὰ τὸν Πόντον παραλίῳ πόλει, ἧς κατὰ τὸν τοῦ πολέμου χρόνον ἄρχων ὁ Τομπροτίτζας ὑπὸ βασιλίδος Ἄννης ἀναδειχθεὶς, οὐδὲ μετὰ τῶν βασιλέων τὴν ὁμόνοιαν ὑπείκειν βασιλεῖ τῷ Καντακουζηνῷ ἠβούλετο, ἀλλὰ χεῖρα λῃστρικὴν πολλὴν περὶ αὐτὸν ἀθροίσας, τὰς περιοίκους πόλεις ἐληΐζετο καὶ ἐκάκου οὐκ ὀλίγα. ὃν πρότερον μὲν ὁ βασιλεὺς ὑπ᾿ ἄλλων ἀναγκαιοτέρων ἐπειγόμενος περιεώρα· ἐπεὶ δὲ ἔβλαπτον αἱ ἐκ Μηδείας λῃστεῖαι οὐ μικρὰ, πρῶτα μὲν ἐκ γῆς καὶ θαλάσσης πέμψας στρατιὰν ἐπολιόρκει, ἔπειτα Μανουὴλ δεσπότην τὸν υἱὸν ἄρχοντα καταλιπὼν ἐν Βυζαντίῳ καὶ τριήρεις κελεύσας ναυπηγεῖσθαι, Φακεωλάτον τὸν πρωτοστράτορα τῷ ἔργῳ ἐπιστήσας, (πάνυ γὰρ ξυνεώρα ναυτικῆς δυνάμεως τὴν Ῥωμαίων ἡγεμονίαν δεομένην,) ἐξεστράτευσεν αὐτὸς, ἔχων καὶ τὸν νέον βασιλέα, καὶ ἐπεὶ ἐγένετο ἐν Μηδείᾳ, λόγους προσῆγε Τομπροτίτζᾳ περὶ τοῦ αὐτῷ ὑπείκειν καὶ τὴν πόλιν παραδιδόναι. ὁρῶν δὲ ἐκεῖνος, ὡς ἀδύνατος εἴη ὅπλα ἀνταίρειν βασιλεῖ, προσεχώρησεν ὁμολογίᾳ καὶ τὴν πόλιν ἐνεχείρισεν. ὃν ὁ βασιλεὺς εὐμενείας τε καὶ προνοίας ἠξίωσε τῆς προσηκούσης, καὶ τοῖς ἐπιφανεστέροις συγκατέλεξε Ῥωμαίων.

---

[311] В непреведената част от речта на Кантакузин се говори за необходимостта от единство всред ромеите, за да могат да се противопоставят на външните врагове. [312] Варварите, сиреч турците, които се намирали под властта на султана Орхан, до чиято помощ Кантакузин често прибягвал. [313] В непреведения пасаж става дума за недоразумения между Йоан Кантакузин и неговия син Матей. [314] Има се пред вид съпругата на Йоан Кантакузин Ирина. [315] Климент заемал папския престол от 1342 до 1352 г. [316] Става дума за пратеничество, което Йоан Кантакузин проводил при папа Климент, за да уговаря съвместни действия против турците.

(III, pp. 62_{19}—63_{17})

53. *De epistola sultani ad imperatorem Cantacuzenum*

IV 14 . . ἔπεμπε δὲ καὶ πρὸς βασιλέα γράμματα οὕτως ἔχοντα ἐν λέξει· „εἰς τὸ ὄνομα τοῦ θεοῦ τοῦ ἐλεοῦντος καὶ ἐλεήμονος. μακροημερεύσοι ὁ θεὸς ὁ ὕψιστος πάντοτε τὰς ἡμέρας τῆς βασιλείας τοῦ μεγάλου, τοῦ εὐεργετικοῦ, τοῦ φρονίμου, τοῦ λέοντος, τοῦ ἀνδρείου, τοῦ ἐν πολέμοις ὁρμητικοῦ, εἰς ὃν οὐ δύναταί τις σταθῆναι ἔμπροσθεν αὐτοῦ, τοῦ σοφωτάτου εἰς τὸ δόγμα αὐτοῦ, τοῦ δικαιοτάτου εἰς τὸν τόπον καὶ τὴν χώραν αὐτοῦ, τοῦ θεμελίου τῆς πίστεως καὶ τοῦ δόγματος τῶν Χριστιανῶν, τοῦ κίονος τοῦ ἀσείστου ἁπάντων τῶν βεβαπτισμένων, τοῦ βοηθοῦ τῶν δογμάτων τοῦ Χριστοῦ, τῆς σπάθης τῶν Μακεδόνων, τοῦ Σαμψὼν, τοῦ βασιλέως τῶν Ἑλλήνων, τοῦ βασιλέως τῶν Βουλγάρων, τῶν Ἀσανίων, τῶν Βλάχων, τῶν Ῥώσων καὶ τῶν Ἀλανῶν, τῆς τιμῆς τοῦ δόγματος τῶν Ἰβήρων καὶ τῶν Σύρων, τοῦ κληρονόμου τῆς βασιλείας τῆς γῆς αὐτοῦ, τοῦ αὐθέντου τῶν θαλασσῶν καὶ τῶν ποταμῶν τῶν μεγάλων καὶ τῶν νήσων, Ἀγγέλου Κομνηνοῦ Παλαιολόγου τοῦ Καντακουζηνοῦ.

(III, p. 94_1—$_{17}$)

пропадна. Императорът[317] заедно със зет си императора[318] потегли срещу Мидия[319], крайбрежен град на Понта. По време на войната императрица Ана определи за началник на града Добротица, който след споразумението[320] между императорите не пожела да се подчинява на император Кантакузин, но като събра голяма плячкаджийска войска около себе си, опустошаваше околните градове и причиняваше немалки вреди. Притеснен от други по-големи грижи, по-рано императорът не му обръщаше внимание. Но когато грабежите в Мидия причиняха немалко вреди, отначало (императорът) обсади (града) и прати войска по суша и по море, а след това, като остави сина си, деспота Мануил, за началник във Византион, и като нареди да приготвят триери и постави Факеолат начело на начинанието (защото видя, че ромейската държава се нуждаеше от флота), сам потегли на поход заедно с младия император. Когато пристигна в Мидия, предложи на Добротица да му се подчинява и да предаде града. А онзи, виждайки, че не е в състояние да се противопостави на императора с оръжие, мина доброволно на негова страна и предаде града. Императорът го удостои със съответно внимание и грижа и го причисли към по-знатните ромеи.

53. *Писмо на султана до император Кантакузин*

IV, 14 . . .[321] Той[322] изпрати писмо и до императора със следното съдържание: „В името на милостивия и състрадателен бог. Нека възвишеният бог винаги да продължава дните на царската власт на великия, твореца, мъдрия, лъва, храбреца, неудържимия в сраженията, срещу когото никой не би могъл да устои, най-мъдрият във вярата, най-справедливият в мястото и земята си, стълбът на вярата и на християнското учение, непоклатимата опора на всички покръстени, защитникът на християнските догми, мечът на македонците, сампсонът, императорът на елините, императорът на българите, на асеневците, на власите, на русите и на аланите, украшението на вярата на иверийците и на сирийците, наследникът на царската власт в земята му, владетелят на моретата и на големите реки и на островите, Ангел Комнин Палеолог Кантакузин. . .

---

[317] Императорът, т.е. Йоан Кантакузин. [318] Става дума за Йоан V Палеолог. [319] Град на европейския бряг на Черно море, северозападно от Цариград. [320] Става дума за споразумението между Йоан V Палеолог, законен наследник на византийския престол, и узурпатора Йоан Кантакузин, според което последният управлявал империята заедно с Йоан Палеолог. [321] В непреведения пасаж става дума за патриарх Лазар, изпратен от Кантакузин за духовен глава на християните, подвластни на султана на Египет, Сирия и Юдея. [322] Става дума за султана на Египет, Назър Хасан, който пратил писмо на простонароден гръцки език на Йоан Кантакузин. Срв. Moravcšik, I, p. 178. 179.

54. Turci Bulgariam vastant

IV, 17 . . . ἃ Σουλιμὰν ἐποίει ᾗ αὐτῷ ὁ πατὴρ προσέταττε, καί τινα πλασάμενος μὴ ὄντα, ἐκ τοῦ κατὰ τὸν Ἕβρον πόρου πρὸς τὴν Μυσίαν ἐπὶ λεηλασίαν ἀπεχώρει, καὶ πλῆθος ὁμοῦ βοσκημάτων καὶ ἀνθρώπων ἐλάσας αἰχμαλώτων ἐπὶ τὴν Ἀσίαν ἐπεραιοῦτο.

(III, p. 116_1—$_5$)

55. Cantacuzenus imperator Berrhoeam atque Edessam expugnat

IV, 18 . . . οἱ βάρβαροι δὲ οἱ ταῖς ναυσὶ συστρατευόμενοι οὐ μόνον τὰ κατὰ Μακεδονίαν παράλια διήρπαζον, πρὶν γενέσθαι ὑπὸ βασιλέα, ἀλλὰ καὶ κατὰ τὴν Βοτιαίαν περαιούμενοι, πάντα ἐληΐζοντο καὶ ἐκάκουν· ἐν ᾗ ἄλλους τε ἠνδραποδίσαντο πολλούς, καί τινος υἱὸν Μαρζελάτου προσαγορευομένου νομέων τινῶν ἐξάρχοντος, οἳ βοῶν ἔνεμον ἀγέλην τῶν κατὰ τὴν Βέῤῥοιαν Τριβαλῶν· ἦν δὲ γνώριμος τῷ βασιλεῖ, ἐκ τῶν ὑπ᾽ αὐτῷ τελούντων νομάδων τὸ ἀρχαῖον ὤν· ᾧ καὶ μᾶλλον πεπεισμένος, πρὸς βασιλέα εἰς Θεσσαλονίκην ἧκε, καὶ ἐδεῖτο περὶ τοῦ υἱοῦ, πρὸ τῶν ποδῶν τοῦ βασιλέως κυλινδούμενος. βασιλεὺς δὲ ὥσπερ ὑπό τινος κεκινημένος, τῷ ἀνθρώπῳ διελέγετο μόνον παραλαβών, ὡς, εἰ βούλοιτο ἀπὸ τῶν βαρβάρων τὸν υἱὸν ἐλευθεροῦν, πρὸς τὴν Βεῤῥοίας αἵρεσιν συμπράττειν, οὐδὲν ἕτερον ἢ νυκτὸς μόνον κλίμακα τοῖς τείχεσιν ἐπιθέντα. ὁ βάρβαρος δὲ τήν τε ἐπιχείρησιν ὑπήρχετο προθύμως, καὶ τὰ μεγάλα ἐπηγγέλλετο συμπράξειν. ἔφασκε δὲ καὶ ῥᾳδίαν μάλιστα αὐτῷ ἔσεσθαι τὴν ἐπιχείρησιν. τῶν γὰρ ἐν Βεῤῥοίᾳ δυνατωτάτων Τριβαλῶν μετά τινων ἑτέρων νέμων βοῦς, μεταξὺ τῶν δύο τειχῶν αὐλίζεσθαι τῆς πόλεως τὴν νύκτα, καὶ μηδεμίαν κατ᾽ αὐτοὺς εἶναι φυλακήν, ὥστ᾽ εἶναι ῥᾴδιον τοὺς ἑταίρους πείσαντα, πράττειν βασιλεῖ τὰ κατὰ γνώμην. ὁ μὲν οὖν βάρβαρος οὕτω συνθέμενος πρὸς βασιλέα, ἀπεχώρει, ἐκείνου ἐπαγγειλαμένου τὸν υἱὸν ἀπὸ τῶν Περσῶν ἐλευθεροῦν, εἰ συμπράξειε τὰ δυνατὰ πρὸς τὸ Βέῤῥοιαν ἁλῶναι. καὶ βασιλεὺς δὲ παρεσκευάζετο, ὡς εἰς Βέῤῥοιαν ἀφιξόμενος νυκτός, καὶ τὰς μὲν τριήρεις ἐκέλευε τοὺς ναυάρχους ἐφοπλίσαντας, ἄγοντας καὶ τοὺς βαρβάρους, ἐπί τινα ποταμὸν τῶν ἀενάων οὐ πάνυ πόῤῥω ῥέοντα Βεῤῥοίας, ἐκ συνθήματος ἐλθεῖν καὶ περιμένειν βασιλέα. αὐτὸς δὲ τήν τε ἐκ Θεσσαλονίκης ἄγων στρατιάν, καὶ τῶν ἐκ Βυζαντίου

54. Турците опустошават България

IV, 17 . . .[323] Сюлейман[324] направил това, както му наредил баща му. Той се представил за някакво измислено лице и през някакъв брод на Хеброс се отправил да плячкосва Мизия и отвличайки много добитък и хора, се върнал в Азия . . .

55. Император Кантакузин завладява Вероя и Едеса

IV, 18 . . .[325] А варварите, които помагаха във войната с корабите си,[326] разграбиха не само крайбрежните земи на Македония, преди да станат подчинени на императора, но отплуваха и към Беотия[327], като оплячкосаха и опустошиха всичко. В нея те поробиха мнозина други, между които и сина на някой си Марцелат, началник на някакви пастири, които пасели стада волове на трибалите във Вероя. Той бе познат на императора, понеже от старо време бе от подчинените му пастири. И уповавайки се много на императора, той дойде при него в Солун и помоли за сина си, като коленичил пред краката на императора. А императорът, като че ли осенен от някаква мисъл, привличайки го едва ли не като съюзник, каза на човека, ако желае да освободи сина си от варварите, да съдейства за завземането на Вероя — да постави през нощта стълба на стените и нищо друго. Варваринът на драго сърце прие възложената му задача и обеща, че ще съдейства много. Каза, че за него задачата щяла да бъде много лесна. Защото той заедно с някои други, като пасел говеда на най-знатните трибали във Вероя, нощувал между двете стени на града и при тях нямало никаква стража, така че лесно би убедил другарите си да изпълнят плана на императора. Варваринът се договори така с императора и се върна, понеже (императорът) обеща да освободи сина му от персите, ако направи възможното, за да завземе Вероя. И императорът се приготви, за да пристигне през нощта във Вероя. Той заповяда наварсите[328] да въоръжат корабите и заедно с варварите според уговорката да дойдат и да го чакат при някаква непресъхваща река, немного далеч от Вероя. А сам, водейки както войската от Солун, така и мнозина следващи го

---

[323] В непреведения пасаж се говори за преминалата в Източна Тракия турска войскова част, пристигнала на помощ на Кантакузин. [324] Сулейман, син на султана Орхан. [325] В непреведения пасаж се говори за венецианско пратеничество до Кантакузин, което молело за помощ срещу генуезците. [326] Става дума за турците, които воювали на страната на Йоан Кантакузин. [327] Беотия, област в Средна Гърция. [328] Наварсите, сиреч началниците на корабите.

ἑπομένων οὐκ ὀλίγους, αὐτόθεν ἵππους συμπορισαμένους, ἐκ τῆς ἠπείρου πρὸς Βέῤῥοιαν ἐχώρει, βασιλέα τὸν νέον ἐν Θεσσαλονίκῃ καταλιπών. ἐν Βεῤῥοίᾳ δὲ καὶ πρότερον μὲν ἦσαν οὐκ ὀλίγοι Τριβαλῶν ὑπὸ Κράλη κατῳκισμένοι, οὐ στρατιῶται μόνον, ἀλλὰ καὶ τῶν δυνατῶν, διά τε τὴν ἄλλην τῆς πόλεως εὐφυΐαν· οὐδενὸς γὰρ τῶν ὅσα πόλιν εὐδαίμονα ποιεῖ ἐνδεῖ· καὶ διὰ τὸ μεγάλην εἶναι καὶ πολλοὺς τοὺς ἐνοικοῦντας ἔχειν, οὐ δημώδη μόνον ὄχλον, ἀλλὰ καὶ στρατιώτας, καὶ οὐκ ὀλίγους τῶν συγκλητικῶν· ὧν τοὺς πλείους μὲν ἢ πάντας ὁ Κράλης ἐξήλασε κατασχὼν, ὅμως ἔτι τὴν ἀποστασίαν δεδιὼς τῆς πόλεως, στρατιώτας τε ἐγκατῴκισεν οὐκ ὀλίγους, καὶ τῶν παρ' αὐτῷ ἐπιφανῶν τινας· ἀκροπόλεις δὲ οἰκοδομήσας δύο, τὴν μὲν ἀπηρτισμένην πάντῃ φρουρὰ κατέσχε Γερμανῶν τὴν πρὸς τῇ βασιλικῇ καλουμένῃ πύλῃ, ἡ λοιπὴ δὲ ἐνέδει ἔτι. οὐ γὰρ ἀκρόπολις ἦν, ἀλλ' ὥσπερ μικρὰ πόλις ἐν μεγάλῃ. μέρος γὰρ οὐκ ὀλίγον τοῦ περιβόλου τῆς πρώτης πόλεως ἀποτεμόμενος, διετείχιζεν ἐπὶ τὰ ἔνδον τὰς οἰκίας καθαιρῶν, καὶ πύργους ἀνίστη ἐφ' ἑνὶ τῷ μεγίστῳ τρεῖς ἐλάσσους, καὶ τῶν κατὰ τὰ μεσοπύργια τειχῶν πάχος σύμμετρον ἐχόντων, διπλᾶς ἐποίει τὰς ἐπάλξεις, ἵν', εἰ δέοιτο ἐφ' ἕτερον ἰέναι ἐξ ἑτέρου, ῥᾳδία εἴη ἡ διεξαγωγή· κἂν εἰ συμβαίη τὴν ἀκρόπολιν ἁλῶναι, μηδὲν παραβλάπτοιντο οἱ φύλακες ὁμοίως ἀπό τε τῶν ἔξω καὶ τῶν ἔνδον πολεμίων. ταύτην μὲν οὖν τοιαύτην οὖσαν οὐκ ἔφθασεν εἰς τέλος ἀγαγεῖν, ἀλλὰ τοῦ προσήκοντος ὕψους ἀπελείποντο οἱ πύργοι ἔτι. διά τε οὖν τὰς εἰρημένας αἰτίας πολλοὶ Τριβαλῶν ἐνδιέτριβον Βεῤῥοίᾳ καὶ ἀξιόμαχος στρατιά· καὶ τότε διὰ τὴν βασιλέως ἔφοδον οὐκ ὀλίγοι ἐκ τῶν ἐν ταῖς κώμαις κατῳκισμένων συνῆλθον. ὑπώπτευον γὰρ καὶ αὐτοὶ βασιλέα ἐπιχειρήσειν σφίσι, καὶ τῆς τε πόλεως ἐποιοῦντο φυλακὴν καὶ νύκτωρ καὶ μεθ' ἡμέραν οὐ ῥαθύμως· καὶ παρεσκευάζοντο πρὸς ἄμυναν, ἤν τις αὐτοῖς ἐπίῃ. ἃ καὶ βασιλεὺς σαφέστατα εἰδὼς, οὐ φανερῶς ἐπεχείρει· ᾔδει γὰρ οὐ δύνατος ἐσόμενος τοσούτους βίᾳ αἱρήσειν μετὰ τῶν τειχῶν· ἀλλ' ἐπὶ κλοπὴν ἐχώρει μᾶλλον, οὐκ ὀλίγα καὶ τοῖς ἐγχωρίοις πεποιθὼς, ὡς συστήσονται ἐπὶ τοὺς πολεμίους, ἢν αἴσθωνται ἔνδον ὄντα, καὶ συγκατεργάσονται αὐτῷ τὸν πόλεμον. ὁ μὲν οὖν πρόνοιαν πολλὴν ποιούμενος τοῦ μὴ κατάδηλος εἶναι Τριβαλοῖς ἐπιστρατεύων, ἦλθεν ἐπὶ τὸν ποταμὸν κατὰ τὸ σύνθημα. αἱ τριήρεις δὲ οὔπω παρῆσαν. γενόμεναι γὰρ πρὸς τὸ στόμα τοῦ ποταμοῦ, οἷα φιλεῖ συμβαίνειν, ὑπό τε τῆς θαλάττης καὶ τοῦ ποταμοῦ ἐξωθουμένης τῆς ἰλύος προσχοῦσθαι τὰ κατὰ τὴν εἰσβολὴν, ἠδυνάτουν πρὸς τὴν δίοδον· καὶ μηχανὴ τοῖς ναυάρχοις οὐδεμία ἐξευρίσκετο, ἀλλὰ μόνον ἤχθοντο τοιαύ-

от Византион, а също и събраните оттам коне, настъпи по суша към Верoя, оставяйки младия император в Солун. Във Верoя и преди това бяха поселени немалко трибали от краля, не само войници, но и велможи, между другото и поради удобствата на града, защото нищо не липсваше от това, което прави един град щастлив. А също и поради това, че е голям и има много жители не само обикновен народ, но и войници и немалко знатни. Кралят, като го завзе, изгони повечето от тях или почти всички, и все пак, като се страхуваше от въстание в града, посели немалко войници и някои от приближените си знатни. Той построи две крепости и постави съвсем отделен гарнизон от германци в така наречената царска кула, а другата все още нямаше гарнизон. Защото това не беше крепост, но нещо като малък град в голям град. Като разруши немалко от оградата на предишния град, прегради със стена вътрешната част, събаряйки къщите, и издигна до най-голямата кула още три по-малки. Понеже стените имаха еднаква дебелина между кулите, той направи два реда зъбери, за да се преминава лесно, ако се наложи да отиват от едната в другата кула. А ако се случи крепостта да бъде превзета, все пак стражите не биха били възпрепятствувани от външните и вътрешните неприятели. Но не успя да довърши това толкова голямо укрепление и на кулите все още липсваше съответната височина. Поради споменатите причини много трибали и боеспособна войска прекарваха във Верoя. И тогава поради нападението на императора немалко от жителите по селата се стекоха (в крепостта). Те подозираха, че императорът ще ги нападне и грижливо стояха на стража в града през нощта и през деня. И се приготвиха за отбрана, ако някой ги нападне. Императорът забеляза ясно това и не ги нападна открито, защото знаеше, че не ще може със сила да завладее стените заедно с толкова много хора, но прибягна по-скоро до хитрост. Той вярваше твърде много на жителите, че ще го подпомогнат срещу неприятелите, когато разберат, че е вътре. Те щели да му помогнат във войната. Той прояви голяма съобразителност за да не разберат трибалите, че е потеглил, и според уговореното пристигна до реката. А триерите още ги нямаше. Когато били при устието на реката, те не могли да преминат, понеже, както обикновено става, натрупалата се тиня от морето и реката пречела на преминаването. А наварсите не разполагали с никакви средства, но само съжалявали за пропадналото толкова голямо начинание.

της πράξεως ἀπολλυμένης. ᾔδεσαν γὰρ οὐδὲ βασιλέα χωρὶς αὐτῶν ἐπιστρατεύσοντα Βεῤῥοίᾳ, ἀλλ' ἅμα ἔῳ κατάδηλον γενόμενον, ἀναγκασθήσεσθαι εἰς Θεσσαλονίκην ἀναστρέφειν. βασιλεύς τε ὁμοίως ἠγανάκτει ἐφεστὼς τῷ ποταμῷ, ὅτι μὴ παρῆσαν αἱ τριήρεις· τὴν αἰτίαν δὲ τῆς ἀπολείψεως ἠγνόει. καὶ ἀπόλλυσθαι τοιαύτην πρᾶξιν ὑπενόει καὶ αὐτὸς, εἰ ἐπιγένοιτο ἡμέρα. ἐν ὅσῳ δὲ οἱ ἐν ταῖς τριήρεσι περὶ του ὅ,τι χρὴ πράττειν διηπόρουν, ἀθρόον πλημμυρήσασα ἡ θάλασσα καὶ κυμήνασα ἐπὶ μικρὸν, ἡμέρῳ καὶ προσηνεῖ ῥοθίῳ παρέπεμπε τὰς ναῦς ἐπὶ τὸν ποταμὸν, καὶ ἐν ὀλίγῳ βασιλεῖ συμμίξασαι, διηγοῦντο τὸ κατὰ τὴν διάβασιν, ὥσπερ ἐξαίσιον συμβεβηκός. βασιλεύς τε οὐ κατὰ τύχην, ἀλλὰ προνοίᾳ θείᾳ τὰ τοιαῦτα συνεσκευάσθαι οἰηθεὶς, μᾶλλον ἐπεῤῥώσθη πρὸς τὴν πρᾶξιν, ὡς θεοῦ συναιρομένου· καὶ ᾗ τάχους εἶχε, τούς τε ὁπλίτας καὶ ψιλοὺς καὶ τοὺς βαρβάρους τῶν νεῶν ἐξαγαγὼν, ἐχώρει πρὸς Βέῤῥοιαν σπουδῇ, ἐπὶ τὴν φυλακὴν τῶν νεῶν καταλιπὼν ὅσους ᾤετο ἀρκέσειν. μεταξὺ δὲ πορευομένῳ καὶ ὁ Μαρζελάτος παραγενόμενος, ἐπέσπευδε πρὸς τὴν πορείαν. πάντα γὰρ αὐτῷ ἔφασκεν ηνύσθαι, καὶ τοῖς ἑταίροις ἐπιτετραφέναι τὴν τῆς κλίμακος κατασκευήν. ἐπεὶ δὲ ἦσαν οὐκ ἄπωθεν τῆς πόλεως, βασιλεὺς μὲν αὖθις ἔπεμπε Μαρζελάτον ἰδεῖν, εἰ κατεσκεύαστο ἡ κλίμαξ. ὁ δὲ ἐπαναστρέψας, μηδεμίαν ἔφασκε κατεσκευάσθαι κλίμακα, καὶ πάλιν ὁ βασιλεὺς ἐν ἀπόροις ἦν. οἱ περὶ αὐτὸν δὲ ξύλα τεμόντες ἐκ τῆς λόχμης τῷ τείχει ἰσομήκη· συνεστρατεύοντο γὰρ Βεῤῥοιωτῶν οἱ μάλιστα ἐν λόγῳ ὑπὸ Κράλη φυγαδευθέντες, πρὸς εὐψυχίαν καὶ τόλμαν οὐδενὸς λειπόμενοι τῶν συνόντων βασιλεῖ· οἳ καὶ μάλιστα προθύμως πρὸς πάντα ὑπηρέτουν, καὶ πρὸς τὴν τῆς πατρίδος ἐσπούδαζον κατάληψιν. ἐπειδὴ ἥλων οὐκ εὐπόρουν, τοῖς ἐκ τῆς βασιλικῆς σκηνῆς χρησάμενοι καλωδίοις, κλίμακας κατεσκεύασαν τέτταρας ἐν βραχεῖ, ὁπλῖται δὲ καὶ ἐκ τῶν ψιλῶν ἄραντες αὐτὰς, Βεῤῥοιωτῶν ἡγουμένων μετὰ Μαρζελάτου, τοῖς τείχεσι προσήρεισαν, μηδενὸς εἰδότος τῶν ἔνδον πολιτῶν· καὶ αὐτοὶ ἀνέβαινον πρῶτοι, ἔπειτα καὶ ἐκ τῶν ὁπλιτῶν καὶ τῶν ψιλῶν. βασιλεὺς δ' ἐπεὶ ᾐσθάνετο ἔνδον ὄντας τοὺς οἰκείους, αὐτίκα τὸ στράτευμα διῄρει, καὶ Ῥωμαίους μὲν ἔχων αὐτὸς ἱππέας καὶ πεζοὺς, ἐπὶ τὰς κλίμακας ἐχώρει, τὸ βαρβαρικὸν δὲ μετὰ Ῥωμαίων τῶν ἐπιλοίπων ἐπὶ τὴν ἀκρόπολιν ἐκέλευε χωρεῖν, ὥστε καταπλήττειν πολλαχόθεν προσβαλόντας. οἱ ἔνδον δὲ γενόμενοι στρατιῶται, πρῶτα μὲν φύλαξί τισι περιτυχόν-

Те знаели, че императорът не ще нападне Вероя без тях, но като разбере на разсъмване (положението), ще бъде принуден да се върне в Солун. А императорът, като стоеше при реката, също негодуваше, че триерите ги няма. Той не знаеше причината за тяхното неявяване. И сам той подозираше, че това начинание е загубено, ако настъпи денят. Докато хората в триерите недоумявали какво трябва да правят, настъпил внезапно прилив и слабо развълнувалото се море с кротък и тих шум отнесло корабите в реката и те за кратко време се срещнали с императора. Тогава разказаха как по необикновен начин преминали. Императорът сметна, че това не е станало случайно, а по божия промисъл, и още повече доби вяра в начинанието си, понеже бог помагал. И с най-голяма бързина, като извел от корабите тежко- и лековъоръжените войски и варварите, настъпи към Вероя внимателно, като остави охрана на корабите колкото смяташе, че е достатъчна. Марцелат дойде при потеглящия на поход (император) и го подбуждаше да тръгне. Той му казваше, че е направил всичко и че е възложил на приятелите си да приготвят стълбата. А когато бяха недалеч от града, императорът отново прати Марцелат да види дали стълбата е приготвена. Когато той се върна, каза, че никаква стълба не е приготвена, и императорът отново се оказа в затруднение. Хората около него нарязаха дървета от гората, високи колкото стената. В похода участвуваха най-знатните веройци, прогонени от краля, които не отстъпваха по храброст и мъжество на никого от приближените на императора. И те с най-голямо желание съдействуваха във всичко и усърдно се заеха да си върнат отново родния град. Понеже не стигаха гвоздеи, послужиха си с въжетата от царската палатка, като за кратко време приготвиха четири стълби. Тежковъоръжените и някои от лековъоръжените войници ги вдигнаха и водени от веройците, заедно с Марцелат, го поставиха до стените, без да ги види никой от гражданите вътре. Сами те първи се качиха, а след това (някои от) тежко- и лековъоръжените войници. Когато императорът разбра, че хората му са вътре, веднага раздели войската. Той заедно с ромейските конници и пехотинци потегли към стълбите. А на варварската войска заедно с останалите ромеи заповяда да настъпят към крепостта, та като нападнат от всички страни, да сплашат (гражданите). Когато войниците влязоха вътре, най-напред се натъкнаха на някакви стражи, заловиха ги и им запо-

τες, συνελάμβανον καὶ σιωπᾷν ἐκέλευον, ἢ ἠπείλουν ἀποκτείνειν. ἔπειτα ἐλθόντες ἐπὶ πύλην τὴν Ὀψικκιανὴν προσαγορευομένην, ἑτέροις ἐνέτυχον φύλαξι πολίταις, οὓς ἐκέλευον συμπράττειν σφίσι καὶ καταγνύναι τοὺς μοχλούς· θᾶττον δὲ ἢ λόγος ἐκεῖνοι τὰς πύλας διανοίξαντες, εἰσεδέχοντο βασιλέα. ὁ δὲ, τῶν ἀρίστων ὀλίγους πρὸς ταῖς πύλαις κατασχὼν περὶ αὐτὸν, τοὺς ἄλλους ἔνδον ἐκέλευε χωρεῖν καὶ συμπλέκεσθαι τοῖς πολεμίοις. τοὺς δὲ καὶ μόνοι ἤρκουν διαφθείρειν οἱ ἐγχώριοι. ὡς γὰρ ᾔσθοντο ἔνδον ὄντα βασιλέα, τῆς εὐφημίας πᾶσι ποιούσης δῆλον, ἐπέθεντο αὐτίκα Τριβαλοῖς, καὶ τά τε ὄντα διήρπαζον, καὶ συνελάμβανον εἴ που περιτύχοιέν τινι. οἱ Τριβαλοὶ δὲ ἐπεὶ ᾐσθάνοντο ἑαλωκυῖαν Βέῤῥοιαν, πρῶτα μὲν ἐπὶ τοὺς ἄρχοντας συνέθεον πανταχόθεν ὡπλισμένοι, ὡς ἢ ἀμυνούμενοι, ἂν ἐξῇ, ἢ τὰς πρὸς τῇ ἀκροπόλει πύλας διανοίξαντες ἀποδιδράσκοιεν. τῶν βαρβάρων δὲ ἀλαλαξάντων ἔξωθεν τῆς ἀκροπόλεως, αὐτίκα πᾶσαν ἐλπίδα σωτηρίας ἀπογνόντες, τῶν ἵππων ἀποβαίνοντες, εἰσῄεσαν εἰς τὴν ἀκρόπολιν, παῖδας καὶ γυναῖκας ἔχοντες, τῶν δὲ ἄλλων οὐδένα λόγον ἐποιοῦντο. ὄντων δὲ πολλῶν, (τριάκοντα γὰρ ἦσαν τῶν εὐπατριδῶν ἅμα γυναιξὶ καὶ τέκνοις, οἳ στρατιωτῶν πάντες ἦρχον, στρατιῶται δὲ πεντακόσιοι καὶ χίλιοι,) ἐπεὶ τά τῆς ἀκροπόλεως τείχη καὶ οἱ πύργοι ἦσαν ἀτελεῖς, οἱ μὲν ἄρχοντες ἅμα γυναιξὶ καὶ τέκνοις εἰς ἕνα τῶν πύργων ὕψους ἱκανῶς ἔχοντα εἰσῄεσαν, τὸ δ' ἄλλο τῶν στρατιωτῶν πλῆθος, οἱ μὲν συνελαμβάνοντο αὐτίκα, οἱ δὲ πρὸς τὰς οἰκίας κατεκρύπτοντο παρὰ τοὺς φίλους. οἱ Γερμανοὶ δὲ τὴν ἑτέραν εἶχον ἀκρόπολιν καθ' ἑαυτούς, ἣ πρὸς τῇ Βασιλικῇ καλουμένῃ πύλῃ ἦν· ἄλλο δέ τι πλῆθος ἀχθοφορούντων, ὡς ἐλέγετο ὑπὲρ μυρίους ὄν, ἐκ πάσης τῆς ὑπὸ Κράλην γῆς ἠγμένον ἐπὶ τὴν οἰκοδομὴν τῆς ἀκροπόλεως, ἔξω αὐλιζόμενον τειχῶν, ὡς ᾔσθετο τοὺς βαρβάρους, ἔτι δοκῶν μεγάλων προσερηρεισμένων τοῖς τείχεσιν, ἐπὶ λίθων καὶ τῆς ἄλλης ὕλης ἀνολκὴν δι' αὐτῶν εἰσρυέντες, διεσώθησαν ἐντὸς τῆς πόλεως. ὁ βασιλεὺς δὲ ἐπεὶ ᾔσθετο ἤδη κατὰ κράτος τὴν πόλιν ἐχομένην, ἴη καὶ αὐτὸς πρὸς τὴν ἀκρόπολιν εὐφημούμενος ὑπὸ τῶν πολιτῶν καὶ προπεμπόμενος· γενόμενος δὲ ἐκεῖ, πάντα μὲν εὕρισκεν ὑπό τε τοῦ δήμου καὶ τῆς στρατιᾶς διηρπασμένα· τοὺς βαρβάρους δὲ πέμψας ἐκώλυσε, μὴ εἰσελθεῖν ἐντὸς τῆς πόλεως, ἵνα μή τι ὑπ' αὐτῶν κακουργηθῇ, ὡς πολέμῳ τῆς πόλεως ἑαλωκυίας. ἔπειτα τοῖς Τριβαλοῖς τοῖς ἐν τῷ πύργῳ ἐκέλευεν ἐξιέναι δεξιὰν διδούς, ὡς οὐδὲν παρ' αὐτοῦ πείσονται δεινόν. οἱ δ' αὐτίκα ἐξιόντες προσεκύνουν. πάντες γὰρ τῶν φίλων ἦσαν. Γερμανοὶ δὲ ἀντεῖχον πρὸς τὸν δῆμον καὶ τοὺς ἐκ τῶν τριηρέων ὁπλίτας μα-

вядаха да мълчат и ги заплашиха, че в противен случай ще ги избият. След това те дойдоха до така наречената Опсикианска врата и налетяха на други стражи от граждани, на които наредиха да им съдействуват и да счупят напречните греди на вратите. А те отвориха вратите веднага и пуснаха императора. Той пък задържа при себе си пред вратите някои от най-знатните, а на другите заповяда да влязат навътре и да се сражават с неприятелите. Местните жители и сами бяха достатъчни да ги унищожат. Защото, като узнаха, че императорът е вътре, обхванати всички от ентусиазъм, веднага нападнаха трибалите и разграбиха имуществата, като залавяха всеки срещнат. Когато трибалите разбраха, че Верроя е завзета, най-напред въоръжени се стекоха отвсякъде при началниците, та или да се бранят, ако е възможно, или да избягат, като отворят вратите на крепостта. А понеже варварите извън крепостта нададоха боен вик, те веднага загубиха всяка надежда за спасение. Слязоха от конете, влязоха в крепостта заедно с жените и децата, без да се интересуват от другите. Понеже бяха много (тридесет знатни заедно с жените и децата, всички военачалници, а войниците хиляда и петстотин) и понеже стените и кулите на крепостта бяха недовършени, началниците до един заедно с жените и децата влязоха в една доста висока кула. От останалото множество войници едни бяха пленени веднага, а други се укриха по домовете на приятели. Германците пък сами държаха другата крепост, която беше до така наречената царска врата. Останалото множество работници, за което се говореше, че били над десет хиляди, събрано от цялата земя на краля за строежа на крепостта, което прекарваше извън стените, като се научи за варварите, понеже все още бяха опрени до стените големи греди, изкачи се по тях върху натрупаните камъни и по друг събран материал и така се спаси вътре в града. А императорът, когато научи, че градът е вече окончателно превзет, и сам отиде в крепостта, приветствуван и съпровождан от гражданите. Когато пристигна там, намери всичко разграбено от народа и от войската. Той отпрати варварите и им попречи да влязат в града, за да не бъде опустошен от тях — като завзет по време на война. След това заповяда на трибалите да излязат от кулата, като дал дума, че не ще им стори нищо лошо. А те излязоха веднага и му се поклониха. Защото всички му бяха приятели. А германците се съпротивяваха на народа и на сражаващите се от триерите тежковъоръжени

χομένους ἄχρις οὗ βασιλεὺς ἐγένετο καὶ πρὸς αὐτούς. αὐτίκα δὲ καὶ αὐτοὶ ἐκλιπόντες τὴν ἀκρόπολιν προσεχώρουν. ἦσαν δὲ ἐκεῖνοι, οἳ μετὰ βασιλέως, ὅτε πρὸς Βέῤῥοιαν τὸ πρῶτον ἧκε, Κράλη προστάττοντος, συνεστρατεύοντο, οἷς ὁ βασιλεὺς μεγάλας ᾔδει χάριτας τῆς εἰς αὐτὸν εὐνοίας τότε. οὐ γὰρ ὑπέμειναν, καίτοι ὑπὸ Κράλη κελευόμενοι, ἐκλιπεῖν αὐτὸν ἐν Θεσσαλονίκῃ στρατευόμενον, ἀλλά, καίτοι πολλῶν κινδύνων περισχόντων, ὅμως ἄχρι Βεῤῥοίας εἵποντο προθύμως. δι' ἃ αὐτοῖς ὁ βασιλεύς, καίτοι αἰχμαλώτοις γεγενημένοις, ἡμέρως ἐχρήσατο καὶ προσηνῶς, καὶ ὅπλα παρασχόμενος καὶ ἵππους, ἔτι δὲ καὶ ἀργύριον προσθείς, ἀπέπεμπεν ἐπὶ Κράλην. τοὺς δὲ ἄλλους στρατιώτας ἅπαντας πλὴν τριάκοντα τῶν ἀρχόντων· ἠμφιεσμένους ἐκέλευε πεζῇ ἀναχωρεῖν εἰς τὴν οἰκίαν. οἱ γὰρ ἵπποι διηρπάσθησαν ὑπὸ τῆς στρατιᾶς. καὶ τὸ ἄλλο πλῆθος ἅπαν τὸ ἀχθοφορικὸν οἱ στρατιῶται μακρὰν τῆς πόλεως ἀπαγαγόντες, ἀπέλυον, κελεύσαντος βασιλέως, ἵνα μὴ ὑπὸ τῶν βαρβάρων διαρπασθῶσιν. οἱ τριάκοντα δέ, βασιλέως ἐντίμως βουλομένου ἀπολύειν, ἐδεήθησαν κατέχεσθαι, ἵνα μὴ πρὸς τὸν σφέτερον δυνάστην διαβληθῶσιν, ὡς τὰ βασιλέως ᾑρημένοι, καὶ ἑκόντες ὄντες δόξωσι σφᾶς τε παραδεδωκέναι καὶ τὴν πόλιν. μετὰ μικρὸν δὲ οἱ μὲν ἀπῄεσαν εἰς τὰς οἰκίας, βασιλέως ἐπιτρέποντος, οἱ δ' ἐδόκουν διαδιδράσκειν· ἔνιοι δὲ αὐτῶν ἀχθέντες εἰς Θεσσαλονίκην, ἐκεῖθεν ἀπεδίδρασκον. οὐ γὰρ ἐν δεσμωτηρίοις κατεκλείοντο, ἀλλ' ἐν μοναστηρίοις ἄδετοι μόνον ἐφρουροῦντο. τοιαῦτα μὲν τὰ πρὸς Βέῤῥοιαν συνηνέχθη κρείττω πάσης ἐλπίδος εὐτυχηκότος βασιλέως, καὶ ἐν ἡμέρᾳ μιᾷ τοσούτων πολεμίων ἀναιμωτὶ κυρίου γεγενημένου. τέθνηκε γὰρ οὐδεὶς οὔτε Ῥωμαίων, οὔτε Τριβαλῶν πλὴν ἑνὸς βαρβάρου, κἀκείνου, ὡς ἐλέγετο, ὑπὸ Ῥωμαίων ἀνῃρημένου. οἱ βάρβαροι δὲ ἐπεὶ ἐκ τῆς ἁλώσεως τῆς πόλεως οὐδὲν ἀπώναντο, (οὐ γὰρ εἴασεν ὁ βασιλεὺς ἐντὸς γενέσθαι,) τὴν ὑποκειμένην Κράλῃ χώραν ἐδεήθησαν καταδραμεῖν, καὶ βασιλέως ἐπιτρέψαντος, κατέδραμόν τε, καὶ λείαν ἤλασαν πολλὴν μάλιστα ἐκ βοσκημάτων, ἀνθρώπων δὲ ὀλίγων. συνηρεφοῦς γὰρ ὄντος τοῦ τόπου καὶ λοχμώδους, ῥᾳδίως διεδίδρασκον.

(III, pp. 118_{22}—126_{24})

IV, 19. Βασιλεὺς δὲ ἐπεὶ τὰ κατὰ Βέῤῥοιαν ᾗ ἐβούλετο διῴκει, Ἐδέσσῃ ἐπεστράτευσε, πλείους ἄγων, ἢ Βεῤῥοίᾳ ἐπιών. οὐκ ὀλίγοι γὰρ πρὸς τοῖς οὖσι συνείποντο καὶ ἐκ Βεῤῥοίας. οὐ μέντοι τοσοῦτον πρὸς τὴν αἵρεσιν τῆς πόλεως ἐθάῤῥει τῇ συνούσῃ στρατιᾷ, ὅσον Ἐδεσσηνῶν τοῖς δυνατοῖς, οὓς ᾤετο αὐτίκα προσχωρήσειν καὶ τὸν ἄλλον δῆμον πείσαντας.

войници, докато императорът не дойде и при тях. Веднага и те напуснаха крепостта и се предадоха. А те бяха онези, които по заповед на краля воюваха на страната на императора, когато пристигна най-напред във Вероя. На тях императорът благодари много за благоразположението им тогава към него. Защото те, макар кралят да им наредил, не се решиха да го напуснат в похода му срещу Солун, но го следваха с желание до Вероя, макар да се изложиха на много опасности. Поради това императорът, макар че бяха пленници, се отнесе с тях добре и благосклонно, даде им оръжие и коне, а също и пари, и ги отпрати при краля. На всички останали войници, освен тридесетте началници, заповяда да се върнат пеша с облеклото в родината си. Защото конете бяха задигнати от войската. Войниците по заповед на императора пуснаха на свобода цялото останало множество работници далеч извън града, за да не бъдат ограбени от варварите. Понеже императорът искаше да отпрати с чест тридесетте (трибали), те молеха да ги задържи, за да не бъдат ругани при своя владетел, понеже били минали на страната на императора и са предали доброволно града и себе си. След малко едни с разрешение на императора отидоха по домовете си, други решиха да бягат, а някои от тях, заведени до Солун, избягаха оттам. Защото не били поставени в затвори, но без окови, само под стража в манастира. Това се случи във Вероя, като успехът му надмина всяко очакване, и в един ден покори толкова много неприятели без кръв. Наистина нито един от ромеите не загина, нито от трибалите освен един варварин, и то, както се говореше, беше погубен от ромеи. Понеже варварите не спечелиха нищо от завладяването на града (императорът не им позволи да останат вътре), те помолиха да опустошат подчинената на краля земя и с разрешение на императора я опустошиха, като отвлякоха много плячка, най-вече добитък и малко хора. Понеже мястото беше сенчесто и гористо, те лесно избягаха.

IV, 19. След като уреди нещата във Вероя според желанието си, императорът се отправи на поход за Едеса с войска, по-голяма от тази, с която беше дошъл във Вероя. Защото към тях се присъединиха и немалко от Вероя. Наистина при превземането на града той се осланяше не толкова на наличната войска, колкото на знатните едесчани, които той мислеше, че веднага ще минат на негова страна, като склонят и останалия народ. Те напраοἱ δὲ τοὐναντίον ἅπαν ὤφθησαν, ἤπερ ᾤετο ὁ βασιλεύς. οὐ μόνον γὰρ αὐτοὶ πολέμιοι ἦσαν φανερῶς, ἀλλὰ καὶ τὸν δῆμον ἔπειθον, ἑστῶτές τε ἀπὸ τῶν τειχῶν ἀπέσκωπτον εἰς βασιλέα, πολλὴν αὐτοῦ φάσκοντες καταγινώσκειν ἀπειρίαν, εἰ Κράλη μετὰ πολλαπλασίου στρατιᾶς ἐν ἑκκαίδεκα ἔτεσι πολιορκοῦντος καὶ πλέον οὐδὲν ἀνύειν δυνηθέντος ἐκ τῶν ὅπλων, εἰ μὴ ἑκόντες προσεχώρουν, αὐτὸς ἤλπισεν ἐν βραχεῖ περιγενήσεσθαι τοσούτους ἄγων. βασιλεὺς δὲ ἤχθετο μὲν πρὸς τὴν ἀποτυχίαν τῆς πόλεως· αὐτίκα τε ἀπεγίνωσκε τὸ τειχομαχεῖν οὐ μόνον διὰ τὴν φυσικὴν ὀχυρότητα τῆς πόλεως καὶ τὴν ἐκ τῶν τειχῶν, (ὑπὲρ ἥμισυ γὰρ ὕδασι περικλυζομένη, ἀπρόσιτός ἐστι πολεμίοις διὰ τὴν λίμνην· τὸ δὲ ἐπίλοιπον τείχεσιν ὀχυρωτάτοις καὶ πύργοις μεγάλοις, ἔστι δ' ὅπου καὶ κρημνοῖς καὶ φάραγξιν ἀβάτοις περιέχεται,) ἀλλ' ὅτι καὶ στρατιὰ οὐκ ὀλίγη ἦν ἐκ Τριβαλῶν ἐγκαθιδρυμένη πρὸς τῇ πόλει φρουρᾶς ἕνεκα, ὧν ἦρχον τέτταρες τῶν παρ' αὐτοῖς ἐπιφανῶν, οἷς συνηγωνίζοντο προθύμως καὶ τῶν πολιτῶν οἱ δυνατοί. ὅμως ἐδόκει τὴν νύκτα αὐτοῦ αὐλισαμένους, εἰς τὴν ὑστεραίαν ἀναχωρεῖν, καὶ μὴ τρίβειν τὸν καιρὸν ἐπιχειροῦντας ἀδυνάτοις. τὰ ἴσα δὲ καὶ τοῖς ἐν τέλει Ῥωμαίων ἐδόκει πᾶσι καὶ τῆς στρατιᾶς τοῖς ἡγεμόσιν. ἀδύνατον γὰρ κἀκεῖνοι ὑπενόουν τειχομαχίᾳ τὴν λῆψιν τῆς πόλεως, ὅσον ἐκ τῆς κατὰ τὰς μάχας πείρας. νυκτὸς δὲ ἐκ τῶν ὁπλιτῶν τινες, οἳ εἵποντο βασιλεῖ ἐκ τῶν τριηρέων, προσελθόντες ἐπυνθάνοντο βασιλέως, εἴ τι σκέπτοιτο περὶ τῆς πόλεως. τοῦ βασιλέως δὲ πρὸς εἰρωνείαν ἐρομένου, τί δ' ἂν αὐτοῖς δοκοίη βέλτιον, ἀποπειρᾶσθαι τῶν τειχῶν, ἢ ἀναχωρεῖν, αὐτοὶ μάχεσθαι παρῄνουν καὶ ἐδέοντο, μὴ διὰ τὴν Ἐδεσσηνῶν ἀγνωμοσύνην ἀπολιπεῖν τὴν πόλιν ὅπλοις ἁλίσκεσθαι οὖσαν δυνατήν. αὐτοί τε ἐπηγγέλλοντο προθύμως ἀγωνιεῖσθαι, καὶ τοὺς ἄλλους τριηρίτας παρέξειν πείσαντες. αὐτίκα τε ἐφαίνετο καὶ βασιλεῖ βέλτιστα τοὺς ὁπλίτας παραινεῖν καὶ ἐπένευε πρὸς τὴν τειχομαχίαν, ἐκέλευέ τε τοῖς μὲν ὁπλίταις κλίμακας κατασκευάζειν, τοῖς δὲ ἡγεμόσι τῆς στρατιᾶς ἅμα ἕῳ ἐφοπλίζειν, ὡς τειχομαχήσοντας, τὴν στρατιάν. ἐπεὶ δὲ ἡμέρα ἤδη ἦν, διέταττε τὴν στρατιάν, καὶ τὸ μὲν βαρβαρικὸν τοῖς κατὰ τὴν λίμνην τείχεσιν ἐφίστη, ὅθεν ἦν ἀδύνατον ἑλεῖν, ἵν', εἰ καὶ ἁλῶναι Ἔδεσσαν συμβαίη, μὴ ἔχοιεν οἱ βάρβαροι, ὅθεν εἰσελθόντες ἀποκτείνοιέν τινας· αὐτὸς δὲ τὸ κράτιστον ἔχων τῶν ὁπλιτῶν μετὰ τῶν εὐπατριδῶν, πρὸς τὴν ἀκρόπολιν ἀντικαθίστατο, ὅθεν τείχη τε ἦσαν καρτερώτατα, καὶ Τριβαλῶν καὶ τῶν Ἐδεσσηνῶν τὸ κράτιστον ἐφρούρει· τοὺς δὲ ἄλλους

виха точно обратното на това, което императорът мислеше. Защото бяха не само открити неприятели, но склониха и народа. Те гледаха императора от стените и го упрекваха, казвайки, че е много неопитен, щом като кралят с толкова голяма войска ги е обсаждал шестнадесет години, без да може да постигне нещо с оръжието, ако те доброволно не били минали на негова страна, а той за кратко време се надявал. че ще ги надвие с толкова войска. Императорът беше огорчен за неуспеха си срещу града. Той веднага се отказа от нападението срещу стените не само защото градът беше естествено укрепен (повече от половината беше заобиколен с вода и беше недостъпен за неприятелите поради блатото. Останалата част от града бе оградена с твърде здрави стени и големи кули, с високи и непроходими ровове), а и бе оставено немалко войска от трибали за гарнизон на града, командувана от четирима от знатните сред тях, на които с желание помагали и знатните граждани. Все пак той реши, след като прекараха нощта там, на следния ден да се оттеглят и да не си губят времето с невъзможни неща. Знатните ромеи и началниците на войската решиха също. Защото и те подозираха, че е невъзможно превземането на града с нападение на стените, колкото и да имали опит в сраженията. А през нощта някои тежковъоръжени войници, които следваха императора от триерите, се приближиха и го попитаха какви намерения има за града. Когато императорът попита на шега, какво мислят те, че е по-добре: да се опитат ли да превземат стените или да отстъпят, те го подканиха и настояваха да се сражават и поради вероломството на едесчани да не изоставят града, който може да бъде завзет с оръжие. Те казаха, че ще се сражават на драго сърце, като убедят и другите войници от триерите. Императорът веднага реши, че е най-добре да окуражи тежковъоръжените войници да приготвят стълби, а на началниците да въоръжат на разсъмване войската, за да се сражават. Когато настъпи денят, той разпредели войската и постави варварската до стените край блатото, откъдето бе невъзможно да го завземат, та, ако се случи Едеса да падне, варварите да не могат да влязат оттам и да избият някои хора. А сам с най-силната част от тежковъоръжените войници, заедно със знатните се разположи срещу крепостта, където стените бяха най-здрави, и ги пазеше найдобрата част от войската на трибали и едесчани. Останалите началници с войскиἡγεμόνας μετὰ τῶν ταγμάτων τοῖς λοιποῖς τείχεσιν, ὡς ἕκαστος ἔτυχεν, ἀντικαθίστη, καὶ ἤρχοντο τειχομαχίας ἀρχομένης εὐθὺς ἡμέρας· ἐγένετο δὲ καρτερωτάτη ἄχρι μέσης ἀνενδότως. οἵ τε γὰρ ἔνδοθεν ἀπὸ τῶν τειχῶν ἠμύνοντο καρτερῶς, καὶ οἱ ἔξωθεν τόλμης ἔργα καὶ ἀνδρίας ἐπεδείκνυντο θαυμαστὰ, μάλιστα δὲ οἱ ὁπλῖται καὶ οἱ ἀπὸ τῶν τριηρέων ψιλοὶ ἠφείδουν ἑαυτῶν. ὁ βασιλεὺς γὰρ ἐκήρυξε τῷ πρώτως ἀναθέντι τοῖς τείχεσι σημαίαν τέτταρας μνᾶς ἀριστεῖον ἔσεσθαι χρυσίου, τρεῖς δὲ τῷ μετ' ἐκεῖνον ἀναβάντι, καὶ τῷ τρίτῳ δύο μετ' αὐτούς. κατὰ μέσην δὲ ἡμέραν, πολλῶν ἀπὸ τῶν ἔνδοθεν ἀμυνομένων τραυματιῶν γενομένων, ἐνίων δὲ καὶ ἀποθανόντων, τάς τε κλίμακας προσήρεισαν τοῖς τείχεσιν, ἀδρανῶς ἤδη τῶν ἔνδοθεν ἀμυνομένων, καὶ τῇ πύλῃ τῆς ἀκροπόλεως πῦρ ὑφῆπτον· δαπανηθείσης δὲ, ἐκεῖθέν τε καὶ ἀπὸ τῶν κλιμάκων εἰσεχέοντο, καὶ εἴχετο ἡ πόλις τοῦτο δὴ τὸ λεγόμενον κατάκρας. καὶ ὁ βασιλεὺς, ἐπεὶ κατ' αὐτὸν ἐγένετο ἡ ἅλωσις, ἔνδον γενόμενος, οὐκ εἴα ἀτακτεῖν τοὺς στρατιώτας, πλὴν τῶν πρώτως εἰσελθόντων τινὰ μικρὰ ὠφεληθέντων· ἀπέθανε μέντοι ἐκ τῶν μετὰ βασιλέως Ῥωμαίων ἢ βαρβάρων οὐδὲ εἷς· τραυματίαι δὲ ἐγένοντο πολλοί. μετὰ δὲ τὴν ἅλωσιν ὁ βασιλεὺς τοὺς στρατιώτας, ὅσοι ἦσαν Τριβαλοὶ, ἀπέλυσε πρὸς τὴν οἰκίαν ἄνευ ἵππων. τέτταρας δὲ τοὺς ἡγεμόνας εἶχεν ἐν φρουρᾷ, καὶ τῶν πολιτῶν τοὺς τὰ Κράλη ᾑρημένους ἐξήλασε τῆς πόλεως· φρουράν τε πρὸς τὴν ἄκραν διακοσίους ὁπλίτας καὶ ψιλοὺς καταλιπὼν καὶ ἡγεμόνα τῇ πόλει Λυζικὸν Γεώργιον, κράτιστον δοκοῦντα τὰ πολέμια καὶ συνετὸν, εἰς Βέῤῥοιαν ἐπανῄει. προσεχώρουν δὲ καὶ ἀμαχεὶ τὰ περὶ Ἔδεσσαν καὶ Βέῤῥοιαν φρούρια καὶ αἱ πολίχναι, τά τε Σταρίδολα λεγόμενον καὶ ἡ Πέτρα καὶ ὁ Σωσκὸς καὶ ἡ Δεύρη, ἔτι τε ὁ Ὄστροβὸς καὶ τὰ Νότια· καὶ ἐκ τῶν Θετταλίας πολιχνίων τὸ Λυκοστόμιον λεγόμενον καὶ τὸ Καστρίον. ἀναπαύλης δὲ μικρᾶς τινος ὁ βασιλεὺς ἀξιώσας τὴν στρατιὰν, ἐξεστράτευσεν αὖθις κατὰ Σερβίων. πόλις δὲ ταῦτα οὐ μικρὰ, ἐν μεθορίοις Βοττιαίας κειμένη καὶ Θετταλίας· ἧς ἦρχε μετὰ τῆς ἄλλης Θετταλίας Πρεάλιμπος τῶν παρὰ Κράλη δυνατῶν, ὃς μάλιστα ἐδόκει συνέσει καὶ εὐτολμίᾳ καὶ τῇ περὶ τὰ πολέμια τῶν ἄλλων προέχειν ἐμπειρίᾳ. κεῖται δὲ ἡ πόλις ἐκείνη ἐπί τινος ἀνάντους τοῦ ὄρους προβολῆς εὐθὺς ἐξαρχῆς αὐτὴ ἑαυτῆς μετεωροτέρα φαινομένη καὶ οὖσα προϊόντι. ἐπ' αὐτήν τε τὴν ἀκρώρειαν καταλήγει τρισὶ διατειχίσμασι διῃρη-

те той постави при другите стени, кой както се случи. И започнаха битката за стените веднага след разсъмване. Завърза се твърде тежко сражение без прекъсване, до пладне. Защитниците се бранеха упорито от стените, а нападателите показаха чудни примери на мъжество и храброст, най-вече тежковъоръжените войници и лековъоръжените от триерите не се щадели. Императорът съобщи, че ще даде като награда четири мини злато на първия, който постави знаме на стените, три на втория след него, и на третия след тях две. По средата на деня, когато мнозина от защитниците бяха ранени, а някои и умрели, те поставиха стълбите на стените, тъй като защитниците вече слабо се бранеха, и хвърлиха огън в кулата на крепостта. След като кулата беше опустошена, те нахлуха оттам и по стълбите и градът бе завзет, така да се каже, напълно. И императорът, тъй като превземането на града стана в негово присъствие, влезе вътре и не позволи войниците да нарушават дисциплината освен влезлите най-напред, които получиха някаква малка облага. Не загина нито един от ромеите около императора и от варварите. Мнозина обаче бяха наранени. След превземането императорът отпрати колкото имаше трибали войници в родината им без коне. А четиримата началници задържа под стража и изгони от града гражданите, които държаха страната на краля. Като остави в крепостта двеста тежко- и лековъоръжени войници за гарнизон, а за началник на града Георги Лизик, който изглеждаше най-опитен и мъдър във военните работи, той се върна във Вероя. На негова страна минаха без бой и крепостите, и градчетата около Едеса и Вероя, така нареченото Старидол, Петра[329], Соск[330] и Деври[331], още Острово[332] и Нотиа[333]. И от градчетата на Тесалия така нареченото Ликостомион и Кастрион. Като даде кратък отдих на войската, императорът отново потегли срещу Сервия. Този град не бе малък, разположен бе в пограничните области на Беотия и Тесалия. Управляваше го заедно с цяла Тесалия Прелюб, един от велможите на краля. По разум, храброст и опит във военното дело той превъзхождаше всички други. Този град е разположен на една висока планина, устремена нагоре, и на минаващия покрай града изглеждаше, че е по-високо от планината. Разположен е на самия хребет, разделен с три стени, та отвън изглеждаше, μένη, ὡς δοκεῖν ἔξωθεν τρεῖς εἶναι πόλεις κειμένας ἐπαλλήλους. ἑκατέρωθέν τε φάραγγας περιβέβληται βαθείας. τὸ δ' ἀπὸ τῆς πόλεως ἄχρι τοῦ ἐπιπέδου καὶ τῶν φαράγγων, ὅσον μάλιστα οἰκεῖσθαι ἐπιδέχεται, οἰκιῶν πεπλήρωται καὶ ἀνθρώπων οὐ τῶν πολλῶν μόνον, ἀλλὰ καὶ τῶν ἀρίστων ἐκ τῶν πολιτῶν καὶ ἐκ τῶν στρατιωτῶν, οἳ ἦσαν ἐγχώριοι πολλοί τε καὶ ἀγαθοί· ἥ τε πόλις, ἐπαλλήλους τὰς οἰκίας ἔχουσα διὰ τὴν ἀπὸ τοῦ τόπου θέσιν, ὀλίγας ἔχειν δοκεῖ οἰκίας πολυορόφους. οἰκεῖται δὲ τὰ μὲν δύο τμήματα ὑπὸ τῶν πολιτῶν· τὸ δὲ τρίτον, ἄκρα ὄν, τῷ ἄρχοντι ἀνεῖται. ἔστι δὲ δυσπρόσοδος πανταχόθεν, καὶ οὐ πάνυ ῥᾳδία πρὸς τειχομαχίαν. ᾗ ὁ Πρεάλιμπος ἐνδιατρίβων, τάφρων μὲν οὐκ ἐδεήθη, οὐδέ τινος πρὸς ὀχυρότητα σπουδῆς· ἤρκει γὰρ ἡ προσοῦσα φύσει· τοῖς πολίταις δὲ καὶ πάνυ ἀπιστῶν, τῶν μὲν τὴν πόλιν οἰκούντων παῖδας καὶ χρήματα καὶ γυναῖκας εἰς τὸ δεύτερον διατείχισμα ἀνελάμβανε, τοὺς ἄνδρας δὲ πάντας ἐξήλαυνεν ἐπὶ τὸ τρίτον, καὶ ἐκέλευεν ἀμύνεσθαι βασιλέα ἐπιόντα ὑπὲρ σφῶν αὐτῶν καὶ τέκνων· αὐτὸς δὲ τὴν ἄκραν κατεῖχε, καὶ τῷ δευτέρῳ διατειχίσματι, ἐν ᾧ αἱ γυναῖκες καὶ οἱ παῖδες ἦσαν, φρουρὰν ἐπέστησε Τριβαλικήν. συνῆσαν γὰρ αὐτῷ ὑπὲρ πεντακοσίους, ὡς ἐλέγετο. τοὺς μέντοι τῶν τειχῶν οἰκοῦντας ἔξω οὔτ' αὐτοὺς εἴα εἰς τὴν πόλιν εἰσιέναι, οὔτε παῖδας εἰσεδέχετο καὶ γυναῖκας, ἀλλ' ἐκέλευε πρὸ τῶν οἰκιῶν ἑστῶτας μάχεσθαι, δυσπροσόδου ὄντος τοῦ χωρίου καὶ χαλεπωτάτου τοῖς ἐπιοῦσιν. οὕτω μὲν οὖν ἐκεῖνος παρεσκεύαστο πρὸς τὴν πολιορκίαν. ἐλέγετο δὲ καὶ ὡς ἄκων κατασχεθείη πρὸς τῇ πόλει. μᾶλλον γὰρ ἐβούλετο φυγομαχεῖν ἐπὶ τὰς τῆς Θετταλίας πόλεις. οἱ συνόντες δὲ παρῄνουν μὴ τὴν πόλιν ἐκλιπεῖν, ὡς, εἰ ταύτης περιγένοιτο, καὶ Θετταλίαν πᾶσαν καθέξοντος βασιλέως ἀσφαλῶς. οἷς πειθόμενος ὑπέμεινε τὴν πολιορκίαν. βασιλεὺς δὲ ἐπεὶ ἐγγὺς τῆς πόλεως ἐστρατοπεδεύετο, πρῶτα μὲν ἐπὶ λεηλασίαν ἔπεμπε τὴν στρατιὰν, ὀλίγους ἐν τῷ στρατοπέδῳ κατασχών· καὶ ἔκ τε αὐτῶν Σερβίων καὶ τῶν περικειμένων κωμῶν πολλὴν λείαν ἄγοντες ἐπανῆκον Ῥωμαῖοί τε καὶ βάρβαροι ὁμοίως. ἔπειτα ἐγγύτερον γενόμενοι παρεσκευάζοντο πρὸς τὴν τειχομαχίαν. οἱ ἐπὶ τῆς ἔξω δὲ Σερβίων συνοικίας, τήν τε βασιλέως δεδοικότες ἔφοδον, καὶ τῶν Τριβαλῶν εἰς τὴν πόλιν οὐ προσδεχομένων, ἄλλως τε καὶ τὰ βασιλέως μᾶλλον ᾑρημένοι, κοινῇ τε πάντες ἐκ συνθήματος προσεχώρουν βασιλεῖ, καὶ τὴν στρατιὰν ἐδέχοντο καὶ ἐξένιζον ἐπὶ τῶν οἰκιῶν. οἱ δὲ ἔνδον καὶ αὐτοὶ μὲν τὰ βασιλέως μάλιστα ᾑροῦντο, ἐχομένων δὲ τῶν παίδων καὶ τῶν γυναικῶν, ἀναγκαίως προσεῖχον Τριβαλοῖς.

---

[329] Старидол и Петра, крепости в Югозападна Македония. [330] Соск, дн. село Съботско, Мъгленско. [331] Деври, дн. Дебър. [332] Острово, градче на запад от Воден. [333] Нотиа, дн. село Нъте, Мъгленско.

че има три града един до друг. От двете страни е заобиколен с дълбоки ровове. Мястото от града до равнината и рововете, което можеше да се обитава най-добре, бе изпълнено с къщи и хора не само от простолюдието, но и от знатните граждани и от много местни войници. Градът, чиито къщи бяха една до друга поради характера на мястото, изглеждаше, че има малко къщи с много покриви. Гражданите населяваха две части, а третата, крепостта, оставаше за началника. Градът беше непристъпен отвсякъде и не беше лесно да се нападнат стените. Прелюб, който се намираше в него, не се нуждаеше от ровове или от някаква грижа да го укрепява. Даденото от природата бе достатъчно. И не вярвайки много на гражданите, той отдели децата, имуществата и жените на обитателите на града във втората част, а всички мъже отведе в третата и (им) заповяда да бранят себе си и децата си от императора, който настъпвал. Сам той държеше крепостта и постави гарнизон от трибали във втората крепост, в която бяха жените и децата. Както се говореше, той имаше над петстотин души (трибали). На обитателите извън стените той не позволяваше нито те да влизат в града, нито да приемат деца и жени, но им заповяда да стоят пред домовете си и да се сражават, понеже мястото бе труднопроходимо и недостъпно за нападателите. Така се беше приготвил той за обсадата. Говореше се, че той бил оставен в града против волята му. Предпочиташе да избегне сражението, като се оттегли към градовете на Тесалия. Привържениците му обаче го насърчаваха да не напуска града, понеже ако императорът го завладее, той щял да завземе сигурно и цяла Тесалия. Те го убедиха и той изчака обсадата. Когато императорът се разположи на лагер близо до града, най-напред прати войската да плячкосва, като остави малцина в лагера. Ромеите, а също и варварите се върнаха, карайки много плячка от самата Сервия и от околните села. После, когато се придвижиха, те се подготвиха за нападение на стените. Жителите пък извън Сервия, страхувайки се от нападението на императора, понеже трибалите не ги приемаха в града, а освен това и тъй като държаха повече за императора, всички вкупом единодушно минаха на страната на императора, като приеха и посрещнаха войниците като гости по домовете си. А тия, които бяха вътре, държаха повече страната на императора, понеже жените и децата им били задържани от трибалите. На треεἰς τρίτην δὲ ἡμέραν παρασκευασάμενοι ἐτειχομάχουν, καὶ τῶν ἐγχωρίων μάλιστα ἐφελκομένων καὶ οὐκ ἀδύνατον ἐπαγγελλομένων τὴν παράληψιν. ἐπεὶ δὲ οὐ πανταχόθεν ἐξῆν προσβάλλειν ἀποκρότων ὡς ἐπιπλεῖστον καὶ σκληρῶν τῶν τόπων ὄντων, ἔνθα μάλιστα ἐξῆν προσβαίνειν τὸ κράτιστον τῶν τοξοτῶν ἐπιστήσας ὁ βασιλεὺς, ἐκέλευε τοῖς τόξοις χρῆσθαι καὶ ἀνείργειν τοὺς ἀμυνομένους. ἄλλοι δὲ ἀσπίδας ὑποδύντες προσέβαλλόν τε τοῖς τείχεσι καὶ διώρυττον. ἔτυχε δὲ τὸ διόρυγμα ἐντὸς οἰκίας εἶναι κενῆς ἀνθρώπων· ἐπεὶ δὲ ἤδη διορώρυκτο, καὶ ἔμελλον εἰσιέναι, ἡ τῆς οἰκίας δεσπόζουσα ἐκείνης κατὰ τύχην εἰσελθοῦσα καὶ ἁλισκομένην τὴν πόλιν αἰσθομένη, βοῇ τε ἐχρῆτο καὶ συνεκάλει τοὺς ἀμυνομένους. οἱ δὲ παρῆσαν ἅμα τῷ αἰσθέσθαι, καὶ τοὺς διορύττοντας βάλλοντες, ἀφίστων τῶν τειχῶν. ἅμα δὲ καὶ ὄμβρων ῥαγδαίων ἐπενηνεγμένων ἐν αὐτῇ μάλιστα τῆς μάχης τῇ ἀκμῇ, ἥ τε ἄλλη στρατιὰ ἐπέπαυτο καὶ ἀνεχώρει πρὸς τὸ στρατόπεδον, οὐ δυναμένη πρός τε ὄμβρους ὁμοῦ καὶ πολεμίους μάχεσθαι ἀσφαλῶς ἑστῶτας ἐπὶ τῶν τειχῶν, αὐτοὶ διολισθαίνοντες τὰ πολλὰ πρὸς τὸν πηλόν. καὶ ὁ βασιλεὺς ἐπεὶ διημάρτανε τῆς πόλεως πρὸς τὴν πρώτην ἐπιχείρησιν, τότε βιάζεσθαι τοῖς ὅπλοις ἀπογνοὺς, καὶ πρὸς τὸ πολιορκεῖν διὰ τοὺς ὄμβρους καὶ τὸν χειμῶνα ἀδυνάτως ἔχων, αὖθις ἀνέστρεψεν εἰς Βέῤῥοιαν· εἵποντο δὲ καὶ οἱ ἐκ τῆς ἔξω Σερβίων συνοικίας πλὴν ὀλίγων πάντες, ὅσοι μάλιστα ἐν λόγῳ ἦσαν, ἅμα γυναιξὶ καὶ τέκνοις, ὀλίγα ἔχοντες ἐκ τῆς οὐσίας, ὅσα φέρειν ἦσαν δυνατοί, οὐ μόνον διὰ τὴν πρὸς βασιλέα εὔνοιαν, ἀλλ’ ὅτι καὶ ἐκ Τριβαλῶν οὐδὲν διὰ τὴν ἀποστασίαν ἤλπισαν ἐπιεικὲς, εἰ γένοιντο ἐπ’ αὐτοῖς. ἔτι δὲ ἐν Βεῤῥοίᾳ βασιλέως διατρίβοντος, ἐκ τῶν μάλιστα ἐπισήμων πόλεων αἳ Ῥωμαίων μὲν ἦσαν ὑπήκοοι τὸ ἀρχαῖον, χρόνον δὲ ἐδούλευσαν οὐκ ὀλίγον Τριβαλοῖς, ἧκον διαλεγόμενοι κρύφα καὶ δεόμενοι ἥκειν παρ’ αὐτοὺς, ὡς εἰσδεξόμενοι ἐκβαλόντες Τριβαλούς. οὐ μόνον δὲ ἐκ τῶν ἄλλων, ἀλλὰ καὶ ἐξ αὐτῆς Σκοπιᾶς, ἣ δοκεῖ βασίλεια Κράλη εἶναι ἀπὸ τοῦ βασιλέως τοῦ πρώτου τῶν Παλαιολόγων Μιχαὴλ τῆς Ῥωμαίων ἀρχῆς ἐκτετμημένη, πρέσβεις ἧκον ἀναφανδὸν ἀπὸ τῆς πόλεως κοινῇ βασιλέα καλοῦντες ἥκειν ἐπ’ αὐτοὺς, ὡς παραδώσοντες τὴν πόλιν. ὁ Κράλης γὰρ ἐπὶ Παίονας ἐστρα-

тия ден, след като се приготвиха, започнаха да нападат стените, понеже местните хора бяха напълно на тяхна страна и защото казваха, че превземането не е невъзможно. Понеже бе невъзможно да нападат отвсякъде, тъй като местата бяха твърде каменисти и неравни, императорът постави най-добрите стрелци там, където имаше най-голяма възможност да се приближат, заповяда да си послужат с лъковете и да пречат на защитниците. А други, като се криеха зад щитовете, приближаваха стените и ги подкопаваха. При подкопаването попаднаха в една къща, в която нямаше хора. Когато вече прокопаха и възнамеряваха да влязат, стопанката на този дом случайно влезе и като разбра, че превземат града, развика се и призова защитниците. Щом чуха, те веднага пристигнаха и като обстрелваха тия, които подкопаваха, прогониха ги от стените. В разгара на сражението се изляха проливни дъждове и затова останалата войска прекрати сражението и се върна в лагера, без да може да противостои едновременно на дъждовете и на неприятелите, които здраво стояха по стените, а те се плъзгаха много в калта. Императорът не сполучи при първото нападение на града и затова се отказа да действува със силата на оръжието и понеже не бе в състояние да пристъпи към обсада поради дъждовете и зимата, отново се върна във Верoя. Последваха го освен малцина всички най-знатни от извънградските поселения на Сервия с жените и децата си, с малко имущество, колкото можеха да носят. (Те го следваха) не само поради благоразположението си към императора, но и понеже не очакваха нищо добро поради отмятането си от трибалите, ако останат при тях. Докато императорът все още беше във Верoя, при него дойдоха (пратеници) от най-известните градове, които от старо време бяха подчинени на ромеите и бяха немалко време подвластни на трибалите, за да преговарят тайно и да го молят да отиде при тях, тъй като щели да го приемат, като изгонят трибалите. Пристигнаха неочаквано пратеници не само от другите (градове), но и от самия град Скопие, който, изглежда, бе седалище на краля. Този град бе откъснат от ромейската империя при император Михаил[334], първия от Палеолозите. Те единодушно призоваха императора да дойде при тях, за да (му) предадат града. Кралят, който тогава бе предприел поход срещу пеонците, τευμένος τότε, ὡς ἐπύθετο βασιλέα ἐπιόντα, καίτοι στρατιὰν πλείστην περὶ αὐτὸν ἠθροισμένην ἔχων, ἀντικαθίστασθαι πρὸς βασιλέα οὐκ ἐθάῤῥει, ἀλλὰ πάντα προέμενος ἐβούλετο φυγομαχεῖν. ὅθεν καὶ τῶν Σκοπιᾶς πολιτῶν πρεσβευσαμένων πρὸς αὐτὸν καὶ τὴν ἔφοδον ἀπαγγελλόντων βασιλέως καὶ δεομένων βοηθεῖν, πρῶτα μὲν ἐλπίδας παρείχετο ὡς βοηθήσων, ἂν ἐπίωσιν αὐτοῖς Ῥωμαῖοι· ὡς δὲ μᾶλλον προσέπιπτον αἱ φῆμαι φοβερώτεραι τῶν ἐπιόντων Ῥωμαίων καὶ βαρβάρων, φανερῶς ἀπεῖπε τὴν ἐπικουρίαν τοῖς ἐκ τῆς Σκοπιᾶς· ἐκέλευέ τε σώζειν ἑαυτοὺς ὡς ἂν οἷοί τε ὦσιν. αὐτὸν γὰρ μὴ δύνασθαι τὸ νῦν ἔχον ἥκειν πρὸς αὐτούς. οἳ βουλευσάμενοι κοινῇ καὶ πολλῆς ἀνοίας εἶναι κρίναντες ἀντικαθίστασθαι οἷς ὁ σφῶν δυνάστης τοσαύτην ἔχων δύναμιν οὐκ ἐτόλμα, ἥκουσι πρὸς βασιλέα καὶ τὴν πόλιν παρεδίδουν πρὶν διαφθαρῆναι. ὕστερον δὲ ἐπεὶ οἱ φόβοι διελύοντο, ἐπὶ δίκην καταστάντες ὑπὸ Κράλη καὶ διωκόμενοι ἀποστασίας, ῥᾷον ἀπελύσαντο τὰ ἐγκλήματα, τοῦ παρ᾽ αὐτοῖς ἀρχιεπισκόπου διαιτῶντος· ὃς ἐπεψηφίζετο αὐτοὺς μηδὲν ἠδικηκέναι, εἰ, ἐπικουρεῖν μὴ βουλομένου Κράλη, ἀλλὰ καὶ παραιτοῦντος σώζειν ἑαυτούς, συνετά τε ἅμα καὶ σωτήρια σφίσιν ἐβουλεύσαντο, δουλεύειν τοῖς δυνατωτέροις ψηφισάμενοι. οὕτω πᾶσαι πόλεις κατεσείσθησαν τῷ φόβῳ τότε καὶ προσχωρεῖν ἐβούλοντο ἑκοῦσαι βασιλεῖ, πρὶν ἀναρπασθῆναι. οὐχ αἱ πόλεις δὲ μόνον, ἀλλὰ καὶ τῶν Τριβαλῶν οἱ δυνατώτατοι, καὶ πρότερον εὔνως περὶ βασιλέα διακείμενοι, καὶ μᾶλλον ὑπ᾽ ἐκείνου ᾑρημένοι βασιλεύεσθαι, τότε καὶ μᾶλλον ὑπὸ δέους κρύφα διελέγοντο καὶ παρώξυνον ἥκειν ἐπὶ σφᾶς, ὡς πάντων τὰ δυνατὰ βουλησομένων συνεργεῖν. ἧκον δὲ καὶ αὐτόμολοι δύο ἐξ αὐτῶν· ὧν ἅτερος τῶν μάλιστα ἦν ἐπιφανῶν, κατὰ γένος προσήκων Κράλῃ, Χλάπαινος ὠνομασμένος, στρατιάν τε ἔχων ὑφ᾽ ἑαυτὸν οὐκ εὐκαταφρόνητον καὶ πολλὴν περιουσίαν· ὁ λοιπὸς δὲ οὐ τῶν πάνυ περιδόξων ἦν, πλὴν κἀκεῖνος ἀρχάς τε πόλεων ἐγκεχειρισμένος καὶ στρατοπέδων ἡγεμονίας, ὄνομα Τολίσθλαβος. καὶ ἄμφω δὲ ἐκ τῶν ἄλλων δυνατῶν λόγους ἐκόμιζον πρὸς βασιλέα, ὡς, ἢν ἐπίῃ Κράλῃ, καὶ αὐτοὶ συμπολεμήσουσιν ἀποστάντες. βασιλεῖ δὲ ἀξιόμαχον στρατιὰν οὐκ ἔχοντι οὐκ ἐδόκει δεῖν ταῖς ἀποστασίαις θαῤῥοῦντα μόνον, ἑαυτὸν εἰς τοὺς κινδύνους εἰσωθεῖν, ἀλλὰ παρασκευασάμενον ἐπιστρατεύειν ἐπικαίρως. τότε δὲ ἄρχοντα

---

[334] Има се пред вид византийският император Михаил VIII Палеолог (1260—1282).

като узна, че императорът идва, не се осмели да му се противопостави, макар да беше събрал около себе си голяма войска, но изостави всичко и реши да избегне сражението. А след това и гражданите на Скопие проводиха пратеничество при него, съобщиха му за нападението на императора и го помолиха да им помогне, ако ромеите ги нападнат. Понеже все по-страшни мълви се разпространяваха за настъпващите ромеи и варвари, той открито отказа да защищава жителите на Скопие. Заповяда да се спасявал кой както може.. Защото в сегашния момент той не можел да отиде при тях. Те се посъветваха общо и като решили, че техният владетел с толкова голяма войска от голяма глупост не смее да им се противопостави, отидоха при императора и му предадоха града, преди да бъдат унищожени. А по-късно, когато премина страхът и те се явиха на съд пред краля, като бяха обвинени за отцепничество, лесно отхвърлиха обвиненията, понеже техният архиепископ бил съдия. Той потвърди, че те нищо не са сгрешили, ако са се посъветвали заедно затова, което е разумно и полезно за тях, и са решили да се подчинят на по-силните, понеже кралят не само не пожелал да им помага, но и ги съветвал да се спасяват. Така всички градове тогава бяха обхванати от страх и пожелаха да минат доброволно на страната на императора, преди да бъдат разграбени. Не само градовете, но и най-знатните трибали, които и по-рано бяха благоразположени към императора и предпочитаха повече той да ги управлява, тогава повече от страх тайно преговаряха (с него) и го подтикваха да отиде при тях, за да могат да му съдействуват във всичко, каквото може. Двама от тях пристигнаха като дезертьори. Единият от тях бе от най-знатните, роднина на краля, наречен Хлапен[335]. Той имаше под своя власт значителна войска и голямо имущество. А другият, на име Толислав, не бе от толкова знатните, но и той управляваше градове и командуваше войски. И двамата донесоха на императора послания от другите велможи, че и те, като се отцепят, ще воюват на негова страна, ако нападне кралят. А императорът, не разполагайки с достатъчно войска, реши, че не трябва да се осланя само на отцепниците и да се излага на опасностите, но да потегли на поход, след като се приготви. Тогава той остави във Верoя протоἐν Βεῤῥοίᾳ Διπλοβατάτζην τὸν πρωτοβεστιαρίτην καταλιπών, πραγμάτων τε δυσκολίαις καὶ μεταβολαῖς εἰδότα χρῆσθαι καὶ πρὸς μάχας τολμητήν, ταῖς τε κατὰ Θετταλίαν προσχωρησάσαις Νικηφόρον ἐπιστήσας τὸν Σαραντηνόν, ἐπανέζευξεν εἰς Θεσσαλονίκην.

---

[335] Хлапен, един от най-знатните велможи на Стефан Душан, управител на Бер и Воден. Вж. Иречек, Историја срба, с. 397.

(III, pp. 126_{25}—135_{22})

56. *Cantacuzenus imperator ad Gynaecocastrum venit*

IV, 20. **Μετὰ** μικρὸν δὲ τήν τε ἱππικὴν καὶ τὴν πεζὴν δύναμιν ἀναλαβών, ἔχων καὶ βασιλέα τὸν γαμβρὸν συστρατευόμενον, ἐπεστράτευσε Γυναικοκάστρῳ, ὃ φρούριόν ἐστι καρτερώτατον ὑπὸ βασιλέως Ἀνδρονίκου τοῦ νέου οἰκοδομηθὲν αὐταῖς κρηπῖσιν, ἡμέρας ὁδοῦ μῆκος ἔλαττον ἀφεστηκὸς Θεσσαλονίκης. εἴχετο δὲ ὑπὸ Τριβαλῶν μετὰ τῶν ἄλλων αὐτὸ ἑλόντων. οὐκ ὀλίγα τε ἔβλαπτε Θεσσαλονίκην, στρατιὰν ἔκ τε Ῥωμαίων τῶν προσκεχωρηκότων καὶ Τριβαλῶν ἔχον ἐγκαθιδρυμένην. Βέλκος δὲ ὁ τοῦ φρουρίου ἄρχων, ὡς ἐπύθετο βασιλέα ἐπιόντα, τοῖς ὅπλοις δείσας μὴ ἁλῷ, πέμψας ἐπηγγέλλετο προσχωρεῖν ἑκών. πίστεως δὲ ἕνεκα καὶ τὰ ἐν κόλποις ἅγια παρείχετο, ὅρκους μονονοὺ ὑπὲρ τοῦ τὸ φρούριον ἐγχειρίσειν παρεχόμενος. βασιλεῖ τε ἐδόκει βέλτιστον τὸ φρούριον ἔχειν ἄνευ φόνων καὶ κινδύνων· ἐκέλευέ τε Βέλκον ἥκειν παρ' αὐτόν. ἐπεὶ δὲ ἧκε πρὸς τὸ στρατόπεδον πρὸς βασιλέα, ὅρκους μὲν παρείχετο ἐπὶ τῷ βασιλεῖ τε αὐτὸν προσχωρεῖν καὶ τὸ φρούριον παραδιδόναι· ἐδεῖτο δὲ μὴ τὸ νῦν ἔχον ἢ αὐτὸν εἰσιέναι, ἢ φρουρὰν εἰσάγειν· τήν τε γὰρ οὐσίαν αὐτῷ πλείστην οὖσαν καὶ διεσκεδασμένην ἀπολεῖσθαι ὑπὸ Τριβαλῶν διαρπασθεῖσαν, καὶ τοὺς συγγενεῖς αὐτῷ καὶ οἰκείους Κράλην ἄρδην διαφθερεῖν διὰ τὴν πρὸς αὐτὸν ἀπέχθειαν· ἀλλὰ περιμείναντα ἡμέρας πεντεκαίδεκα, ἄχρις ἂν οἰκείους τε καὶ χρήματα μεταπέμψηται, οὕτω τὸ φρούριον παραλαμβάνειν. τούτοις μὲν οὖν ὁ βασιλεὺς πεισθείς, καὶ ὅρκους ἐπὶ τοῖς εἰρημένοις ἐκείνου παρασχομένου, ἀνέστρεψεν εἰς Θεσσαλονίκην. Βέλκος δὲ τὰ ὀμωμοσμένα δῆθεν ἐκπληρῶν, τούς τε οἰκείους ἐκ Τριβαλῶν μετεπέμπετο καὶ βοσκήματα καὶ τὴν ἄλλην περιουσίαν, ἔπεμπέ τε καὶ εἰς Θεσσαλονίκην οὐκ ὀλίγα, δεῖγμα τῆς πρὸς βασιλέα εὐνοίας καὶ τῆς φυλακῆς τῶν συνθηκῶν. Κράλης δὲ ἤδη πεπυσμένος, ὡς ἡ μὲν ἐκ τῆς ἠπείρου στρατιὰ καὶ Ῥωμαίων καὶ βαρβάρων τοσαύτη οὖσα ἀναστρέψειε, βασιλεὺς δὲ ταῖς τριήρεσι μόναις καὶ βαρβάροις πεζοῖς ὀλίγοις ἀφιγμένος εἰς Θεσσαλονίκην Βέῤῥοιάν τε εἷλε καὶ Ἔδεσσαν καὶ ἄλλας πολίχνας οὐκ ὀλίγας, ἀνεθάρσησέ τε καὶ στρα-

вестиария Дипловатаци, който умееше да се справя в трудни и сложни обстоятелства и бил храбър в сражения, а Никифор Сарантин постави за началник на миналите на негова страна (градове) в Тесалия, а после се завърна в Солун.

56. *Император Кантакузин пристига при Гинекокастрон*

IV, 20. Малко след това той взе конницата и пехотата и потегли заедно със зетя си император на поход към Гинекокастрон[336]. Тази крепост е твърде здрава, изградена от основите си от младия император Андроник, и се намира на по-малко от един ден път от Солун. Тя се владееше от трибалите заедно с другите покорени градове и немалко пречеше на Солун, тъй като имаше войска, съставена от предалите се ромеи и от трибали. Велко, началникът на гарнизона, когато научи, че императорът пристига, страхувайки се да не завладее града с оръжие, проводи пратеничество и съобщи, че се предава доброволно. И за уверение предаде светите мощи, които носеше на гърдите си, и само дето не се закле, че ще предаде крепостта. Императорът реши, че е най-добре да вземе крепостта без убийства и рискове и заповяда Велко да дойде при него. А когато пристигна в лагера при императора, той се закле пред него, че и сам минава на негова страна и че предава крепостта. Помоли да не влиза в настоящия момент (в града) нито той, нито да въвежда гарнизон. Защото имуществото му, което било твърде голямо и разпръснато на много места, щяло да пропадне, разграбено от трибалите, и кралят, от омраза към него, щял да погуби напълно роднините и близките му. Но да завземе крепостта след петнадесет дни, когато ще прибере близките и богатствата си. Императорът се върна в Солун, убеден от тези думи и понеже онзи потвърди казаното с клетви. Велко наистина изпълни клетвите, прати да доведат от трибалите близките му, добитъка и цялото имущество и изпрати много неща в Солун като доказателство за неговото благоразположение към императора и че ще спазва споразумението. Когато научи, че толкова голямата войска от ромеи и варвари се е върнала от континента, а императорът, след като пристигна в Солун само с триерите си и с малко варвари пехотинци, завзе Верея и Едеса и немалко други градчета, кралят се скуτιὰν ἀναλαβὼν οὐ πολλὴν μὲν, πολὺ δὲ ὅμως ὑπερέχουσαν τῆς βασιλέως, ἤλαυνε σπουδῇ ἐπὶ Θεσσαλονίκην.

---

[336] Дн. с. Женско, на турски Авретхисар, Кукушко.

(III, pp. 135_{23}—137_{11})

IV, 21 εἰ δὲ μὴ βούλοιτο, ἐξεῖναι αὖθις πολεμεῖν τὰς πάσας ἔχοντι. καὶ αὐτίκα Ἀκαρνανίαν μὲν καὶ Θετταλίαν, Σέρβιά τε καὶ τὰς ἐντὸς τούτων πρὸς θάλασσαν πολίχνας, καὶ Βέῤῥοιαν καὶ Ἔδεσσαν, Γυναικόκαστρόν τε καὶ Μυγδονίαν μετὰ τῶν κατῳκισμένων πόλεων, καὶ τὰς περὶ Στρυμμόνα κώμας ἄχρι τῶν Φερῶν ὁρίων, καὶ Ταντεσάνου ὄρη προσαγορευόμενα, ἀπένεμε Ῥωμαίοις, Ζίχνα δὲ καὶ Φερὰς καὶ Μελενίκον καὶ Στρύμβιτζαν καὶ Καστορίαν καὶ τὰς ἄλλας Μακεδονικὰς κώμας καὶ πολίχνας, αἳ τῶν εἰρημένων ὅρων ἐκτὸς ἦσαν, Κράλην ἔχειν· καὶ συμμαχίαν ἐπὶ τούτοις ποιεῖσθαι καὶ σπονδὰς, καὶ μηδὲν ἀλλήλους ἀδικεῖν. οὕτω μὲν ὁ βασιλεὺς διῄρει τὰς πόλεις· καὶ ἐδόκει καὶ Κράλῃ καλῶς ἔχειν, καὶ συνέβησαν ἐν τούτοις, καὶ πάντες ἥδοντο, καὶ Τριβαλοὶ καὶ Ῥωμαῖοι, πρὸς τὴν εἰρήνην.

(III, pp, 155_{22}—156_{12}).

57. *Turci iterum Bulgariam vastant*

IV. 22. . . Κράλης δὲ εἰς τὴν ὑστεραίαν διαβὰς τὸν Ἀξειὸν, τὰ περὶ Ἔδεσσαν κατέδραμε καὶ περιστρατοπεδευσάμενος ἐπολιόρκει. βασιλεύς τε ἐπεὶ μὴ ἐδόκει ἔτι μέλλειν ἐν Θεσσαλονίκῃ, (πράττειν γὰρ ἔτι ἀξιόλογον οὐδὲν ἐξῆν,) παρεσκευάζετο ὡς εἰς Βυζάντιον πλευσούμενος.

Κράλης δὲ ὀλίγῳ ὕστερον ἢ ὁ βασιλεὺς ἀπῆρεν ἐκ Θεσσαλονίκης, Ἔδεσσαν ἐπόρθησεν, ἑλὼν τινων προδοσίᾳ τῶν τἀκείνου ᾑρημένων. συντέθειτο γὰρ αὐτοῖς κλίμακας κατασκευασάμενον, ἐπὶ τειχομαχίαν ἥκειν, αὐτοὺς δὲ σημεῖον ἄραντας ἐπὶ τῶν τειχῶν, ἐφ' ὧν ἑστᾶσιν, ἥκειν ἐπ' ἐκείνους μετὰ τῶν κλιμάκων. ἄδειαν δὲ ἐκείνων παρεχομένων καὶ ἀμυνομένων τοὺς ἔνδον μᾶλλον, ῥᾳδίαν ἔσεσθαι τὴν ἅλωσιν. ὅπερ δὴ καὶ ἐγίνετο κατὰ τὸ σύνθημα. καταστάντων γὰρ εἰς τὴν τειχομαχίαν, τοῖς τε προδιδοῦσιν ἤρετο τὸ σημεῖον ἀπὸ τῶν τειχῶν, καὶ ὁ Κράλης τὰς κλίμακας ἔχων, ἐχώρει πρὸς ἐκείνους· ἀδείας δὲ τυχόντες, ἀνέβαινον ἐπὶ τὰ τείχη, καὶ καθῄρουν αὐτίκα προσπεσόντες, ἕως ἐποίησαν καὶ ἵπποις βάσιμα· ἦν γὰρ οὐδὲ ὕψους ἔχοντα ἱκανῶς. Λυζικὸς δὲ ὁ τῆς πόλεως ἄρχων, αἰσθόμενος τὴν προδοσίαν, ἐχώρει μὲν ἐπ' ἐκείνους ἔχων τοὺς περὶ αὐτὸν, ἤνυε δὲ οὐδὲν, καθῃρημένων ἤδη τῶν

ражи и с неголяма войска, която все пак превъзхождаше войската на императора, бързо потегли към Солун. . .

IV, 21. . .[337] А ако не желаел,[338] веднага щял[339] да се отправи на война срещу него[340], който владеел всички (градове). И веднага отдели за ромеите Акарнания, Тесалия, Сервия и градчетата покрай морето между тези места. Вероя, Едеса, Гинекокастрон и Мигдония с възобновените градове и така наречената планина Тантесат, а (на) краля (определи) да владее Зихна, Фере, Мелник, Струмица, Кастория и останалите села и градчета на Македония, които се намираха в споменатите предели. Императорът така разпредели градовете. И кралят сметна, че е добре, и се споразумяха при тия условия, и всички се радваха на мира, и трибали и ромеи. . .

57. *Турците отново опустошават България*

IV, 22. . .[341] На следния ден кралят премина Аксий, опустоши околностите на Едеса и я обсади, като се разположи на лагер наоколо. А когато императорът реши, че не трябва вече да се бави в Солун (защото повече нямаше нищо достойно за извършване), приготви се, за да отплува във Византион. . .А кралят малко по-късно, след като императорът потегли от Солун, опустоши Едеса, като я завзе чрез предателство на някои свои привърженици. Той се беше договорил с тях да приготви стълбите и да дойде за обсадата (й), а когато те дадат знак от стените, на които стояли, да отиде при тях със стълбите. А когато те получели възможност и отблъснели защитниците, превземането лесно щяло да стане. И всичко стана според уговорката. Когато пристъпиха към нападение срещу стените, предателите дадоха знак от стените. И кралят със стълбите потегли към тях. Когато получиха възможност да действуват безопасно, те се покачиха върху стените и като нападнаха, веднага започнаха да ги разрушават, докато направиха проход за конете. А те не бяха и достатъчно високи. Лизик пък, началникът на града, като научи за предателството, потегли към тях с хората си, но не направи нищо, тъй като стените бяха вече разрушени, и се τειχῶν· ἀλλ' ἀναστρέψας ἔσπευδεν ἐπὶ τὴν ἄκραν. καὶ οἱ ἐκ Βυζαντίου παρὰ βασιλέως καταλελειμμένοι διακόσιοι φρουροί, ὡς ᾐσθάνοντο τὴν πόλιν ἑαλωκυῖαν, ἀνεχώρουν καὶ αὐτοὶ ἐπὶ τὴν ἄκραν. Κράλης δὲ ἐπεὶ τὴν πόλιν εἶχεν, ἐχώρει ἐπ' ἐκείνους τεθορυβημένους ἔτι ἀπὸ τῆς τροπῆς. καθισταμένων τε πρὸς μάχην, ὁ Λυζικὸς ἐτέτρωτο βέλει τὸν μηρόν, ἀμυνόμενος ἀπὸ τοῦ πύργου. ἦν γὰρ ἀνεπισκεύαστος ἡ ἄκρα. καὶ αὐτίκα ἡ φρουρὰ τὰ ὅπλα παρεδίδουν, πίστεις λαβόντες ἐπὶ τῷ μηδὲν ἀνήκεστον παθεῖν. ἐπεὶ δὲ καὶ ἡ ἄκρα εἴχετο, τὴν μὲν φρουρὰν καὶ Μακροδοῦκαν τὸν ἄρχοντα ἀπέλυεν ὁ Κράλης κατὰ τοὺς ὅρκους, τὰ ὅπλα μόνον ἀφελόμενος, Λυζικοῦ δὲ τὸ γένειον ἐπ' αὐτοῦ τίλλεσθαι ἐκέλευεν, οὐ μόνον διὰ τὸ ἀντιστῆναι τότε, ἀλλ' ὅτι καὶ βασιλέως Ἀνδρονίκου περιόντος, ἐν Καστορίᾳ μεγάλων αἴτιος αὐτῷ κατέστη συμφορῶν. ἔπειτα ἐκέλευε δεθέντα ἄγεσθαι τὴν ἐπὶ Σκοπιάν, ὡς ἐκεῖ τῶν τολμημάτων δίκας δώσοντα. ὁ δὲ ὑπὸ τοῦ τραύματος ἀμεληθέντος καὶ τῆς ἄλλης δυσπραγίας ἐτελεύτησε μεταξὺ ἀγόμενος. Κράλης δὲ ἐφῆκε τὴν πόλιν τοῖς στρατιώταις διαρπάζειν· καὶ ἐπόρθησάν τε καὶ ἐνέπρησαν τὰς οἰκίας· τῶν οἰκητόρων δὲ τὸ μὲν πλεῖστον καὶ ἄριστον ἐξήλασε γυμνὸν μάλιστα ἐν ἀκμῇ τοῦ χειμῶνος, Ἰανουαρίου ἄρτι ἱσταμένου, καὶ διεσκεδάσθησαν κατὰ Βέῤῥοιαν καὶ τὰς ἄλλας πόλεις. ὁ δὲ ἄπορος παντάπασι καταλέλειπτο ἐκεῖ ἐπὶ τὰς ὑπολειπομένας καταφυγὼν οἰκίας. αὐτὸς δὲ ἐπεὶ καὶ χειμὼν ἐπεγένετο ἐξαίσιος, φρουρὰν ἐπὶ τὴν ἀκρόπολιν καταλιπών, πρὸς τὴν οἰκίαν ἀνεχώρει. ἐλέγετο δὲ ὑπὸ χειμῶνος στρατιώτας τε καὶ τῶν σκευοφόρων ὑποζυγίων πλεῖστα τῷ στρατοπέδῳ ἐναποθανεῖν. βασιλεὺς δὲ εἰς Βυζάντιον ἐπανελθὼν ἐπυνθάνετο περὶ τοῦ Μυσῶν βασιλέως Ἀλεξάνδρου, ὅτι πλεῖστα ἀνιῷτο διὰ τὴν τῶν βαρβάρων ἔφοδον ἀπροσδόκητον γεγενημένην καὶ μέγιστα κακώσασαν τὴν γῆν αὐτοῦ. ὑπώπτευε δὲ οὐκ ἀφ' ἑαυτῶν τοὺς βαρβάρους ἐπελθεῖν, ἀλλὰ βασιλέως πέμψαντος, ὃ καὶ μάλιστα ἠνία, ὅτι, μηδεμίαν πρόφασιν αὐτοῦ πρὸς τὸν πόλεμον παρεσχημένου βασιλεῖ, παρασπονδῶν αὐτὸς κακῶς ποιεῖ τὴν χώραν. πέμψας δὲ ὁ βασιλεὺς πρεσβείαν πρὸς αὐτόν, πρῶτα μὲν περὶ τῶν βαρβάρων τῆς ἐφόδου ἀπελογεῖτο, μὴ κατὰ γνώμην ἐκείνῳ γεγενῆσθαι, ἀλλ' αὐτοὺς ἀφ' ἑαυτῶν μεγάλα δυναμένους, ἅττα ἂν δοκῇ ποιεῖν. τοῦτο δὲ συμβαίνειν οὐ μᾶλλον διὰ τὴν ἐκείνων δύναμιν, ἢ διὰ τὸ μὴ αὐτοὺς ἐθέλειν τῆς πλεονεξίας ἀποστάντας καὶ τῶν ἀλλοτρίων τῆς ἐπιθυμίας, ἀλλήλοις ὅση δύναμις ἐπιμα-

---

[337] В непреведения пасаж става дума за преговори между Йоан Кантакузин и Стефан Душан, по време на които Кантакузин настоявал да му бъдат върнати градовете Едеса и Вероя, завладени от сръбския крал. [338] Сиреч, ако сръбският крал не желаел. [339] Т.е. Йоан Кантакузин щял да се отправи на война. [340] Срещу него, сиреч срещу Стефан Душан. [341] В непреведения пасаж се говори за пристигането на един от приближените на Йоан Кантакузин при Стефан Душан. Той подтиквал сръбския крал да нападне Канактузин, който в момента не разполагал с достатъчно войска.

върна бързо в крепостта. И оставените от императора двеста души от Византион за гарнизон, като се научиха, че градът е паднал, и те се оттеглиха в крепостта. А кралят, когато завзе града, потегли срещу тях още докато бяха смутени от бягството. Когато влязоха в сражение, Лизик, отбранявайки се от кулата, бе ранен със стрела във бедрото. Защото крепостта не бе довършена. И стражите веднага предадоха оръжието, като получиха уверения, че няма да претърпят нищо лошо. Когато падна и крепостта, кралят съгласно клетвените обещания освободи стражата и началника Макродука, като им отне само оръжието, и заповяда да оскубят брадата на Лизик и в негово присъствие не само защото тогава му се бил противопоставил, но и защото, докато бил жив император Андроник, му бил причинил много беди в Кастория. След това заповяда да го отведат вързан в Скопие, за да получи заслуженото за дързостите си. А той поради занемарената рана и вследствие други несгоди, умря по пътя. Кралят предаде града на войниците, за да го разграбят. И те разграбиха и изгориха къщите. В разгара на зимата, в началото на януари, той изгони голи по-голямата и най-добрата част от обитателите , които се пръснаха във Вероя и по другите градове. А беднотията, като намери убежище в оцелелите домове, изобщо остана там. Сам той, когато зимата стана непоносима, остави гарнизон в крепостта и се върна в родината си. Говореше се, че от студ в лагера измрели войници и твърде много товарен добитък. Когато императорът[342] се върна във Византион, научи за царя на мизите Александър, че много се огорчил от станалото внезапно нападение на варварите, които опустошили извънредно много страната му. Той подозирал, че варварите не са нападнали по своя инициатива, но че ги е бил изпратил императорът. Това именно най-много го тревожело, понеже, без да е давал никакъв повод за война на императора, той (императорът) нарушава договора и опустошавал зле земята му. Императорът проводи пратеничество при него и най-напред се оправдаваше относно нападението на варварите. То не било станало с негово знание, но те, като станали твърде силни, изглежда, вършели това по свой почин. Това ставало не толкова поради тяхната сила, колкото поради нежеланието им да се откажат от алчността си и от стремеж към чуждото χεῖν καὶ ἀνείργειν τοὺς βαρβάρους, ῥᾷστα δυναμένους, εἰ συμφωνήσαιεν. εἰ γὰρ ἐβούλετο Κράλης τὰς ἡρπασμένας πόλεις ἀποδιδόναι καὶ τὰ δίκαια ποιεῖν κατὰ τοὺς ὅρκους, οὐκ ἂν αὐτῷ ἐδέησε βαρβάρων πρὸς τὴν συμμαχίαν πάντων μάλιστα ἀπεχθῶς πρὸς αὐτοὺς διακειμένῳ, ἀνάγκῃ δὲ χρωμένῳ, ἵνα τά τε ὄντα διασώζοι καὶ τὰ ἡρπασμένα, εἰ δύναιτο, ἀνακαλοῖτο. πρὸς μὲν οὖν ἐκεῖνον ποιήσειν, ὅ,τι ἂν δοκῇ μάλιστα λυσιτελεῖν, αὐτῷ δὲ συμβουλεύειν, συναίρεσθαι αὐτῷ πρὸς τὸ κωλύειν τοὺς βαρβάρους ἀδεῶς, ὅταν δοκῇ, πρὸς τὴν Θρᾴκην περαιοῦσθαι. τοῦτο δ' ἂν γένοιτο, εἰ χρήματα παρέχοιτο τακτὰ πρὸς τῶν τριηρέων τὴν παρασκευήν. αὐτὸν μὲν γὰρ εὐπορεῖν τῆς ναυτικῆς δυνάμεως, δεῖσθαι δὲ χρημάτων, ἐξ ὧν ἂν τραφείη· ὧν εἰ καὶ αὐτὸς παράσχοιτο ὅσα δυνατὰ, τριήρεις ἐπιστήσει κατὰ τὸν Ἑλλήσποντον, αἳ παραπλέουσαι οὐκ ἐάσουσι τοὺς βαρβάρους περαιουμένους βλάπτειν. καὶ τοῦτον τὸν τρόπον τῆς ἐκείνων ἀπηλλάχθαι περιέσται βλάβης. ἂν δὲ μὴ Κράλης ἐθέλῃ ποιεῖν τὰ δίκαια πρὸς ἀμφοτέρους, (εἰδέναι γὰρ καὶ αὐτὸν ὑπ' ἐκείνου ἀδικούμενον οὐ μικρά τινα,) εἰ μὴ ἡ παροῦσα δύναμις ἐξαρκεῖ ἐκεῖνον καταναγκάζειν τὰ δέοντα ποιεῖν, τότε χρήσεσθαι καὶ τοῖς βαρβάροις τοσούτους ὑπ' αὐτῶν περαιουμένους, ὅσους ἄγεσθαι οἷ ἂν ἐθέλωσι, καὶ μὴ πολλοὺς ὄντας, ἀφοβίᾳ τρέπεσθαι ἐπὶ σφᾶς καὶ διαφθείρειν. τοιαῦτα μὲν ὁ βασιλεὺς πρὸς τὸν Ἀλέξανδρον ἐπρεσβεύετο. καὶ ἐδόκει κἀκείνῳ ἡ βασιλέως παραίνεσις λυσιτελεῖν, καὶ συνετίθετο πρὸς τὴν πρᾶξιν· συμβὰν δέ τι καὶ τοιοῦτον ἐπέῤῥωσε μᾶλλον πρὸς τὸ ἔργον. ἑορτῆς γάρ τινος δημοσίας ἀγομένης ἐν Τρινόβῳ τοῖς αὐτοῦ βασιλείοις, καὶ ὄχλου πλείστου συνεῤῥυηκότος, ἐπεὶ παρῄει δι' ἐκείνων, καὶ τῶν βασιλέως ἑπομένων πρέσβεων, τῇ σφετέρᾳ διαλέκτῳ πάντες ἐπεβόων, ὡς δεῖ Καντακουζηνῷ τῷ βασιλεῖ πάντα ποιεῖν τὰ κατὰ γνώμην καὶ τὴν εἰρήνην ἐκ παντὸς τρόπου τὴν πρὸς αὐτὸν αἱρεῖσθαι, ἵνα μὴ ἐκπολεμωθέντος, ἀπόλωνται αὐτοὶ διαφθαρέντες ὑπὸ τῶν βαρβάρων, καὶ ἐδέοντο πείθεσθαι αὐτοῖς. Ἀλεξάνδρου δὲ τῶν πρέσβεων πυνθανομένου, εἰ τῶν εἰρημένων ἐπαΐουσιν, ἐπεὶ ἀγνοεῖν ἐκεῖνοι ἔφασαν, ἡρμήνευεν αὐτὸς ἑλληνιστὶ, καὶ τεκμήριον ἐποιεῖτο μέγιστον τοῦ ὄχλου τὴν ἀξίωσιν τοῦ σφίσι μάλιστα λυσιτελεῖν τὴν πρᾶξιν, ὅτι καὶ μηδ' ὑφ' ἑνὸς ἐρωτώμενοι, τὰ σφίσι συμβουλεύουσι συνοίσοντα. αὐτίκα τε ἐπιψηφισάμενος, καὶ αὐτὸς ἐξέπεμπε τοὺς πρέσβεις. βασιλεὺς δὲ πυθόμενος, ὡς προθύμως δέξαιτο Ἀλέξανδρος τὴν

---

[342] Императорът, т.е. Йоан Кантакузин.

Те лесно могли, ако се споразумеели, да си помагат взаимно, колкото могат, и да възспират варварите. Защото ако кралят пожелаел да върне заграбените градове и да постъпи справедливо според клетвите, той не би се нуждаел от съюза на никакви варвари, тъй като бил настроен твърде враждебно към тях, но заставен от нуждата, като ги викал, ги използувал, за да спаси имуществото си и (да върне) ограбеното. Той щял да постъпи с онзи така, както мисли, че е най-полезно, но него съветвал да му помага смело да възспрат варварите, когато решат да преминат в Тракия. А това би станало, ако му предоставел съответни средства да приготви триерите. Защото той имал флота, но се нуждаел от пари, с които би я издържал. И ако той дадел (пари) колкото можел, щял да докара триери до Хелеспонт, които, като плуват покрай брега, не щели да позволят на варварите да преминават и да вредят. И по този начин щял да се освободи от тяхното вредителство. А ако кралят не желаел да направи това, което било справедливо за двамата (защото видя, че и той е онеправдан не по-малко от него), и ако наличната му войска не стигнела да го принуди да направи необходимото, тогава и той щял да си послужи с варварите, като от тях преминат толкова, колкото би пожелал да доведе, и понеже (трибалите) не били много, те без страх щели да се отправят срещу тях и щели да ги погубят. Императорът това съобщи на Александър. И онзи реши, че съветът на императора е полезен, и се залови за работа. Случи се и нещо друго, което го подтикна повече към действие. В дворците му в Търново имало някакъв народен празник. Събрал се много народ и когато той преминал между тях, а пратениците на императора го следвали, всички викали на своя език, че трябвало да направят всичко според предложението на император Кантакузин и на всяка цена да се предпочете мирът с него, за да не би, като бъде въвлечен във война, самите те да загинат, погубени от варварите. И те искали да се съгласи с пратениците. Когато Александър попитал пратениците, дали са разбрали казаното, а те отвърнали, че не са разбрали, той им заговорил на гръцки и считал искането на тълпата за твърде добър признак, че делото е твърде полезно за тях, понеже, без да бъде питана от някого (тълпата), сама съветвала това, което е изгодно. И той веднага се съгласи и отпрати пратениците. А императорът се зарадва, като научи, че Александър на драго сърце е приел παραίνεσιν καὶ βούλοιτο παρέχεσθαι χρήματα πρὸς τὴν παρασκευὴν, ὑπερήσθη τε, δυνήσεσθαι νομίσας ἀπείργειν τοὺς βαρβάρους τοῦ μὴ Ῥωμαίους καὶ Μυσοὺς ἐπιόντας διαφθείρειν, καὶ ὥρμητο παρασκευάζεσθαι ἤδη πρὸς τὸ ναυτικὸν συστήσασθαι ἐπὶ κωλύσει τῶν βαρβάρων. τό,τε νεώριον τὸ πρὸς τῷ Ἑπτασκάλῳ ἐν ἐκείνῳ τῷ ἔτει ἐξεκάθηρεν, ὑπὸ πολλῶν ἐτῶν ἰλύος ἐπιγενομένης προσχωσθὲν καὶ μὴ δυνάμενον εὐπετῶς εἰσδέχεσθαι ὁλκάδα φόρτον ἄγουσαν, μέγα ἔργον καὶ πλεῖστα λυσιτελοῦν τῇ πόλει, καὶ πολλῷ πόνῳ καὶ ἀναλώμασι κατορθῶσαι δυνηθείς. ἔληγον δὲ εἰς οὐδὲν αἱ τοῦ Μυσοῦ ἐπαγγελίαι. ὕστερον γὰρ ὀλίγῳ πρὸς βασιλέα πρεσβείαν πέμψας, ἀπηγόρευε τὴν εἰσφοράν. Κράλην γὰρ ἔφασκε πυθόμενον, οὐ μετρίως αὐτοῦ κατηγορεῖν, ὅτι φόρους Ῥωμαίοις παρέχειν ὑποσταίη ἑκοντὶ, καὶ ἃ μὴ τοῖς ὅπλοις δύναιτο βιάζεσθαι βασιλεὺς ὁ Καντακουζηνὸς, ταῦτα πείσειε παραγαγών. δι᾿ ἃ μηδ᾿ αὐτὸν τὰ ὑπεσχημένα δύνασθαι ποιεῖν, τοσαύτην αἰσχύνην προστριβόμενα αὐτῷ καὶ γένει. ἐφ᾿ οἷς οὐ μετρίως ἀγανακτῶν ὁ βασιλεὺς, ἐπεχείρει πείθειν, ὡς μᾶλλον αὐτῷ λυσιτελοίη ἡ αὐτοῦ παραίνεσις, ἢ Κράλη. φθονοῦντα γὰρ ἐκεῖνον καὶ ἐπιβουλεύοντα ἀεὶ ταῦτα πειρᾶσθαι διαλύειν, ἃ πολλὴν αὐτῷ καὶ τοῖς ὑπηκόοις οἴσει τὴν ὠφέλειαν. οὐ γὰρ παρέχειν φόρους, ὥσπερ ἐκεῖνος ἀπατᾷ, ἀλλ᾿ ἀναλίσκειν εἰς δέον ὑπὲρ τῆς ἀρχῆς, πλὴν εἰ μὴ καὶ τὰ τοῖς σφετέροις στρατιώταις παρεχόμενα φόρους ὀνομάσει. ἀλλ᾿ ἦν οὐδὲν ἀξιόχρεων τῶν λεγομένων εἰς πειθώ. βασιλεὺς δὲ τὴν ἐσομένην αὐτῷ φθορὰν ὑπὸ τῶν βαρβάρων προειπὼν καὶ διαμαρτυράμενος, ὡς τότε τῆς νυνὶ μεταμελήσει ἀβουλίας, ὅτε μηδὲν ἀπόνασθαι ἐξέσται τῆς μεταμελείας, ἐπέπαυτο πρὸς τὴν ἐπιχείρησιν καὶ αὐτός. ἃ εἰς ὕστερον ἅπαντα ἐξέβαινε.

(III, pp. 159_{17-21} ; 160_{19}—166_2)

58. *Bulgari ac Serbi auxilium imperatori iuniori mittunt*

IV, 33 · βασιλεύς τε ὁ νέος ὁμοίως οὐκ ἠμέλει, ἀλλὰ τάς τε προσεχούσας πόλεις βασιλεῖ τῷ κηδεστῇ ἐκάκου, καὶ πρὸς Κράλην πέμψας, ᾐτεῖτο συμμαχίαν κατὰ τὰς συνθήκας. Κράλης δὲ ὑπέσχετο προθύμως, ἢν ὅμηρον αὐτῷ παράσχῃ τὸν ἀδελφὸν ὑπὲρ τῆς στρατιᾶς. βασιλεὺς δὲ ἐκέλευεν αὐτίκα δεσπότην Μιχαὴλ τὸν ἀδελφὸν πρὸς Κράλην ἥκειν ὁμηρεύσοντα. γενομένου δὲ

предложението и е пожелал да даде пари за приготвянето (на флота). Той смяташе, че ще може да попречи на варварите да погубват с нападения ромеи и мизи, и се отправи да се приготви с флотата, за да се противопостави на варварите. В същата година почисти пристанището при Хептаскал, от много години напълнено с тиня, поради което товарните кораби трудно акостирали, и с много труд и средства можа да направи едно голямо и твърде полезно дело за града. А мизиецът не изпълни обещанията си. И наистина малко по-късно той проводи пратеничество при императора и отказа да помогне. Той казваше, че когато кралят научил, упрекнал го немалко, задето се е съгласил доброволно да даде средства на ромеите и в това, в което императорът Кантакузин не би могъл да го принуди с оръжие, го убедил с измама. Поради това той не можел да изпълни обещаното, тъй като това би причинило голям срам нему и на рода му. Императорът го упрекнал немалко за това и започнал да го убеждава, че съветът му е по-изгоден за него, отколкото (съветът) на краля. Защото той (кралят) е завистник и заговорник, като винаги се опитва да развали това, което би било от голяма полза за него и за поданиците му. Разбира се, той не дал средства, както обещавал, но ги изразходвал за нуждите на държавата, освен ако сметне даденото на войниците за средства. Наистина нищо от казаното не бе достатъчно, за да (го) убеди. А императорът предсказа бъдещото му поражение от страна на варварите и доказа, че тогава ще съжалява за сегашното си безразсъдство, понеже не ще има никаква полза от разкаянието, и сам се отказа от намерението си. Всичко това се сбъдна по-късно.

58. *Българи и сърби пращат военна помощ на младия император*

IV, 33. . .[343] Младият император[344] не остана спокоен, но опустоши минаващите на страната на императора тъст[345] градове и като проводи пратеничество при краля[346], поиска помощ съгласно договора. А кралят на драго сърце обеща, ако срещу войската му даде брат си[347] като заложник. Императорът веднага заповяда на брат си, деспот Михаил, да отиде при краля като ἐκεῖ τοῦ βασιλέως ἀδελφοῦ, ἡ στρατιὰ ἐξεπέμφθη παρασκευασθεῖσα ἑπτακισχίλιοι ἱππεῖς, ὧν ἐστρατήγει Κασνιτζὸς ὁ Μποριλοβίκης προσαγορευόμενος, ἐκ τῶν ἐπιφανεστάτων μάλιστα ὢν τῶν παρὰ Τριβαλοῖς. Ἀλέξανδρός τε ὁ τῶν Μυσῶν βασιλεὺς παρέσχετο συμμαχίαν πεπρεσβευκότι πρὸς αὐτόν. ἦν γὰρ ἀεὶ πρὸς βασιλέα τὸν Καντακουζηνὸν ἐν ὑποψίαις, ὅτι μὴ κωλύοι Πέρσας κατατρέχειν τὴν ἐκείνου γῆν. βασιλεύς τε ὁ Καντακουζηνὸς, ὅτι Μυσοὺς καὶ Τριβαλοὺς ὁ νέος αὐτῷ ἐπάγει βασιλεὺς, οὐκ ἀγνοῶν, μετεπέμπετο στρατιὰν ἐκ τῆς Ἀσίας Περσικὴν παρὰ Ὀρχάνη τοῦ γαμβροῦ. οὕτω μὲν ἑκάτεροι μεγάλῃ παρασκευῇ ὥρμηντο ἀλλήλοις πολεμεῖν. ἔτι δὲ τῆς συμμαχίδος στρατιᾶς βασιλεῖ τῷ νέῳ διαμελλούσης, ἐδόκει δεῖν πρὸς Αἶνον γενόμενον καὶ πρὸς τοὺς ἐκ Βενετίας συνθήκας θέμενόν τινας, εἰς Διδυμότειχον αὖθις ἐπανήκειν. μεταξὺ δὲ τὴν πρὸς Αἶνον διιόντι ἡ ἐκ Τριβαλῶν συνετύγχανε στρατιά· ἣν ἔπεμπεν εἰς Διδυμότειχον, τῶν περὶ αὐτὸν τοὺς ἐπιφανεστέρους μάλιστα συνεκπέμψας, καὶ τῆς στρατιᾶς τὸ πλεῖον ὡς αὐτοῖς συνδιατρίβοιεν, ἄχρις ἐπανήξει ἐκ τῆς Αἴνου.

---

[343] В непреведения пасаж се говори за отказа на Йоан V Палеолог да признае Матей, сина на Йоан Кантакузин, за самостоятелен владетел. Става дума също за превземането на Одрин от Йоан Кантакузин. [344] Младият император, сиреч Йоан V Палеолог. [345] Императорът-тъст, т.е. Йоан Кантакузин. [346] Краля, сиреч Стефан Душан. [347] Брат си, т.е. Михаил, брат на Йоан V Палеолог.

IV, 34. Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον καὶ Κάλλιστος ὁ πατριάρχης Κωνσταντινουπόλεως τὴν βασιλέων διαφορὰν ἐν δεινῷ τιθέμενος καὶ κοινὴν νομίζων Ῥωμαίων συμφορὰν, ἀρχιερέων τε καὶ μοναχῶν τοὺς λογάδας ἔχων, εἰς Ἀδριανοῦ πρὸς βασιλέα ἧκε καὶ ἐδεῖτο καταλύειν τὸν πρὸς γαμβρὸν τὸν βασιλέα πόλεμον, ὡς πολλῶν Ῥωμαίοις αἴτιον ἐσόμενον κακῶν. βασιλεὺς δὲ ὁμοίαν ἔχειν ἐξαρχῆς ἄχρι νῦν περὶ πολέμου καὶ εἰρήνης γνώμην φάμενος, καὶ τὴν μὲν αἰτίαν ἡγεῖσθαι συμπάντων ἀγαθῶν, τὸν πόλεμον δ' ἅπαν τοὐναντίον, ἐξέπεμπεν εἰς Διδυμότειχον πρὸς βασιλέα τὸν νέον, ὡς, ἢν ἐκεῖνος πείθηται, οὐδεμιᾶς ἐξ αὐτοῦ κωλύμης ἐσομένης τῇ εἰρήνῃ. καὶ γενόμενος ὁ πατριάρχης ἐν Διδυμοτείχῳ, εὗρε βασιλέα τὸν νέον ἀπηρκότα εἰς τὴν Αἶνον, ἅμα δὲ παρῆσαν καὶ ἡ Τριβαλῶν στρατιὰ καὶ τῶν Μυσῶν· οὓς οἱ παρὰ βασιλέως πεμφθέντες ἄγοντες Ῥωμαῖοι ἐστρατοπέδευσαν παρὰ τὸν Ἕβρον, οὐ πόῤῥω πάνυ Διδυμοτείχου, οὐχ ἅμα, ἀλλ' ἰδίᾳ καὶ χωρίς· ἦν δὲ τὸ Μυσῶν στρατόπεδον μάλιστα ἐγγὺς Διδυμοτείχου. γνώμην δὲ εἶχον ὡς εἰς τὴν ὑστεραίαν σύμπαντες τῷ Ἐμπυθίου ἐπιστρατεύσοντες φρουρίῳ καὶ κακώσοντες ὡς μάλιστα φρουρᾷ ὑπὸ Καντακουζηνοῦ τοῦ βασιλέως κατεχόμενον. συμβέβηκε δὲ τῆς αὐτῆς ἡμέρας καὶ ἡ κατὰ συμμαχίαν στρατιὰ Περσῶν βασιλεῖ παρεσκεύαστο τῷ Καντακουζηνῷ, τὸν Ἑλλήσποντον διαβᾶ-

заложник. След като братът на императора пристигна там, беше изпратена приготвената седемхилядна войска начело с така наречения Касниц Борилович[348], един от най-знатните сред трибалите. Александър, царят на мизите, изпрати помощ (на императора), който бе проводил при него пратеничество. Защото винаги подозираше император Кантакузин, че той не пречи на персите да опустошават земята му. Император Кантакузин, като узна, че младият император води срещу него мизи и трибали, поиска от зет си Орхан да му изпрати персийска войска от Азия. Така двамата, след голяма подготовка, се втурнаха да воюват един срещу друг. Докато съюзната войска все още се бавеше да дойде при младия император, той реши, че трябва да отиде в Енос и като сключи някакъв договор с венецианците, веднага да се върне в Димотика. Докато отиваше към Енос, войската от трибали го срещна. Нея той изпрати в Димотика заедно с по-знатните около себе си и с по-голямата част от войската, за да бъде при тях, докато се върне от Енос.

IV, 34. По същото време и патриархът на Константинопол Калист[349], уплашен от враждата между императорите и смятайки, че нещастието е всеобщо за ромеите, с отбрани архиереи и монаси пристигна при императора в Адрианопол и го помоли да прекрати войната със зетя-император, за да не стане причина за много нещастия на ромеите. Императорът каза, че отначало и досега имал едно и също становище за войната и мира, който той смятал, че е причина за всички добрини, а войната, напротив, и ги отпрати в Димотика при младия император, тъй като от негова страна нямало да има никаква пречка за мира, ако онзи се съгласял. И патриархът, като отиде в Димотика, разбра, че младият император е заминал за Енос, а междувременно пристигнала войската от трибали и мизи. Изпратените от императора ромеи, които ги водели, се разположиха на лагер при Хеброс, не много далеч от Димотика, не заедно, а отделно. Лагерът на мизите бе най-близо до Димотика. А те имаха намерение на следния ден всички заедно да нападнат крепостта Емпитий и да я опустошат напълно, понеже била държана от гарнизон на император Кантакузин. Случи се, че в същия ден съюзническа войска от перси, която се бе приготвила да помага на император Кантакузин, премина Хелеспонта и се разположи на σαν, παρὰ τὸν Ἕβρον ἐστρατοπεδεῦσθαι, καὶ αὐτὴν ἀγνοοῦσάν τε ὁμοίως, ὅτι πολεμίων ἐγγὺς στρατοπεδεύοιτο, καὶ ἀγνοουμένην. ἦσαν δὲ ἱππεῖς μυρίων οὐκ ἐλάσσους, ὧν ἐστρατήγει Σουλιμᾶν ὁ τῶν Ὀρχάνη πρεσβύτερος υἱός. γνώμην δὲ εἶχον καὶ αὐτοὶ ὡς ἐς τὴν ὑστεραίαν εἰς Ἀδριανοῦ πρὸς βασιλέα ἀφιξόμενοι. ἅμα δὲ ἕῳ οἵ τε Πέρσαι ἀπάραντες τοῦ στρατοπέδου, ἐβάδιζον ὡς ἐπὶ βασιλέα, καὶ οἱ Τριβαλοὶ καὶ Μυσοὶ μετὰ Ῥωμαίων τῶν ἀγόντων τὰ ὅπλα ἔχοντες ἐπὶ τὸ φρούριον ἐχώρουν, ἀθρόον τε καὶ ἀλλήλους τὰ στρατόπεδα ἑώρων. Μυσοὶ μὲν οὖν ἐτράποντο αὐτίκα πρὸς φυγὴν, οὐδὲ εἰς χεῖρας ὑπομείναντες ἐλθεῖν τοῖς πολεμίοις, καὶ διεσώζοντο εἰς Διδυμότειχον, τῇ φυγῇ πολλὴν ὁμολογοῦντες χάριν, ἣ διέσωσε· Τριβαλοὶ δὲ ὑπέμειναν ἐπιόντας τοὺς βαρβάρους μετὰ Ῥωμαίων τῶν συνόντων· ὀλίγα δὲ ἀντισχόντες πρὸς πλείους καὶ βελτίους, ἡττῶντο κατακράτος, ἀπειρίᾳ δὲ τῶν τόπων, ἅμα δὲ καὶ ὑπὸ τῶν πολεμίων θορυβηθέντες, οὐ τὴν πρὸς Διδυμότειχον ἐτράποντο, (ἢ γὰρ ἂν οὐκ ὀλίγοι διεσώζοντο,) διασκεδασθέντες δὲ ἐπὶ τὴν παρακειμένην τῷ Ἕβρῳ πεδιάδα, πλὴν ὀλίγων ἅπαντες ἀπώλοντο. ἐπὶ πεδία γὰρ τραπόμενοι βαθέα καὶ γυμνὰ καὶ οὐδεμίαν ἔχοντα καταφυγὴν καὶ ἵπποις φαυλοτάτοις χρώμενοι, οἱ μὲν ἔθνησκον, οἱ δ' ἡλίσκοντο, ὑπὸ τῶν βαρβάρων καταλαμβανόμενοι. ἐκ διαμέτρου γὰρ οἱ τῶν βαρβάρων ἵπποι τοῖς ἐκείνων θέειν τέ εἰσι ταχύτατοι καὶ πρὸς πόνους ἐξησκημένοι. Κασνιτζὸς δὲ ὁ στρατηγὸς μετά τινων εὐαριθμήτων ἠδυνήθη διαδρᾶναι, τῶν ἄλλων ἁπάντων τῶν μὲν πεσόντων, τῶν δ' ἑαλωκότων. Ῥωμαίων δὲ οἱ μὲν ἐπιφανέστεροι πολλὴν ἀνδραγαθίαν καὶ ἀρετὴν κατὰ τὴν μάχην ἐπιδεδειγμένοι, πάντες ἑάλωσαν, τῶν βαρβάρων περισχόντων, στρατιωτῶν δὲ ἔπεσον μέν τινες καὶ ἑάλωσαν ὀλίγοι, οἱ πλείους δὲ διεσώθησαν εἰς Διδυμότειχον. ἡ μὲν οὖν βασιλέως τοῦ νέου συμμαχία οὕτω διεφθάρη· ὃ καὶ μάλιστα ἐλύπησε καὶ διέφθειρε τὰ πράγματα αὐτοῦ. οἱ βάρβαροι δὲ μετὰ τὴν νίκην τάς τε σκηνὰς τῶν πολεμίων καὶ τοὺς αἰχμαλώτους ἔχοντες καὶ ὅπλων καὶ ἵππων πλῆθος, ἦκον εἰς Ἀδριανοῦ πρὸς βασιλέα· καί τινας ἐκεῖ συνδιατρίψαντες ἡμέρας, ἔπειτα ἐνέβαλον εἰς τὴν Μυσίαν κατὰ σφᾶς αὐτοὶ καὶ ἐκάκωσαν οὐ μέτριά τινα, ἔχοντες δὲ τὴν λείαν ἐπανῄεσαν εἰς τὴν οἰκείαν.

---

[348] Касниц Борилович, виден сръбски военачалник. За това вж. Jиречек, пос. съч., с. 386, 387.

[349] Калист, цариградски патриарх, заемал патриаршеския престол от 1350 до 1354 г.

(III, pp. 246_{14}—250_{4})

IV, 38. . Σουλιμὰν δὲ ὁ τοῦ Ὀρχάνη παῖς ἐπεὶ πύθετο τὰ κατὰ Θρᾴκην, ἐν Πηγαῖς τῇ κατὰ τὴν περαίαν τοῦ Ἑλλησπόντου πόλει διατρίβων, τὰς πρὸς βασιλέα συνθήκας παριδὼν, ἃς ἔθετο ἐπὶ τῷ Τζύμπην ἀποδιδόναι,

лагер при Хеброс. И тя не знаеше, че се е разположила на лагер близо до неприятели. А те бяха не по-малко от десет хиляди конници, които предвождаше Сюлейман, по-големият син на Орхан. И сами те смятаха, че на следния ден ще отидат при императора в Адрианопол. На разсъмване персите се вдигнаха от лагера и тръгнаха към императора. И трибалите и мизите заедно с ромеите, които ги водеха, с оръжие в ръце потеглиха срещу крепостта и внезапно войските се видяха едни други. Мизите веднага побягнаха, без да дочакат да се сразят с неприятелите, и се спасиха в Димотика. Те бяха много благодарни на бягството, което ги спаси. А трибалите, заедно с намиращите се там ромеи, дочакаха нападащите варвари. Като оказаха малка съпротива на неприятелите, които бяха повече и по-добри, те бяха напълно победени. Поради непознаване на местата и същевременно понеже бяха изплашени от неприятелите, те не поеха пътя за Димотика (където мнозина щяха да се спасят), а се пръснаха в равнината покрай Хеброс и всички загинаха освен малцина. Защото, като бягаха през широко и открито поле, където нямаше никакво укритие и си служеха със слаби коне, едни загиваха, а други биваха пленявани, залавяни от варварите. Напротив, конете на варварите препускаха много по-бързо от техните и бяха по-издръжливи. А стратегът Касниц можа да избяга с малцина, а някои бяха пленени. Познатите ромеи показаха голяма храброст и доблест в сражението, но всички бяха пленени, понеже варварите ги бяха обкръжили. А от войниците някои загинаха и малцина бяха пленени, а повечето се спасиха в Димотика. Така бе унищожена съюзническата войска на младия император. Това го наскърби твърде много и погуби начинанието му. След победата варварите заедно с палатките на неприятелите, с пленниците, с много оръжие и коне пристигнаха в Адрианопол при императора. Те прекараха там няколко дни, а после нахлуха в Мизия по свой почин и опустошиха много нещо, след което с плячката се върнаха в родината си.

IV, 38. . .[350] А Сюлейман, синът на Орхан, пребивавайки в града на изворите на отсрещния бряг на Хелеспонта, когато научи за положението в Тракия, пренебрегна договора, който бе сключил с импеσπουδῇ πολλῇ ἐπεραιοῦτο πρὸς τὴν Θρᾴκην, καὶ πολλοὺς τῶν ὁμοφύλων διαβιβάσας ἅμα γυναιξὶ καὶ τέκνοις, κατῴκιζε τὰς πόλεις, τὰ καταβεβλημένα ἀνορθῶν. τὴν πλείστην δὲ ἐπεδείξατο περὶ Καλλιούπολιν σπουδήν. τά τε γὰρ τείχη ἄνωθεν ἐπεσκεύασε καὶ προσεξειργάσατο βελτίω, ἤπερ ἦσαν, καὶ τῶν ἐπιφανῶν παρ' αὐτῷ πολλοὺς ἠνάγκασεν εἰς ἐκείνην μετοικίζεσθαι, καὶ στρατιὰν ἐγκαθίδρυσε πολλήν· καὶ τοῖς κατὰ Μυσίαν λυπηρὸς ἦν, μεγάλοις στρατοπέδοις ἐπιὼν καὶ πόλεις ἐξανδραποδιζόμενος καὶ τὴν χώραν ἅπασαν πορθῶν.

---

[350] В непреведения пасаж се говори за коронацията на сина на Йоан Кантакузин, Матей, и за турските нашествия в Тракия.

(p. 278_{19}—279_{6})

ратора за предаването на Цимпе[351], премина с голяма бързина в Тракия и прехвърли мнозина от сънародниците си заедно с жените и децата им и засели градовете, като възстанови разрушеното. Особена грижа положи за Калиупол[352]. Защото възстанови стените отново и ги направи по-добре, отколкото бяха по-рано, и накара мнозина от подчинените си знатни да се преселят в него, като остави голяма войска. Той се гневеше на Мизия[353], нападаше я с голяма войска, завладяваше градове и опустошаваше цялата страна. . .

59. Cantacuzenus imperator contra oppida Bulgaris subiecta exercitum ducit

IV, 50. . . ἐν ᾧ δὲ χρόνῳ ταῦτα ἐτελεῖτο, καὶ ὁ βασιλεὺς ἐπεστράτευσε ταῖς κατὰ τὸν πόντον ὑπηκόοις πόλεσι Μυσοῖς· ἐγένετο γάρ τις αὐτῷ διαφορὰ πρὸς Ἀλέξανδρον τὸν Μυσῶν βασιλέα. καὶ Ἀγχίαλον μὲν εἶλεν ἐξ ἐφόδου μάχῃ κρατήσας, Μεσημβρίαν δὲ ἔκ τε τῆς ἠπείρου πύργον οἰκοδομήσας κατὰ τὸ στενὸν, ἐν ᾧ ἡ εἰσβολὴ, καὶ ἐκ τῆς θαλάσσης ταῖς ναυσὶν ἐπολιόρκει. καὶ ἐπίεσε τοὺς κατοικοῦντας οὐκ ὀλίγα ὕδατος ἀπορία μάλιστα, (ὑδρεύοντο γὰρ οὐ πολὺ ἄποθεν τῆς πόλεως ἔκ τινος πηγῆς,) τότε δὲ εἰργόμενοι ὑπὸ τῆς στρατιᾶς, τοῖς ἔνδον ὕδασιν ἐχρῶντο, ὀλίγοις τε καὶ φαύλοις οὖσιν. Ἀλέξανδρος δὲ ὁ τῶν Μυσῶν βασιλεὺς πολλαῖς μὲν ἐχρήσατο μεθόδοις, ἀναστῆσαι βασιλέα τῆς πολιορκίας, (ἔκ τε γὰρ τῆς οἰκείας στρατιᾶς τῇ πόλει ἔπεμψε συμμάχους, καὶ παρὰ τῶν ἐν Θρᾴκῃ βαρβάρων πείσας χρήμασιν,) ἀπράκτων δὲ ἐπανελθόντων, βασιλέως τούς τε ἔνδον ἰσχυρῶς πολιορκοῦντος καὶ πρὸς τοὺς ἔξω μαχομένου καρτερῶς, ἐπεὶ παντάπασι πρὸς τὸν πόλεμον ἀπηγορεύκει, πρέσβεις πέμψας καὶ ἐπαγγειλάμενος πάνθ', ὅσα κατὰ γνώμην βασιλεῖ ποιήσειν, ἔπεισεν ἀνθελέσθαι τὴν εἰρήνην, καὶ τά τε χρήματα ἐξέτισεν, ὅσα πρὸς τὸν πόλεμον ἀνάλωτο, καὶ ἕτερα οὐκ ὀλίγα. βασιλεύς τε τὸν πύργον καταστρεψάμενος, ἐπανῆλθεν εἰς Βυζάντιον.

(III, pp. 362_{7}—363_{4})

59. Император Кантакузин праща войска срещу крепостите, подчинени на българите

IV, 50. . .[354] Когато това ставаше, и императорът[355] потегли срещу градовете покрай Понта, подчинени на мизите. Защото имаше някакъв спор между него и царя на мизите Александър[356]. И при първото нападение завзе Анхиало, а Месемврия обсади откъм сушата, като построи кула на теснината, където бе пътят. А откъм морето го обсади с кораби. И големият недостиг на вода измъчваше обитателите много (защото черпеха вода от някакъв извор немного далеч от града). Тогава обаче, възспирани от войската, използуваха водата (която се намираше в града), в малко количество и лоша. Александър, царят на мизите, си послужи с много средства, за да прогони императора от обсадата (той прати на града военна помощ от собствената си войска и от варварите в Тракия, като ги привлече с пари). Това не даде резултати, понеже императорът обсаждаше усърдно защитниците и се сражаваше упорито срещу външните неприятели. Той се отказа от войната, проводи пратеници и обеща, че ще направи всичко според желанието на императора, убеди го да предпочете мира и му даде парите, които бе изразходвал за войната и немалко други неща. Императорът разруши кулата и се върна във Византион. . .

---

[351] Турците завладяват крепостта Цимпе на Галиполския полуостров в 1352 г. Малко по-късно, в 1354 г., Йоан Кантакузин се договорил с турския военачалник Орхан да му върне крепостта срещу 10 000 перпери, т.е. срещу 10 000 византийски златни монети. Според Кантакузин през 1354 г. станало силно земетресение в Галиполския полуостров, което попречило на Орхан да върне крепостта. Подробности вж. у Флоринский, пос. съч., I, с. 130, 132.

[352] Калиупол, Калиопол, град в Галиполския полуостров.

[353] На Мизия, т.е. на България.

[354] В непреведения пасаж става дума за византийско пратеничество до сръбския кралски двор, което настоявало византийци и сърби да обединят усилията си за борба срещу турските нашественици.

[355] Императорът, сиреч Йоан Кантакузин.

[356] Александър, т.е. българският цар Иван Александър.

ПОКАЗАЛЕЦ — INDEX NOMINUM ET RERUM

Абгар, цар на Едеса **47**
Абдера, гр. 299, **365**
Абидос 212
авари 87
араро-славянски нападения 126
аварски хаган 86
Авел, син на Адам 36, 55, 60
авзони — ромеи 135
Авир, библ. лице **108**
Авлида гр. 104
Аврам, библ. лице 59
Агатопол, гр. **141**, 142, 162, 166, 205, **212**, 219
Агатиупол, вж. Агатопол **166**
агаряни=турци **201**
Агермини, местност 149
Адам, библ. лице 22, 54, 56, 60, 64, 65, 70, 79
Аделфий, богомил 51
Адриан, римски и-р 91
Адриан, брат на Алексий Комнин **123**
Адрианов град, вж. Адрианопол **148**
Адрианопол 114, 118, 121, 148, 151, 162, 172, 175, 189, 205, 206—209, 223, 226, 233, 234, 260, 262, 276, 286, 292, 293, 328, 362, 394, 395
Адриатическо море 105
аелини, еретици 26
аетии, еретици 26
Аетос **145**, 262, 266
Азатин (Изедин), султан **155**, 158, 215
Азиански диоцес 110
Азия 93, 275, 284
Айдин, турски велможа
Айтос, гр. 145, 267
Акарнания, област 219, 275, 276, 305, 390
Акмония, гр. 9, 43, 44
Акрополит Георги, историк 149
Аксиос и Аксейос (вж. и Вардар) 105, 305, 307, 317
алагии (отреди) 161, 201
Алака, жена на Ногай 189
алани, народ 164, 197, 208, 209, 211—213, 224, 256, 378
Албания 138, 150, 151
албански номади 249
албанци 211, 275,
албанци в Кавказ 129
Александрия, гр. 29, 39
Александър, вж. Иван Александър 209, 266, 273, 276, 278—281, 283—287, 289, 292—294, 298, 318, 322, 344, 345, 363—365, 371, 391, 392, 394.
Александър (Велики), макед. цар 120, 223.
Александър, александрийски патриарх 28
Александър, цариградски патриарх 28
Александър Кавасила 121
Алексий I Комнин 5, 6, 50, 52, 96, 110, 122, 124, 134, 162, 167
Алексий Апокавк, велик дук 243, 277, 287, 288, 297, 308, 313—315, 328, 330, 336, 337, 339, 342, 343, 347, 357, 359, 363, 365, 368, 370, 374
Алексий Мосиле 105
Алексий Палеолог, виз. сановник 243
Алексий Цамблак, велик папий 240
